3 1761 07996665 1

Digitized by the Internet Archive
in 2011 with funding from
University of Toronto

http://www.archive.org/details/pt2romaikonhisto02appi

LGr
A6475.3
DEPARTMENTAL LIBRARY.

APPIANI
ROMANARVM HISTORIARVM
VOLVMINIS SECVNDI
PARS II.

HISTORIÆ BELLORVM CIVILIVM

LIBRVM IV. ET V. COMPLECTENS.

Vol. II. p. 531.

PA
3873
A2
1785a
v.2
pt.2

4753

ΑΠΠΙΑΝΟΥ
ΑΛΕΞΑΝΔΡΕΩΣ
ΡΩΜΑΙΚΩΝ
ΕΜΦΥΛΙΩΝ Δ'.

Δύο μὲν δὴ Γαΐου Καίσαρος φονεῖς οὕτω δίκην, ἐν ταῖς σφετέραις αὐτῶν σρατηγίαις ἐκπολεμηθέντες, ἐδεδώκεσαν, Τρεϐώνιος ἐν τῇ Ἀσίᾳ, καὶ Δέκμος ἐν τῇ Κελτικῇ. Ὅπως δὲ ἔδοσαν Κάσσιός τε καὶ Βροῦτος, οἳ καὶ μάλισα τῆς ἐπιϐουλῆς ἐπὶ τῷ Καίσαρι ἦρξαν, καὶ γῆς ἐκράτουν ἀπὸ Συρίας ἐπὶ Μακεδονίαν ἁπάσης, καὶ σρατὸς ἦν αὐτοῖς πολὺς, ἱππικός τε καὶ ναυτικὸς, καὶ ὁπλιτῶν ὑπὲρ εἴκοσι τέλη, καὶ νῆες ὁμοῦ καὶ χρήματα· ἡ Τετάρτη τῶν Ἐμφυλίων ἥδε ὑποδείκνυσιν. Ὁμοῦ δὲ τούτοις ἐγίγνοντο αἱ ἐν Ῥώμῃ τῶν ἐπὶ θανάτῳ προγρα-

Lin. 1. φονῆς *Aug. quod valet* φονῆς. *L.* 3. Δέκιμος *Reg. C. ut constanter edit.* 2. 3. *L.* 5. *Vocem* μάλισα *h. l. omittunt; eamque post* Καίσαρι *ponunt Edd. cum tribus MSS. Regiis. Eamdem vocem neutro loco agnoscit Ven. Secutus sum Aug.*

APPIANI
ALEXANDRINI
ROMANARUM HISTORIARUM
DE BELLIS CIVILIBUS
LIBER QUARTUS.

Ad hunc modum C. Cæsaris percussores duo, in suis provinciis bello victi, pœnas dederunt, Trebonius in Asia, D. Brutus in Gallia. Jam *qua ratione pœnas dederint* CASSIUS *et* M. BRUTUS; qui, quum ejusdem *conspirationis auctores vel præcipui* fuissent, nunc provincias universas obtinebant a Syria Macedoniam usque, & copiis tam pedestribus equestribusque abundabant quam navalibus, quippe qui legiones supra viginti, & classes pecuniasque haberent; id vero *Quartus hic Bellorum Civilium Liber exponet.* Quo tempore etiam *in Urbe* AD MORTEM PROSCRI-

A. U. φέντων ἔρευναί τε καὶ εὑρέσεις καὶ παθήματα πάμπαν ἐπαχθῆ· οἷα οὔτε ἐπὶ Ἑλλήνων ἐν στάσεσιν ἢ πολέμοις, οὔτ᾽ ἐπὶ Ῥωμαίων αὐτῶν, ἐμνημονεύετο γενέσθαι, πλὴν ἐπὶ μόνου Σύλλα, τοῦ πρώτου τοὺς ἐχθροὺς ἐς θάνατον προγράψαντος. Μάριος μὲν γὰρ ἐζήτει, καὶ ἐκόλαζεν οὓς εὕροι· Σύλλας δὲ, ὑπὸ μισθοῖς τε μεγάλοις καὶ κολάσεσι τῶν ἐπικρυψάντων ὁμοίαις, τὸν ἐντυχόντα κτείνειν προέγραφε. Καὶ τὰ μὲν ἀμφὶ Μάριόν τε καὶ Σύλλαν ἐν τοῖς περὶ ἐκείνων προείρηται· τὰ δὲ ἑξῆς οὕτως ἐγένετο.

711. II. Καῖσαρ μὲν καὶ Ἀντώνιος ἐς φιλίαν ἀπ᾽ ἔχθρας συνῄεσαν, ἀμφὶ Μουτίνην πόλιν, ἐς νησίδα τοῦ Λαβινίου ποταμοῦ βραχεῖάν τε καὶ ὑπτίαν, ἔχων ἑκάτερος ὁπλιτῶν τέλη πέντε· καὶ τάδε ἀλλήλοις ἀντικαθιστάντες, ἐχώρουν σὺν τριακοσίοις ἑκάτερος ἐπὶ τὰς τοῦ ποταμοῦ γεφύρας. Λέπιδος δ᾽ αὐτὸς προελθὼν, διηρεύνα τὴν νῆσον, καὶ τῇ χλαμύδι κατέσειεν ἥκειν ἑκάτερον. οἱ δὲ,

Lin. 11. καὶ αἱ εὑρέσεις *Aug. Reg. A. forte pro* καὶ ἀναιρέσεις. *Initio vocis* εὑρέσεις *in Reg. C. superscriptæ literæ* αι, *videntur* αἱρέσεις *dicere. L.* 12. ἐν *carent Edd. invitis Aug. Reg. B. C. L.* 15 *sq.* οὓς ἂν εὕροι *Reg. C. L.* 25. διερεύνα *Edd. mend. ex Reg. B.*

PTORUM erat *inquisitio*, & eorum qui deprehensi sunt *supplicia odiosissima*: quale nihil umquam neque apud Græcos in seditionibus aut bellis factum memoriæ proditum est, neque apud ipsos Romanos; exceptis temporibus Syllæ, qui primus inimicos ad supplicium proscripserat. Nam & *Marius* perquisiverat quidem inimicos suos, & inventos morte adfecerat: *Sylla* vero publico Edicto edito, magna interfectoribus præmia pollicitus, nec minores occultantibus comminatus pœnas, jusserat, ut illos occideret quisquis inveniret. Ceterum de Marianis Syllanisque temporibus jam suo loco dictum est: nunc hæc, quæ deinceps gesta sunt, exsequamur.

2. CÆSAR *cum* ANTONIO ad componendam amicitiam *congressus* est, haud procul Mutina, *in* parva quadam & plana *insula Lavinii fluvii*; uterque secum habens legiones quinque: quibus inter se oppositis, comitati trecenis processerunt ambo ad fluvii pontes. Et LEPIDUS, primus ipse progressus ad perscrutandam insulam, paludamentum quatiens, signum ve-

ἐπὶ τῶν γεφυρῶν τοὺς τριακοσίους μετὰ τῶν φίλων ἀπολιπόντες, ἐς τὸ μέσον ᾔεσαν ἐν περιόπτῳ, καὶ συνήδρευον οἱ τρεῖς, Καίσαρος ἐν μέσῳ διὰ τὴν ἀρχὴν προκαθίσαντος. Δύο δὲ ἡμέραις ἕωθεν ἐς ἑσπέραν συνιόντες, τάδε ἔκριναν· Ἀποθέσθαι μὲν τὴν ὕπατον ἀρχὴν Καίσαρα, καὶ Οὐεντίδιον αὐτὴν ἐς τὸ λοιπὸν τοῦ ἔτους μεταλαβεῖν· καινὴν δὲ ἀρχὴν ἐς διόρθωσιν τῶν ἐμφυλίων νομοθετηθῆναι Λεπίδῳ τε καὶ Αντωνίῳ καὶ Καίσαρι, ἣν ἐπὶ πενταετὲς αὐτοὺς ἄρχειν, ἴσον ἰσχύουσαν ὑπάτοις· ὧδε γὰρ ἔδοξεν ἀντὶ δικτατώρων ὀνομάσαι, διὰ τὸ δόγμα ἴσως τὸ Αντωνίου κωλῦον ἔτι γίγνεσθαι δικτάτωρα· τοὺς δὲ ἀποφῆναι μὲν αὐτίκα τῆς πόλεως ἄρχοντας ἐς τὰ ἐτήσια ἐπὶ τὴν πενταετίαν· τὰς δὲ ἡγεμονίας τῶν ἐθνῶν νειμαμένους, ἔχειν Αντώνιον μὲν τὴν Κελτικὴν ἅπασαν, ἄνευ τῆς συναφοῦς τοῖς Πυρηναίοις ὄρεσιν, ἣν Παλαιὰν ἐκάλουν Κελτικήν· ταύτης δὲ Λέπιδον ἄρχειν, καὶ Ἰβη- A. U. 711.

Lin. 33. καὶ νῦν δὲ mend. Aug. Reg. B. L. 35. αὐτοῦ ἄρχειν, & mox ἴσχυσαν edit. 1. mendose. L. 37. γενέσθαι δικτατ. Reg. B. L. 40. ἔχειν μὲν Αντ. Edd. Prætuli Aug. Reg. B. C. L. 42. ἐκαλ. Βελτικὴν Aug. mend.

niendi dedit utrique. Jamque illi, comitatu & amicis in pontibus relictis, progressi in medium locum conspicuum, *consederunt soli tres*, Cæsarque, propter magistratum, medius. Ibi per continuum biduum colloquio a mane ad vesperam habito, *hæc statuerunt* de communi sententia: „Ut *Cæsar consulatum* in reliquum anni *Ventidio cederet*: utque NOVUS MAGISTRATUS TRIUMVIRORUM crearetur, quem *Lepidus cum Antonio Cæsareque* REIPUBLICÆ EX CIVILIBUS DISSENSIONIBUS RESTITUENDÆ per quinquennium *consulari potestate* gererent;" hoc enim nomen magis quam *Dictatorum* placuit, fortasse propter recentem de abolenda Dictatura legem Antonii: tum „ut *Triumviri* confestim *in quinquennium urbanos magistratus* annuos *designarent*: *provincias* ita partirentur, ut *Antonius haberet* universam *Galliam*, excepta ea, quæ Pyrenæis montibus contigua est, quæ *Gallia Vetus* vocabatur; quæ *Lepido* cederet una cum *Hispania*; *Cæsari*

A. U. 711. ρίας ἐπὶ ταύτῃ· Καίσαρι δὲ εἶναι Λιβύην καὶ Σαρδὼ καὶ Σικελίαν, καὶ εἴ τις ἄλλη νῆσος ἐνταῦθα.

111. Ὧδε μὲν τὴν Ῥωμαίων ἡγεμονίαν οἱ τρεῖς ἐνείμαντο ἐφ᾽ ἑαυτοῖς, τὰ πέραν ἄρα τοῦ Ἰονίου μόνα ὑπερθέμενοι, διὰ Βροῦτον καὶ Κάσσιον κρατοῦντας ἔτι αὐτῶν. Κασσίῳ δὲ καὶ Βρούτῳ πολεμεῖν Ἀντώνιόν τε καὶ Καίσαρα· Λέπιδον γὰρ ὑπατεύειν ἐς τὸ μέλλον, καὶ τῇ πόλει διὰ τὰς ἐν αὐτῇ χρείας ὑπομένειν, ἡγεμονεύοντα τῆς Ἰβηρίας δι᾽ ἑτέρων· τοῦ δὲ Λεπίδου στρατοῦ τρία μὲν αὐτὸν Λέπιδον ἔχειν ἐς τὰ ἐπὶ Ῥώμης, ἑπτὰ δὲ τέλη νείμασθαι Καίσαρα καὶ Ἀντώνιον, τρία μὲν Καίσαρα, τέσσαρα δὲ Ἀντώνιον, ὡς ἂν ἐς τὸν πόλεμον αὐτῶν ἑκάτερος εἴκοσιν ἄγοι· ἐπελπίσαι δὲ ἤδη τὸν στρατὸν ἐς τὰ νικητήρια τοῦ πολέμου, ἄλλαις τε δωρεαῖς, καὶ ἐς κατοικίαν δόσεσι τῶν Ἰταλικῶν πόλεων ὀκτωκαίδεκα· αἳ, καὶ περιουσίᾳ καὶ ἐδάφει καὶ οἴκοις εἰς κάλλος διαφέρουσαι, ἔμελλον αὐτοῖς ἐδάφεσι καὶ οἴκοις αὐτῷ διανεμήσεσθαι, ὥσπερ αὐτοῖς

Lin. 57 *sq.* περιουσία καὶ ἰδάφεσι *Aug. Ven.*

„*Africa* obveniret *cum Sardinia Siciliaque*, & ceteris ejus situs insulis."

3. Atque ita *imperium Romanum in Triumviros divisum* est, dilatis in aliud tempus ceteris ultra mare Jonium provinciis, propter Brutum ac Cassium, qui tunc adhuc eas tenebant. *Cum Cassio* autem *Brutoque bellum gerere Antonium et Cæsarem* placuit. Nam *Lepidus, designatus in proximum annum Consul*, in Urbe erat mansurus, ad ea quibus ibi opus esset administranda, Hispaniam recturus per vicarios. *Lepido tribus* ex suis *legionibus* relictis ad Urbis præsidium, reliquas septem inter se ita partiebantur Cæsar & Antonius, ut *Cæsari* adtribuerentur tres, *Antonio* quatuor; ut *uterque* eorum *viginti legionibus* ad bellum illud gerendum uteretur. Et quo alacrior redderetur exercitus, præter alia proposita victoriæ præmia, *promittendas* constituerunt *militibus* coloniarum loco, *octodecim Italicas urbes*, tam opibus quam agri bonitate ac ædificiorum pulchritudine præcellentes; quæ cum agris & ædificiis, non secus quam bello ca-

ἀντὶ τῆς πολεμίας δορίληπτοι γενόμεναι. Καὶ ἦσαν αἱ πόλεις, ἄλλαι τε, καὶ αἱ περιφανέσταται μάλιστα αὐτῶν, Καπύη, καὶ Ῥήγιον, καὶ Οὐενουσία, καὶ Βενεβεντὸς, καὶ Νουκερία, καὶ Ἀρίμινον, καὶ Ἱππώνιον. οὕτω μὲν τὰ κάλλιστα τῆς Ἰταλίας τῷ στρατῷ διέγραφον. Ἔδοξε δὲ σφίσι καὶ τοὺς ἰδίους ἐχθροὺς προανελεῖν, ἵνα μὴ ἐνοχλοῖεν αὐτοῖς τάδε καθισταμένοις, καὶ πολεμοῦσι πόλεμον ἔκδημον. Ταῦτα μὲν ἔδοξε, καὶ ταῦτα συνεγράψαντο. καὶ αὐτῶν ὁ Καῖσαρ, ὡς ὕπατος, ἀνέγνω τοῖς στρατοῖς τὰ λοιπὰ, χωρὶς τῶν ἀποθανουμένων. οἱ δ' ἀκούσαντες, ἐπαιώνισάν τε, καὶ ἠσπάσαντο ἀλλήλους ἐπὶ διαλλαγῇ. A. U. 711.

IV. Γιγνομένων δὲ τούτων, τέρατα καὶ σημεῖα ἐν Ῥώμῃ πολλὰ καὶ φοβερὰ ἦν. κύνες τε γὰρ ὠρύοντο ὁμαλῶς οἷα λύκοι, σύμβολον ἀηδές· καὶ λύκοι τὴν ἀγορὰν διέθεον, οὐκ ἐπιχωριάζον ἐν πόλει ζῶον· βοῦς τε φωνὴν ἀφῆκεν ἀνθρώπου· καὶ βρέφος ἀρτίτοκον ἐφθέγξατο·

Lin. 60. δορύληπτοι *Edd. ut alibi. Secus Aug. Reg. C.* *L.* 62. Καπύη *Aug. ut ſæpe alias, non male.* *L.* 63. Νουκαιρία *h. l. Edd. & MSS. noſtri, quod correxi. Ibid.* Ἀρίμινον *quatuor noſtri MSS.* *L.* 64. διέγραφεν *Edd. Rectius Aug. Reg. C.* *L.* 66. αὐτοῖς. τὰ δὲ καθιστ. *Edd. & lin. ſq.* ἔκδημον ταῦτα *iidem, nulla interjecta diſtinctione. Recte Aug. Reg. C.* *L.* 70. ἐπαιάνισαν *Reg. C.*

ptæ, in milites eſſent dividendæ.” In earum numero eminebant, Capua, Rhegium, Venuſia, Beneventum, Nuceria, Ariminum, Vibona. Atque ita pulcerrima Italiæ pars militibus eſt adtributa. Sed *ante omnia* viſum eſt, proprios etiam *inimicos*, ne hæc adminiſtrantibus & in longinquam expeditionem profectis impedimento eſſent, *tollere.* Hæc decreta Cæſar ex officio ſuo, quippe Conſul, recitavit de ſcripto exercitibus, proſcriptione tantum ſilentio præterita. Et milites lætis adclamationibus mutuiſque conſalutationibus reconciliationem factam celebrabant.

4. Interea multa *horrenda in Urbe* viſa ſunt *Prodigia.* Nam & canes quaſi ex compoſito ululatum, haud ſecus ac lupi, edebant inauſpicatum; & lupi per forum diſcurrebant, animal inadſuetum urbibus; & bos humanam emiſit vocem; & infans recens natus locutus eſt: in ſimulacris ſu-

A. U. 711. καὶ τῶν ξοάνων τὰ μὲν ἵδρου, τὰ δὲ καὶ αἷμα ἵδρου· ἀνδρῶν τε μεγάλαι βοαὶ, καὶ κτύπος ὅπλων, καὶ δρόμος ἵππων, οὐχ ὁρωμένων, ἠκούετο· ἀμφί τε τὸν ἥλιον ἀηδῆ σημεῖα πολλὰ, καὶ λιθώδεις ἐγίγνοντο ὑετοὶ, καὶ κεραυνοὶ συνεχεῖς ἐς ἱερὰ καὶ ἀγάλματα ἔπιπτον. Ἐφ' οἷς ἡ μὲν βουλὴ θύτας καὶ μάντεις συνῆγεν ἀπὸ Τυῤῥηνίας. καὶ ὁ πρεσβύτατος αὐτῶν, τὰς πάλαι βασιλείας ἐπανήξειν εἰπὼν, καὶ δουλεύσειν ἅπαντας χωρὶς ἑαυτοῦ μόνου, τὸ στόμα κατέσχε καὶ τὸ πνεῦμα, ἕως ἀπέθανεν.

V. Οἱ δὲ τρεῖς ἄνδρες ἐφ' ἑαυτῶν γενόμενοι, τοὺς ἀποθανουμένους συνέγραφον, τούς τε δυνατοὺς ὑφορώμενοι, καὶ τοὺς ἰδίους ἐχθροὺς καταλέγοντες, οἰκείους τε σφῶν αὐτῶν ἢ φίλους ἐς τὴν ἀναίρεσιν ἀντιδιδόντες ἀλλήλοις καὶ τότε καὶ ὕστερον. προσκατελέγοντο γὰρ δὴ καὶ ἕτεροι μεθ' ἑτέρους, οἱ μὲν ἀπ' ἔχθρας, οἱ δὲ μόνου προσκρούματος, ἢ φιλίας ἐχθρῶν, ἢ φίλων ἔχθρας, ἢ

Lin. 92. προσκρούσματος *Edd. Prætuli Aug. Reg. A. C.*

dor adparuit; & eorum nonnulla sanguinem quoque emiserunt: exauditi sunt magni clamores virorum, & armorum crepitus, strepitusque equorum currentium, quorum nihil cernebatur oculis: circa solem quoque tristia multa prodigia sunt observata; & lapidibus aliquoties pluit, & sacræ ædes imaginesque continuis tactæ sunt fulminibus. His procurandis senatus *aruspices ac vates* accivit *ex Etruria*; quorum natu maximus, *rediturum*, ait, *regnum quale priscis temporibus fuerat, cunctosque servituros, se uno excepto*: simulque spiritum compressit, donec exanimis procideret.

5. Ceterum *Triumviri*, semotis arbitris, *nomina consignabant eorum, quos interfectos volebant*; primum suspectos *ob potentiam*, tum suos quisque inimicos; denique amicorum etiam & cognatorum salutem prodebant alter alteri, modo vicissim daretur tollendi adversarios copia: quod & tunc statim fecerunt, & idemtidem postea: nam & deinde alii post alios sunt adscripti in eumdem catalogum, quidam *propter simultatem*, quidam *propter solam quamdam offensam*, aut *quod inimicorum essent necessarii*, vel *amicorum ini-*

πλούτου διαφέροντες. Ἐδέοντο γὰρ ἐς τὸν πόλεμον χρημάτων πολλῶν, Βρούτῳ μὲν καὶ Κασσίῳ τῶν ἀπὸ τῆς Ἀσίας φόρων δεδομένων τε καὶ προσοδευομένων, ἔτι καὶ βασιλέων καὶ σατραπῶν συμφερόντων· αὐτοὶ δ' ἐπὶ τῆς Εὐρώπης, καὶ μάλιστα τῆς Ἰταλίας, πολέμοις τε καὶ ἐσφοραῖς τετριμμένης, ἀποροῦντες· δι' ἃ καὶ τοῖς δημόταις, καὶ ταῖς γυναιξὶ, λήγοντες, ἐπέγραψαν εἰσφορὰς βαρυτάτας, καὶ τέλη πράσεων καὶ μισθώσεων ἐπενόησαν. ἤδη δέ τις καὶ διὰ κάλλος ἐπαύλεως καὶ οἰκίας προεγράφη. Καὶ ἐγένοντο πάντες οἱ θανάτου τε καὶ δημεύσεως κατεγνωσμένοι ἀπὸ μὲν τῆς βουλῆς ἀμφὶ τοὺς τριακοσίους, ἀπὸ δὲ τῶν καλουμένων ἱππέων ἐς δισχιλίους. Καὶ ἦσαν ἐν αὐτοῖς ἀδελφοί τε καὶ θεῖοι τῶν προγραφόντων, καὶ τῶν ὑπ' αὐτοῖς ἡγεμόνων ὅσοι τι τοῖς ἄρχουσιν ἢ τοῖς ἡγεμόσι προσεκεκρούκεσαν.

A. U. 711.

Lin 95. διδομένων Edd. Prætuli Aug. Reg. C. L. 98. τετρυμμένης Aug. Reg. B. (abundante altera μ.) τετρυχωμένης Reg. C. bene. L. 99. γυναιξὶ λέγοντες Edd. vitiose ex Reg. B. invitis ceteris MSS. Ibid. ἐπέστρεψαν Edd. cum Reg. A. & Aug. ἐπέτρεψαν Reg. B. C. quæ quin ex ἐπέγραψαν, quod reposui, corrupta sint, dubitari vix potest. L. 7. προγραφέντων Edd. mend. cum Reg. B. C. Recte Reg. A. Aug. Ven. Ibid. sq. ὅσοι τε τοῖς Edd. τι dedit Aug. Nec τε, nec τι, agnoscit Reg. C. L. 8. Forsan ἢ τοῖς ἄλλοις ἡγεμόσι, quod expressit Cand.

mici. Nonnullis divitiæ fuerunt exitio. Nam opus erat ad belli adparatum multis pecuniis: quia reditus ex Asiæ vectigalibus Bruto Cassioque fuerant traditi, & ab illis solis percipiebantur, regibus etiam præterea atque satrapis de suo eisdem conferentibus. Triumviris autem Europa reliqua erat, & Italia, bellis tum maxime exactionibusque ita exhausta, ut parcissimus inde reditus esset. Itaque paulatim plebi quoque, ac tandem mulieribus etiam, gravissima tributa imposuerunt; & emtionum quoque & locationum vectigalia excogitarunt. Nec defuit qui propter villam aut domum amœniorem proscriptus est. Fuerunt autem *proscripti*, bonis publicatis, *Senatores CCC*, *equites Romani MM*. In his erant *fratres triumvirorum et avunculi*; nonnulli etiam ex legatis eorumdem, qui vel imperatores vel alios legatos nonnihil offenderant.

A. U. 711. VI. Τὸ μὲν δὴ πλῆθος αὐτῶν, ἀπὸ τῆς συνόδου διελθόντες ἐς Ῥώμην, προγράψειν ἔμελλον· δυώδεκα δὲ ἄνδρας, ἢ ὡς ἕτεροι λέγουσιν ἑπ̓λακαίδεκα, τοὺς μάλιςλα δυνατοὺς, ἐν οἷς ἦν καὶ Κικέρων, ἔδοξε προανελεῖν, ἐπιπέμψαντας ἄφνω. καὶ τῶνδε μὲν τέσσαρες αὐτίκα ἀνηρέθησαν ἐν ἑςλιάσεσί τε καὶ ὑπαντήσεσι. Ζητουμένων δὲ τῶν ἄλλων, καὶ ἐρευνωμένων νεῶν τε καὶ οἰκιῶν, ἄφνω θόρυβος ἀνὰ τὴν νύκλα πᾶσαν ἦν, καὶ βοαὶ καὶ διαδρομαὶ μετ᾽ οἰμωγῆς, ὡς ἐν ἁλισκομένῃ πόλει. τῷ γὰρ ἐγνῶσθαι μὲν ἀνδρολήψια γίγνεσθαι, μὴ προγεγράφθαι δὲ μηδένα τῶν προκατεγνωσμένων, πᾶς τις αὐτὸς ἡγεῖτο ζητεῖσθαι πρὸς τῶν περιθεόντων. οὕτω δὲ ἀπογιγνώσκοντες αὐτῶν, οἱ μὲν τὰ ἴδια, οἱ δὲ τὰ κοινὰ, ἐμπρήσειν ἔμελλον, δρᾶσαι τι δεινὸν ἀλόγως αἱρούμενοι, πρὶν παθεῖν· καὶ τάχ᾽ ἂν ἔδρασαν, εἰ μὴ Πέδιος αὐτοὺς ὁ ὕπατος, μετὰ κηρύκων περιθέων, ἐπήλπιζε περιμείναντας

Lin 2. καὶ ὁ Κικέρων *Edd. ex Reg. A. Delevi Artic. cum Aug. Reg. B. C. Ibid. sq.* ἐπιπέμψαντες *Edd. Pratuli Aug. Ven. Reg. C. L. 15.* νεῶν καὶ τε *Edd. operarum errore, ex edit.* 1. *in reliquas propagato. L. 21.* αὐτῶν *Edd. cum Reg. C. invitis reliquis MSS. L. 22.* εὐλόγως *Edd. Recte Aug. Reg. C. L. 24 sq.* περιμείναντας ἕω *Aug. absque præpos. Nescio an rectius.*

6. Jam majoris quidem numeri distulerunt proscriptionem, donec a colloquio in Urbem discessissent: *duodecim* autem, *vel*, ut alii produnt, *septemdecim*, *reliquis potentiores*, & in his Ciceronem, *placuit ante alios occidere*, immissis subito percussoribus. Ex illisque statim quatuor, vel in conviviis, vel in fortuito occursu, cæsi sunt: reliqui vero dum per domos perque templa quæruntur; fit subito tota nocte tumultus, & discursatio cum clamore ejulatuque, non secus quam urbe capta. Quum enim intellexissent, quæri comprehendique aliquot viros, & nemo adhuc proscriptus esset; quisque se peti a circumcursantibus putabat. Itaque rebus desperatis, quidam suas privatas, quidam publicas etiam ædes cogitabant incendere; male sano quidem consilio facturi dirum aliquid, priusquam paterentur. Ac fecissent fortasse, ni *Pedius consul*, hac illac cum præcone cursitans, bene sperare eos jussisset, & lucem exspectare; tum adcuratius, quid rei esset, cognituros.

ἐς ἕω τὰ ἀκριβέστατα μαθεῖν. ἅμα δ᾽ ἕῳ, παρὰ γνώμην τῶν τριῶν ἀνδρῶν, προύγραψεν ὁ Πέδιος τοὺς ἑπτακαίδεκα, ὡς μόνους τε αἰτίους δόξαντας εἶναι τῶν ἐμφυλίων κακῶν, καὶ μόνους κατεγνωσμένους· πίστεις τε τοῖς ἄλλοις δημοσίας ἐποιεῖτο, ἀγνοῶν τὰ ἐγνωσμένα. καὶ Πέδιος μὲν ἐκ καμάτου τῆς νυκτὸς ἐτελεύτησεν. *A. U.* 711.

VII. Εσῄεσαν δ᾽ οἱ τρεῖς τρισὶν ἡμέραις, ἀνὰ μέρος ἕκαστος αὐτῶν, ὁ Καῖσάρ τε καὶ ὁ Ἀντώνιος καὶ ὁ Λέπιδος, σὺν ταῖς στρατηγίσι τάξεσι, καὶ ὁπλιτῶν ἕκαστος ἑνὶ τέλει. ὡς δὲ εἰσῆλθον, αὐτίκα μὲν ἡ πόλις ἦν πλήρης ὅπλων τε καὶ σημείων διατεταγμένων ἐς τὰ ἐπίκαιρα. Αὐτίκα δὲ ἐν μέσῳ τούτων ἤγετο ἐκκλησία, καὶ δήμαρχος Πούπλιος Τίτιος ἐνομοθέτει, καινὴν ἀρχὴν ἐπὶ καταστάσει τῶν παρόντων ἐς πενταετὲς εἶναι τριῶν ἀνδρῶν, Λεπίδου τε καὶ Ἀντωνίου καὶ Καίσαρος, ἴσον ἰσχύουσαν ὑπάτοις· (ἣν ἄν τις Ἑλλήνων Ἁρμοστὰς ὀνομάσειεν, ὃ καὶ Λακεδαιμόνιοι τοῖς καθισταμένοις τὰ ὑπήκοα ἐτί-

Lin. 41. τοῖς ἄρτι καθισταμένοις *Aug. quod, vide, an in Contextum sit recipiendum.*

Prima vero luce, contra triumvirorum sententiam, proscripsit *Pedius* illos XVII, quasi solos auctores intestinorum malorum, solosque condemnatos: reliquis, interposita fide publica, securitatem promisit, ignarus decreti triumviralis. Et *Pedius* quidem sequenti nocte, morbo *ex nimia defatigatione* contracto, *exstinctus* est.

7. Tum tres illi, *Cæsar*, *Antonius*, *Lepidus*, tribus continuis diebus, quoque die seorsim unus ex illis, *Urbem* sunt *ingressi*; quisque cum sua prætoria cohorte, & una legione. Quorum adventu Urbs armatis continuo repleta est, & signa militaria conspecta in locis opportunioribus. Statimque advocata concione, eaque militibus bene cincta, *Publius Titius tribunus plebis legem tulit* de novo magistratu creando, ut TRIUMVIRI CONSTITUENDÆ REIPUBLICÆ *præessent in quinquennium cum potestate consulari*, LEPIDUS, ANTONIUS & CÆSAR: (*Harmostas* Græce non incommode adpellaveris; quo nomine Lacedæmonii vocabant eos, qui civitates ipsis subjectas moderabantur;) at

A. U. 711. θετο ὄνομα·) οὔτε διαστήματος ἐς δοκιμασίαν, οὔτε κυρίας εἰς τὴν χειροτονίαν ἡμέρας προτεθείσης· ἀλλ' αὐτίκα ἐκυροῦτο ὁ νόμος. Καὶ νυκτὸς ἄλλων, ἐπὶ τοῖς ἑπτακαίδεκα, τριάκοντα καὶ ἑκατὸν ἀνδρῶν προγραφαὶ κατὰ πολλὰ τῆς πόλεως προυτίθεντο. καὶ μετ' ὀλίγον ἄλλων πεντήκοντα καὶ ἑκατόν. καί τις προσετίθετο τοῖς πίναξιν αἰεὶ τῶν προκαταγιγνωσκομένων, ἢ τῶν προανῃρημένων ὑπ' ἀγνοίας, ἐς δόξαν τοῦ δικαίως ἀνῃρῆσθαι. Διετέτακτό τε, πάντων τὰς κεφαλὰς ἐς τοὺς τρεῖς ἄνδρας ἐπὶ ῥητῷ κέρδει φέρεσθαι· καὶ ἦν τὸ κέρδος ἐλευθέρῳ μὲν, ἀργύριον, θεράποντι δὲ, ἐλευθερία τε καὶ ἀργύριον. παρέχειν δὲ ἐς ἔρευναν πάντας τὰ ἴδια· καὶ τὸν ὑποδεξάμενον ἢ κρύψαντα ἢ τὴν ἔρευναν οὐ παρασχόντα, τοῖς ἴσοις ἐνέχεσθαι. μηνύειν δὲ ἕκαστα τούτων τὸν ἐθέλοντα, ἐπὶ τοῖς ἴσοις κέρδεσι.

VIII. Καὶ εἶχεν οὕτως ἡ προγραφή· Μάρκος Λέπιδος, Μάρκος Αντώνιος, Οκταούϊος Καῖσαρ, οἱ χειροτονη-

Lin. 48. *An* τῶν οὐ προκατ.? *Ibid. sq.* ἢ τῶν προειρημένων ὑπ' *Edd. corrupte. Recte Aug. Reg. C. L.* 55. *Caret* τὸν *ante* ἐθέλοντα *Aug. male. L.* 58. Οκτάβιος *Aug. Reg. C.*

nec trinundinum ex more ad examinandam legem concesſum eſt, nec dies comitiis dicta, ſed lex ſine mora perlata eſt. Sequenti nocte, præter illos XVII, *alii CXXX proſcripti* ſunt: & nomina eorum diverſis Urbis locis propoſita; nec multo poſt *rurſum alii C L.* Et tabulis ſubinde nova adſcribebantur nomina, vel recens damnatorum, vel per errorem occiſorum, ne innocentes viderentur hi periiſſe. Edictumque erat, ut omnium capita ad Triumviros referrentur, propoſitis certis præmiis, ingenuo pecunia, ſervo libertate cum pecunia: tum, ut perquiſitoribus quiſque patefaceret ædes ſuas; pari enim in culpa cum proſcriptis fore, quicumque aliquem ex his vel domo excepiſſet, vel occultaſſet, vel qui perquiſitoribus non ultro aperiret omnia: & hujuſmodi celatorum indicibus paria erant præmia propoſita.

8. Fuit autem *PROSCRIPTIONIS FORMULA* hæc: „M. LEPIDUS, M. ANTONIUS, OCTAVIUS CÆSAR, *triumviri electi conſtituendæ et cor-*

θέντες ἁρμόσαι καὶ διορθῶσαι τὰ κοινά, οὕτω λέγουσιν· Εἰ μὴ δι' ἀπιστίαν οἱ πονηροί, δεόμενοι μέν, ἦσαν ἐλεεινοί, τυχόντες δέ, ἐγίγνοντο τῶν εὐεργετῶν ἐχθροί, εἶτα ἐπίβουλοι· οὔτ' ἂν Γάϊον Καίσαρα ἀνῃρήκεσαν, οὓς ἐκεῖνος δορὶ λαβὼν ἔσωσεν ἐλέῳ, καὶ φίλους θέμενος, ἐπὶ ἀρχὰς καὶ τιμὰς καὶ δωρεὰς προήγαγεν ἀθρόως· οὔτ' ἂν ἡμεῖς τοῖς ἐνυβρίσασι, καὶ πολεμίους ἀναγράψασιν ἡμᾶς, ὧδε ἀθρόως ἠναγκαζόμεθα χρῆσθαι. Νῦν δέ, ἐξ ὧν ἐπιβεβουλεύμεθα, καὶ ἐξ ὧν Γάϊος Καῖσαρ ἔπαθεν, ἀτιθάσευτον ὁρῶντες τὴν κακίαν ὑπὸ φιλανθρωπίας, προλαβεῖν τοὺς ἐχθροὺς ἢ παθεῖν αἱρούμεθα. Μὴ δή τις τὸ ἔργον ἄδικον ἢ ὠμὸν ἢ ἄμετρον ἡγείσθω, ἔς τε Γάϊον καὶ ἐς ἡμᾶς, οἷα πεπόνθαμεν, ὁρῶν. Γάϊον μὲν δὴ καὶ αὐτοκράτορα ὄντα, καὶ ἄρχοντα ἱερῶν, καὶ τὰ φοβερώτερα Ῥωμαίοις καθελόντα τε ἔθνη καὶ κτησάμενον, καὶ πρῶτον ἀνδρῶν ὑπὲρ τοὺς Ἡρακλείους ὅρους

A. U. 711.

Lin. 59. οὕτως λέγουσιν *Aug. Reg. A. B.* *L.* 67. καὶ ὧν Γάϊος *Edd. Adjeci* ἐξ *cum Aug. Ven. Reg. C.* *L.* 68. ἀτιθάσσευτον *Edd. Secutus sum Aug. Ven. Reg. C.*

„*rigendæ reipublicæ*, *edicunt sic*: Nisi tanta esset improborum perfidia, ut postquam supplices miseratione servati sunt, benemeritis pro beneficio reponant odium, ac mox etiam vitæ insidias; neque hi C. Cæsarem interfecissent, quos ille bello victos servavit clementia, & in amicitiam receptos evexit ad honores, & liberalitate cumulavit; neque nos adversus eos, qui indigne nobiscum egerunt, & hostes reipublicæ nos judicaverunt, subito hanc rationem ingredi cogeremur. Nunc verò, postquam ex insidiis quas nobis „struxerunt, & ex Cæsaris casu, intelleximus, nullis beneficiis perdomari eorum malitiam posse, prævenire inimicos, quam ab eis præoccupari, malumus. Nemo igitur hoc nostrum factum aut injustum, aut crudele, aut nimium existimet; quid C. Cæsar, quid nos ipsi passi simus, reputans. Illum certe, & Imperatorem, & Pontificem maximum, & gentium maxime Populo Romano formidatarum domitorem subactoremque, qui primus mortalium ultra Herculeos terminos nemini navigatum mare superavit, &

A. U. 711.

ἀπλώτου θαλάσσης ἀποπειράσαντα, καὶ Ῥωμαίοις γῆν ἄγνωστον εὑρόντα, ἐν μέσῳ τῷ ἱερῷ λεγομένῳ βουλευτηρίῳ, ὑπὸ ὄψεσι θεῶν, κατέκανον, εἴκοσι καὶ τρισὶ σφαγαῖς ἐνυβρίσαντες, οἱ πολέμῳ ληφθέντες ὑπ᾽ ἐκείνου, καὶ περισωθέντες, κληρονόμοι τέ τινες αὐτοῦ τῆς οὐσίας ἐγγραφέντες εἶναι. οἱ λοιποὶ δὲ, ἐπὶ τῷ μύσει τῷδε, τοὺς ἐναγεῖς ἀντὶ κολάσεων ἐπὶ ἀρχὰς καὶ ἡγεμονίας ἐξέπεμψαν· αἷς ἐκεῖνοι χρώμενοι, τά τε κοινὰ τῶν χρημάτων ἥρπασαν, καὶ στρατὸν ἐξ αὐτῶν ἀγείρουσι καθ᾽ ἡμῶν, καὶ ἕτερον αἰτοῦσι παρὰ βαρβάρων αἰεὶ τῆς ἀρχῆς πολεμίων· τάς τε ὑπὸ Ῥωμαίοις πόλεις, τὰς μὲν οὐ πείθοντες, ἐνέπρησαν ἢ κατέσκαψαν ἢ κατήρειψαν, τὰς δὲ καταπλήξαντες ἐπάγουσι τῇ πατρίδι καθ᾽ ἡμῶν.

IX. Ἡμεῖς δὲ αὐτῶν τοὺς μὲν ἤδη τετιμωρήμεθα· τοὺς δὲ λοιποὺς, θεοῦ συνεπιλαμβάνοντος, αὐτίκα δίκην διδόντας ὄψεσθε. Τῶν δὲ μεγίστων ἡμῖν ἠνυσμένων καὶ

Lin. 75. Ῥωμ. τὴν ἄγνωστον *Edd. Prætuli Aug. Reg. C.* *L. 83 sq.* ἐγείρουσι *Reg. C.* *L. 87-89. Verba* καταπλήξαντες *usque* τετιμωρημ. τοὺς δὲ *per errorem omissa sunt in Aug.*

„incognitas Populo Romano aperuit terras; illum in loco facrato, in media curia, fub oculis deorum, confecerunt, tribufque & viginti vulneribus lacerarunt hi, qui, quum jure belli ab eo fuiffent capti, dimiffi ab eodem fuerant incolumes, nonnulli etiam teftamento hæredes ejus nuncupati. Ceteri vero, tantum abfuit, ut in confpurcatos tam execrabili crimine animadverterent, ut eis magiftratus & provincias cum imperio dederint; quibus illi abufi, & pecunias publicas diripue„runt, & copias inde contra nos colligunt, atque alias a barbaris, perpetuis imperii noftri hoftibus, poftulant. Civitatefque populo Romano fubjectas, partim, quod ipforum imperata detrectaffent, incenderunt, aut diruerunt, & folo æquarunt, partim minis ac territatione coëgerunt ad arma nobis patriæque inferenda.

9. „Nos vero de quibufdam eorum jam exegimus pœnas: reliquos, Deo juvante, mox luere videbitis. Ceterum poft res maximas, partim jam con-

ὑπὸ χερσὶν ὄντων, Ἰβηρίας τε, καὶ Κελτικῆς, καὶ τῶνδε τῶν οἴκοι· ἓν ἔστι λοιπὸν ἔτι ἔργον, στρατεύειν ἐπὶ τοὺς πέραν θαλάσσης αὐτόχειρας Γαΐου. Μέλλουσι δὴ πόλεμον ὑπὲρ ὑμῶν ἔκδημον ἀγωνιεῖσθαι, οὐκ ἀσφαλὲς οὔτε ἐς τὰ ἡμέτερα οὔτε ἐς τὰ ὑμέτερα εἶναι δοκεῖ, τοὺς ἄλλους ἐχθροὺς ὀπίσω καταλιπεῖν, ἐπιβησομένους ταῖς ἀπουσίαις ἡμῶν, καὶ τὰ συμβαίνοντα τῷ πολέμῳ καιροφυλακήσοντας· οὐδ᾽ αὖ βραδύνειν διὰ τούσδε, ἐν ἐπείξει τοσῇδε, μᾶλλον, ἢ ἐκ ποδῶν αὐτοὺς ἀθρόως ποιήσασθαι, ἄρξαντάς γε τοῦ καθ᾽ ἡμῶν πολέμου, ὅτε πολεμίους ἡμᾶς τε καὶ τοὺς ὑφ᾽ ἡμῖν στρατοὺς ἐψηφίζοντο εἶναι. A. U. 711.

X. Κἀκεῖνοι μὲν τοσάσδε πολιτῶν μυριάδας ἡμῖν συναπώλλυον, οὔτε θεῶν νέμεσιν οὔτε φθόνον ἀνθρώπων ὑφορώμενοι. Ἡμεῖς δὲ πλήθει μὲν οὐδενὶ χαλεπανοῦμεν, οὐδὲ τοὺς ἐχθροὺς ἐπιλεξόμεθα πάντας, ὅσοι διηνέχθησαν ἡμῖν, ἢ ἐπεβούλευσαν, οὐδὲ ἐκ πλούτου πάν-

Lin. 93. *Pro* λοιπὸν, *quod dedit Aug. & Reg. C. dant mendose* λυπηρὸν *Edd. & Cand.* *L.* 95. ὑπὲρ ἡμῶν *Edd. Rectius Aug. Reg. C.* *L.* 98. συμβ. τοῦ πολέμου *Edd. cum tribus Regiis. Prætuli Aug.* *L.* 1. ἐκποδὼν *Reg. C. bene.* *L.* 2. ἄρξαντός γε *edit.* 1. *mend.* *L.* 3. τοὺς ἐφ᾽ ἡμῖν *Edd. Recte Aug. Reg. C.*

„fectas a nobis, partim propediem expediendas, quæ ad Hiſpaniam ad Galliamque & ad hanc noſtram Italiam pertinent; unum præterea magnum ſupereſt negotium, expeditio contra eos, qui trans mare ſunt, Cæſaris parricidas. Id *bellum pro patria geſturi peregre, neque nobis neque vobis tutum fore arbitrati ſumus, ſi alios inimicos a tergo relinqueremus; uſuros contra nos occaſione, per abſentiam noſtram et per belli varios caſus captata.* Imo ne cunctandum quidem, urgente tam præſenti periculo, duximus; ſed ad unum tollendos e medio; quandoquidem ipſi priores nobis bellum intulerunt tum, quum nos noſtroſque exercitus hoſtes judicarunt.

10. „Et illis quidem nulla religio fuit, tot civium millia nobiſcum velle perdere, ſpreta deorum vindicta hominumque invidia. Nos vero multitudini nulli moleſti erimus: ne inimicos quidem, qui nobis vel adverſati ſunt vel inſidiati, ſeligemus omnes;

A. U. 711. τοὺς ἢ περιουσίας ἢ ἀξιώσεως, οὐδ' ὅσους ἕτερος πρὸ ἡμῶν αὐτοκράτωρ ἔκτεινε, τὴν πόλιν κἀκεῖνος ἐν ἐμφυλίοις καθιστάμενος, ὃν Εὐτυχῆ προσείπατε δι' εὐπραξίαν· καίπερ ἀνάγκης οὔσης, τρισὶ πλέονας ἐχθροὺς, ἢ ἑνὶ, εἶναι. Ἀλλὰ μόνους δὴ τοὺς φαυλοτάτους τε καὶ πάντων αἰτιωτάτους ἀμυνούμεθα. καὶ τόδε δι' ὑμᾶς οὐχ ἧσσον ἡμῶν· ἀνάγκη γὰρ, ἡμῶν διαφερομένων, ὑμᾶς πάντας ἐν μέσῳ δεινὰ πάσχειν· ἀνάγκη δέ τι καὶ τῷ στρατῷ γενέσθαι παραμύθιον, ὑβρισμένῳ τε καὶ παροξυμένῳ, καὶ πολεμίῳ πρὸς τῶν κοινῶν ἐχθρῶν ἀναγεγραμμένῳ. Δυνηθέντες δ' ἂν, οὓς ἔγνωμεν, ἐξ ἐφόδου συλλαβεῖν, αἱρούμεθα προγράψαι μᾶλλον, ἢ ἀγνοοῦντας ἔτι συλλαβεῖν· καὶ τόδε δι' ὑμᾶς, ἵνα μὴ ἐπὶ τοῖς ὁπλίταις ᾖ διωργισμένοις πλεονάζειν ἐς τοὺς ἀνευθύνους, ἀλλὰ, ἀπηριθμημένους καὶ ὡρισμένους ἔχοντες ὀνομαστὶ, τῶν ἄλλων κατὰ πρόσταγμα ἀπέχωνται. XI. Ἀγαθῇ

Lin. 10. ἢ ἐκ περιουσίας *Reg. C.* *L. 11.* ἐν *ante* ἐμφυλίοις, *quod abest vulgo, dedit Aug. Eamdem praepos. insertam voluerat Musgrav.* *L. 18.* παροξυνομένῳ *Edd.* παροξυμμένῳ *Reg. C. Rectius Aug.*

„nec in divites omnino & locupletes honoratosve animadvertemus; neque in tam multos quam alius ante nos imperator, qui pariter labefactatam civilibus bellis rempublicam instauravit, quem vos ob res gestas Felicem cognominastis: quamvis necesse sit, plures esse inimicos tribus quam uni. Sed pessimum solummodo quemque mulctabimus, & præ ceteris nocentissimum. Atque id non nostrúm magis causa faciemus, quam vestrum ipsorum; quos necesse esset, dum nos confligaremur, in medio positos „omnes multis involvi calamitatibus. Sed et necesse est aliquid in gratiam facere exercitus, ad levamen injuriarum, quibus ille irritatus est, a communibus nostris inimicis hostis judicatus. Quamquam vero potueramus, quos visum esset, comprehendere e vestigio; malumus eos proscribere, quam ignaros opprimere: idque ipsum propter vos, ne in potestate sit iratorum militum, præter mandatum insontibus quoque vim inferre; sed ut, intra certum numerum suis nominibus designatorum coërciti, abstineant ceteris.

11. „Ergo

XI. Ἀγαθῇ τύχῃ τοίνυν· τῶν ὑπογεγραμμένων τῷδε τῷ διαγράμματι μηδεὶς δεχέσθω μηδένα, μηδὲ κρυπτέτω, μηδὲ ἐκπεμπέτω ποι, μηδὲ πειθέσθω χρήμασιν. Ὃς δ' ἂν ἢ σώσας ἢ ἐπικουρήσας ἢ συνειδὼς φανῇ, τοῦτον ἡμεῖς, οὐδεμίαν ὑπολογισάμενοι πρόφασιν ἢ συγγνώμην, ἐν τοῖς προγεγραμμένοις τιθέμεθα. Ἀναφερόντων δὲ τὰς κεφαλὰς οἱ κτείναντες ἐς ἡμᾶς· ὁ μὲν ἐλεύθερος, ἐπὶ δισμυρίαις δραχμαῖς Ἀττικαῖς καὶ πεντακισχιλίαις ὑπὲρ ἑκάστης· ὁ δὲ δοῦλος, ἐπ' ἐλευθερίᾳ τοῦ σώματος, καὶ μυρίαις Ἀττικαῖς, καὶ τῇ τοῦ δεσπότου πολιτείᾳ. τὰ δ' αὐτὰ καὶ τοῖς μηνύουσιν ἔστω· καὶ τῶν λαμβανόντων οὐδεὶς ἐγγεγράψεται τοῖς ὑπομνήμασιν ἡμῶν, ἵνα μὴ κατάδηλος ᾖ. Ὧδε μὲν εἶχεν ἡ προγραφὴ τῶν τριῶν ἀνδρῶν, ὅσον ἐς Ἑλλάδα γλῶσσαν ἀπὸ Λατίνης μεταβαλεῖν.

XII. Πρῶτος δ' ἦν ἐν τοῖς προγράφουσι Λέπιδος, καὶ πρῶτος ἐν τοῖς προγραφομένοις ὁ ἀδελφὸς ὁ Λεπίδου Παῦλος· καὶ δεύτερος ἦν τῶν προγραφόντων Ἀντώνιος,

Lin. 31. τιθέμενα *edit.* 1. *quod in* [illegible] *Musgr.* τιθέμεθα, *quod reposuit H. Stephan. confirmat Aug. Reg. C. Cand.* *L.* 43. Παύλου *edit.* 1. *mend.* *Ib.* [illegible] ὁ Ἀντώνιος *Aug.*

11. „Ergo quod felix faustumque sit: *Ex his quorum nomina huic scripto subjuncta sunt*, *nemo quemquam domum recipito*, *neve celato*, *neve ablegato*, neve pecuniis corrumpitor. Quisquis autem vel servasse, vel adjuvisse, vel conscius fuisse deprehendetur, eum nos absque ulla excusatione veniaque in proscriptorum numerum referemus. *Capita* vero *occisorum ad nos adferunto*, accepturi præmium, centena millia HS. in singula capita, „si liber attulerit; sin servus, libertatem cum quadraginta millibus H S. & heri sui jure civitatis. Eadem præmia sunto & indicibus: nec cujusquam nomen, qui præmium acceperit, inferetur nostris commentariis, ne manifestum fiat." Talis fuit *triumviralis Proscriptionis formula*.

12. Primus autem inter Proscriptores Lepidus fuit, & *primus inter proscriptos frater Lepidi*, *Paulus*: secundus ex proscriptoribus Antonius, & *secundus proscriptus*

A. U. 711. καὶ δεύτερος τῶν προγραφομένων ὁ θεῖος ὁ Ἀντωνίου Λεύκιος· οἷδε μὲν, ὅτι πρῶτοι πολεμίους αὐτοὺς ἐψηφίσαντο. τρίτος δὲ καὶ τέταρτος ἦν, τῶν ἐν ἑτέρῳ πίνακι προκειμένων ἐς τὸ μέλλον ὑπάτων, Πλάγκου μὲν ὁ ἀδελφὸς Πλώτιος, Ἀσινίου δὲ ὁ πενθερὸς Κοΐντος. καὶ οὐ κατ' ἀξίωσιν ἄρα μόνην οἷδε τῶν ἄλλων προὔκειντο μᾶλλον, ἢ ἐς θάμβος καὶ δυσελπιστίαν, μηδένα ῥύσασθαί τινα προσδοκᾶν. Ἦν δὲ καὶ Θωράνιος ἐν τοῖς προγεγραμμένοις, λεγόμενος ὑπό τινων ἐπιτροπεῦσαι Καίσαρος. Ἅμα δὲ ταῖς προγραφαῖς αἵ τε πύλαι κατείχοντο, καὶ ὅσαι ἄλλαι τῆς πόλεως ἔξοδοί τε καὶ λιμένες, ἢ ἕλη καὶ τέλματα, ἢ εἴ τι ἄλλο ἐς φυγὴν ὕποπτον ἦν, ἢ ἐς λαθραίους καταφυγάς· τήν τε χώραν ἐπετέτραπτο τοῖς λοχαγοῖς ἐρευνᾶν περιθέουσι· καὶ ἐγίγνετο πάντα ὁμοῦ.

XIII. Εὐθὺς οὖν ἦν ἀνά τε τὴν χώραν καὶ ἀνὰ τὴν πόλιν, ὡς ἕκαστός πη συνελαμβάνετο, ἀνδρολήψια αἰ-

Lin. 45. αὐτοὺς *caret Aug.* *L.* 48. Κοιντιος *videtur legendum.* *L.* 51. Θωράννιος *Aug.* *L.* 53. ἅμα δὲ ταῖς γραφαῖς *Aug.* *L.* 55 *sq. Ultimæ syllabæ vocis* λαθραίους *superscripta lit.* α *in Reg. C. ab ead. man.* *L.* 58. ἦν *caret Aug. & Reg. B. minus bene.*

avunculus Antonii, *Lucius*: quia hi primi ſententiis ſuis hoſtes eos judicaverant. Tertius porro & quartus erant neceſſarii deſignatorum in ſequentem annum conſulum, (quorum nomina in alia tabula juxta illam erant deſcripta,) *Planci frater*, *Plotius*; & *Quintius*, *ſocer Aſinii*: qui non tam ob dignitatis eminentiam ante alios ſunt poſiti, quam ad incutiendum timorem, ſpemque adimendam, ne quis liberare quempiam poſſe ſperaret. Erat & *Thoranius* inter proſcriptos, qui *tutor* a nonnullis proditur fuiſſe *Cæſaris*. Editaque proſcriptione, continuo portis additæ ſunt cuſtodiæ, & obſeſſi ceteri omnes Urbis exitus; eademque diligentia circa portus adhibita, & circa loca paluſtria cœnoſaque, & quidquid ſuſpectum erat ut fugæ latebriſve commodum; tum centuriones juſſi ſunt ad inquirendum per agros diſcurrere: & hæc omnia eodem momento facta ſunt.

13. Itaque confeſtim intra Urbem & extra, prout quoque loco quiſque deprehenſus

A. U. 711.

ἴδια πολλὰ, καὶ τρόποι τῶν φόνων ποικίλοι, τῶν τε κεφαλῶν ἀποτομαὶ τοῦ μισθοῦ χάριν ἐς ἐπίδειξιν, φυγαί τε ἀπρεπεῖς, καὶ σχήματα ἄτοπα ἐκ τοῦ πρὶν περιφανοῦς. Κατεδύοντο γὰρ οἱ μὲν ἐς φρέατα, οἱ δὲ ἐς τὰς ὑπονόμους τάφρους ἐπὶ τὰ ἀκάθαρτα, οἱ δὲ ἐς καπνώδεις ὑπωροφίας, ἢ τῶν τεγῶν ταῖς κεραμίσι βυομέναις ὑπεκάθηντο, μετὰ σιγῆς βαθυτάτης. Ἐδεδοίκεσαν γὰρ οὐχ ἧσσον τῶν σφαγέων, οἱ μὲν γυναῖκας ἢ παῖδας οὐκ εὐμενῶς σφίσιν ἔχοντας, οἱ δὲ ἐξελευθέρους τε καὶ θεράποντας, οἱ δὲ καὶ δανεισμάτων χρήστας, ἢ χωρίων γείτονας, ἐπιθυμίᾳ τῶν χωρίων. Ἐπανάστασις γὰρ δὴ πάντων, ὅσα τέως ὕπουλα ἦν, ἀθρόα τότε ἐγίγνετο, καὶ ἀθέμιστος μεταβολὴ βουλευτῶν ἀνδρῶν, ὑπάτων, ἢ στρατηγῶν, ἢ δημάρχων, ἔτι τάσδε τὰς ἀρχὰς μετιόντων, ἢ ἐν αὐταῖς γεγονότων, ἐς πόδας ἰδίου θεράποντος ῥιπτουμένων σὺν ὀλοφύρσεσι, καὶ σωτῆρα

Lin. 65 sq. Pro βυομέναις *maluerat* δυομένοις *Musgrav.* *L.* 67. ἤδεισαν *Aug.* *L.* 71. ἀθρόα τε ἐγίγνετο *Edd. Prætuli Aug. Reg. C.* *L.* 72. ἀθέμιτος *Reg. B.* *L.* 73. *Ante* ἔτι τάσδε, *ac fortasse etiam ante* ὑπάτων, *excidisse puto* ἢ, *quod utrobique exprimit Gund.* *Ibid. Pro* ἔτι τάσδε *dant* ἐπὶ τάσδε *Edd. Verius Aug. Reg. C.*

esset, *repente oppressi multi* per varia mortis genera; & *capita detruncata*, ad fidem cædis faciendam, ferendamque mercedem. Passimque *fuga* erat parum decora *virorum* paulo ante *illustrium*, tunc in deformem habitum mutatorum. Nam pars descendebant in puteos, pars in cloacas impurissimas: alii in fumariis vel sub tectorum constipatis tegulis abditi summo cum silentio sedebant. Timebant enim sibi quidam non magis a percussoribus, quam ab infensis uxoribus, alii a filiis male in ipsos adfectis; alii a libertis servisque: tum creditores a debitoribus; vicini a vicinis, concupita prædia adpetentibus. Quidquid enim lividum ac suppuratum odiis antea fuerat, id subito tunc erumpebat; & indigno modo mutabatur fortuna virorum ex amplissimo ordine, consularium, prætoriorum, tribunitiorum, aut harum dignitatum candidatorum; quos nunc ad pedes servorum suorum cum lamentis vidisses advolutos, & famulo adpellatione servatoris ac domini adulantes.

A. U. 711.

καὶ κυρίων τὸν οἰκέτην τιθεμένων. οἴκτιστον δὲ ἦν, ὅτε καὶ ταῦτα ὑποστάντες οὐκ ἐλεηθεῖεν.

XIV. Ἰδέα τε πᾶσα κακῶν ἦν, οὐχ ὡς ἐν στάσεσιν ἢ πολέμου καταλήψεσι. οὐ γάρ, ὡς ἐν ἐκείνοις, τὸν μὲν ἀντιστασιώτην ἢ πολέμιον ἐδεδοίκεσαν, τοῖς δ' οἰκείοις σφᾶς ἐπέτρεπον· ἀλλὰ καὶ τούσδε τῶν σφαγέων μᾶλλον ἐδεδοίκεσαν, οὐδὲν μὲν αὐτούς, ὡς ἐν πολέμῳ καὶ στάσει, δεδιότας, σφίσι δὲ αὐτίκα γιγνομένους ἐξ οἰκείων πολεμίους, ἢ δι' ὕπουλον ἔχθραν, ἢ ὑπὸ τῶν ἐπικεκηρυγμένων σφίσι γερῶν, ἢ διὰ τὸν ἐν ταῖς οἰκίαις χρυσόν τε καὶ ἄργυρον. ἄπιστος γὰρ δὴ διὰ ταῦτα ἀθρόως ἕκαστος ἐς τὸν οἰκεῖον ἐγίγνετο, καὶ τὸ σφέτερον κέρδος τοῦ πρὸς αὐτὸν ἐλέου προυτίθει. ὁ δὲ πιστὸς ἢ εὔνους ἐδεδοίκει βοηθεῖν, ἢ κρύπτειν, ἢ συνειδέναι, δι' ὁμοιότητα τῶν ἐπιτιμίων. Ἔς τε τὸ ἔμπαλιν αὐτοῖς τοῦ πρώτου τῶν ἑπτακαίδεκα ἀνδρῶν δέους περιέστη. τότε μὲν γὰρ οὐ προγραφέντος οὐδενός, ἀλλὰ τινῶν ἄφνω συλ-

Lin. 85. *διὰ τῶν ἐν ταῖς Edd. mend. ex Reg. B. Ibid. οἰκείαις Edd. mend. ex cod. Reg. B. L. 89 ſq. δι' ὡμότητα Edd. cum Reg. A. B. & Cand. Prætuli Aug. Reg. C.*

Quæ res eo erat miſerabilior, quod multi ne tam demiſſe quidem ſupplices impetraverint miſericordiam.

14. *Neque* vero *ulla aberat calamitatis ſpecies*, ſecus ac in ſeditionibus & hoſtili victoria. Nec enim, ut illic, adverſarii ſoli hoſteſve timebantur, in domeſticis reponebatur fiducia; ſed *ipſi domeſtici multo magis, quam percuſſores, formidabantur*: qui de ſe ipſis præter bellorum ſeditionumve morem ſecuri, hoſtes ſubito reddebantur ex familiaribus, ſive propter diſſimulatum odium, ſive ſpe oſtentati publice præmii, ſive quod inhiarent auro argentoque in ædibus. His enim de cauſis nihil cuiquam fidum domi ſupererat, lucri aviditate præponderante pietatem domeſticam. Quod *ſi quis in fide permanebat* ac benevolentia; tamen *opem ferre non audebat*, nec celare periclitantem, nec diſſimulare conſcientiam; propter pœnæ ſimilitudinem, quæ celatores ſequebatur. Eratque res longe diverſa a ſuperiore ſeptemdecim damnatorum virorum periculo: tunc enim, nemine proſcripto, nonnullis repente

λαμβανομένων, πάντες ἐδεδοίκεσαν ὅμοια, καὶ συνήρπαζον ἀλλήλοις. ἐπὶ δὲ ταῖς προγραφαῖς, οἱ μὲν αὐτίκα πᾶσιν ἔκδοτοι γεγένηντο· οἱ δὲ ἐν ἀμεριμνῳ περὶ σφῶν καὶ ἐπὶ κέρδει γενόμενοι, τοὺς ἄλλους ἐπὶ μισθῷ τοῖς σφαγεῦσιν ἐκυνηγέτουν. Ὁ δὲ λοιπὸς ὅμιλος, οἱ μὲν τὰς οἰκίας τῶν ἀνῃρημένων διήρπαζον, καὶ τὸ κέρδος αὐτοὺς ἀπὸ τῆς συνέσεως τῶν παρόντων κακῶν ἐψυχαγώγει· οἱ δὲ ἐμφρονέστεροί τε καὶ ἐπιεικεῖς ἐτεθήπεσαν ὑπὸ ἐκπλήξεως· καὶ ἦν αὐτοῖς παραλογώτερον, ὅτε μάλιστα ἐνθυμηθεῖεν, ὅτι τὰς μὲν ἄλλας πόλεις ἐλυμήναντο στάσεις, καὶ περιέσωσαν ὁμόνοιαι, τὴν δὲ καὶ αἱ στάσεις τῶν ἀρχόντων προαπώλεσαν, καὶ ἡ ὁμόνοια τοιάδε ἐργάζεται. A. U. 711.

XV. Ἔθνῃσκον δὲ, οἱ μὲν, ἀμυνόμενοι τοὺς ἀναιροῦντας· οἱ δ', οὐκ ἀμυνόμενοι, ὡς οὐχ ὑπὸ τῶνδε ἀδικούμενοι. εἰσὶ δ' οἳ καὶ σφᾶς αὐτοὺς λιμῷ τε ἑκουσίῳ δα-

Lin. 95. ἀπο[illegible]: Edd. cum tribus Regiis. Verum delit Aug. quod & prop[illegible] Musgr. & expressit Cand. L. 1. τε post ἐμφρον. inserui cum Aug. & Reg. C. L. 4. Verba καὶ περιέσωσαν usque καὶ αἱ στάσεις desunt Augustano.

comprehensis, omnes metu simili casus protrudebant se invicem. Evulgatis autem proscriptionis tabulis, *proscripti* mox *omnium proditioni patebant*; ceteri, securi de sua salute & lucris intenti, ceu venatici canes, mercenariam operam præstabant vestigandis his, quos ad necem objicerent. Reliqua turba diripiebat ædes interemtorum; & præsens lucrum mentem eorum a cogitatione publicæ calamitatis avocabat. Qui vero prudentiores erant ac moderatiores, attoniti stupebant: & *inaudita plane res ac pæne incredibilis* tum maxime eis videbatur, quum subiret animum, „ alias civitates seditionibus civium adflictas, mox eorumdem concordia esse servatas: hanc vero, per dissensionem civium jam ante perditam, nunc quoque per eorumdem conspirationem talia perpeti."

15. Cadebant autem alii repugnantes; non repugnantes alii, quod eam injuriam non ad ministros cædis referendam ducerent. *Quidam se ipsi* vel fame *confecerunt* vel

A. U. 711.

παιῶντες, καὶ βρόχοις χρώμενοι, καὶ τὰ σώματα καταποντοῦντες, ἢ ῥιπτοῦντες ἀπὸ τῶν τεγῶν, ἢ ἐς πῦρ ἐναλλόμενοι, ἢ τοῖς σφαγεῦσιν ὑπίσχοντες, ἢ καὶ μεταπεμπόμενοι βραδύνοντας· ἕτεροι δὲ κρυπτόμενοι, καὶ λιπαροῦντες ἀπρεπῶς, ἢ διωθούμενοι τὸ κακόν, ἢ ὠνούμενοι. Οἱ δὲ καὶ παρὰ γνώμην τῶν τριῶν ἀνδρῶν, ὑπ' ἀγνοίας, ἢ κατ' ἐπιβουλήν, ἀπώλλυντο. καὶ δῆλος ἦν ὁ μὴ προγραφεὶς νέκυς, ὅτε οἱ προσκέοιτο ἡ κεφαλή· τῶν γὰρ δὴ προγεγραμμένων ἐν ἀγορᾷ προυτίθεντο παρὰ τοῖς βήμασιν, ἔνθα ἔδει κομίσαντας ἀντιλαβεῖν τὰ ἆθλα. Ἴση δ' ἦν ἑτέρων σπουδὴ καὶ ἀρετή, γυναικῶν τε καὶ παιδίων καὶ ἀδελφῶν καὶ θεραπόντων, περισωζόντων τε καὶ συμμηχανωμένων πολλά, καὶ συναποθνησκόντων, ὅτε μὴ τύχοιεν ὧν ἐπενόουν· οἱ δὲ καὶ ἐπανῄρουν σφᾶς ἀνῃρημένοις. Τῶν δὲ ἐκφυγόντων, οἱ μὲν ὑπὸ ναυαγίων ἀπώλλυντο, ἐς πάντα σφίσι τῆς τύχης

Lin. 12. βραδύνοντες Edd. mend. ex Reg. A. L. 14 sq. Ad ὠνούμενοι deesse aliquid videtur. L. 18. An ad verbum προετίθεντο excidit nomen αἱ κεφαλαί?

laqueo; alii de tecto se præcipitarunt, aut in aquam conjecerunt ignemve; alii ultro jugulum præbuerunt percussoribus, aut illos cunctantes accersiverunt. *Inviti obierunt alii*, latebras quærentes, aut indecore supplicantes, aut tergiversantes, aut pretio conantes evadere. *Nonnulli* quoque, præter triumvirorum mentem, *per errorem* perierunt, aut per inimicorum insidias. Et cadaver non proscripti dignoscebatur a ceteris, quando non erat capite truncatum: proscriptorum enim in foro proponebantur capita pro rostris, ubi rependebatur pro eis præmium. E diverso non minor extitit passim *virtus* studiumque *uxorum*, *liberorum*, *fratrum*, *famulorum*, multa ad conservandam periclitantium salutem facientium comminiscentiumque; aut cum suis simul pereuntium, ubi cœpta non successissent: nec defuerunt qui se sponte jugularent supra cæsorum cadaveribus. Ex his vero qui evasere, aliquot naufragio perierunt, nihil se remittente adversa fortuna: *alii*, ad lætiora tempora *præter opinionem servati*, pervene-

A. U. 711.

ἐπιβαρούσης· οἱ δὲ ἐπανήχθησαν ἐκ παραλόγων ἐπί τε ἀρχὰς τῆς πόλεως καὶ στρατηγίας πολέμων καὶ θριάμβους. οὕτως ὁ καιρὸς ἦν ἐκεῖνος ἐπίδειξις παραδοξολογίας.

XVI. Καὶ τάδε ἐγίγνετο οὐκ ἐν ἰδιώτιδι πόλει, οὐδὲ ἐν ἀσθενεῖ καὶ σμικρῷ βασιλείῳ· ἀλλὰ τὴν δυνατωτάτην καὶ τοσούτων ἐθνῶν καὶ γῆς καὶ θαλάσσης ἡγεμονίδα διέσειεν ὁ θεὸς, ἐκ πολλοῦ ἄρα ἐς τὴν νῦν καθιστάμενος εὐταξίαν. Ἐγένετο μὲν οὖν τοιάδε ἕτερα ἐν αὐτῇ κατά τε Σύλλαν, καὶ ἔτι πρὸ ἐκείνου Γάϊον Μάριον· ὧν ὁμοίως τὰ γνωριμώτατα τῶν κακῶν ἐν τοῖς περὶ ἐκείνων ἀνελεξάμην· καὶ προσῆν ἐκείνοις ἀταφία. Ταῦτα δὲ, ἀξιώσει τε τῶν τριῶν ἀνδρῶν, καὶ τοῦ ἑνὸς αὐτῶν μάλιστα ἀρετῇ καὶ τύχῃ, τὴν ἀρχὴν συστησαμένου τε ἐς ἕδραν ἀσφαλῆ, καὶ γένος καὶ ὄνομα τὸ νῦν ἄρχον ἀφ' ἑαυτοῦ καταλιπόντος, ἐπιφανέστερα. Ὧν τὰ λαμπρὰ καὶ τὰ χείρω γενόμενα, ἐν μνήμῃ τε μᾶλλον ὄντα, ὅτι

Lin. 30. σμικρᾷ βασιλεία vulgatæ lectioni ab ead. manu superscriptum est in Reg. C. L. 31. Verba καὶ γῆς, quæ desunt vulgo, dedit Aug. L. 33. μὲν caret Aug. male.

runt ad urbanos magiſtratus poſtea, & cum imperio præpoſiti exercitibus, triumphi etiam honorem ſunt adepti. Tantum miraculorum adtulerunt illa tempora.

16. Et hæ res non acciderunt in vulgari aliqua civitate, nec in parva regia ac invalida: ſed potentiſſimam *tot terra marique gentium dominam Deus ita perculit; per diutinas ambages adducens eamdem ad feliciorem hanc, quæ nunc obtinet, conſtitutionem moderationemque*. Ac ſimilia quidem jam ſub Syllæ dominatu paſſa erat Roma, & ante illum ſub Mario: quorum malorum quæ præ ceteris maxime memorabilia ſunt, in illorum hiſtoria enotavi: quo tempore quidem etiam hoc acceſſit, ut inhumata projicerentur occiſorum corpora. Hæc autem, de quibus nunc agimus, propter Triumvirorum dignitatem ſunt magis inſignia, ac præſertim propter unius ex illis virtutem fortunæ conjunctam, qui, poſtquam imperium ſolido fundamento firmavit, genus & nomen ſuum in hos qui nunc imperant propagavit. *Quarum rerum, quæ vel aliàs ſunt illuſtriores, vel quæ ſævitate eminent*, eas *nunc percurram*: eo etiam memo-

A. U. 711.

καὶ τελευταῖα γέγονεν, ἐπελεύσομαι νῦν, οὐ πάντα· οὐ γὰρ ἀξιαφήγητον ἀναίρεσις ἁπλῆ καὶ φυγὴ, ἢ, τῶν τριῶν ἀνδρῶν τισι συγγνόντων ὕστερον, ἐπάνοδος, ἢ ἐπανελθόντων ἀφανὴς καταβίωσις· ἀλλ' ὅσα παραλογώτατα ὄντα μάλιστα ἂν ἐκπλήξειε, καὶ πιστεύσειν ποιήσειε τοῖς προλεγομένοις. Πολλὰ δ' ἐστὶ, καὶ πολλοὶ Ῥωμαίων ἐν πολλαῖς βίβλοις αὐτὰ συνέγραψαν ἐφ' ἑαυτῶν. ὀλίγα δὲ ἐγὼ καθ' ἑκάστην ἰδέαν, ἐς πίστιν ἑκάστης, καὶ ἐς εὐδαιμόνισμα τῶν νῦν παρόντων, ἐπὶ κεφαλαίου διὰ τὸ μῆκος ἀναγράψω.

XVII. Ἤρξατο μὲν δὴ τὸ κακὸν, ἐκ συντυχίας, ἀπὸ τῶν ἐν ἀρχαῖς ἔτι ὄντων· καὶ πρῶτος ἀνῃρέθη δήμαρχος Σαλούϊος. ἱερὰ δ' ἐστὶν ἡ ἀρχὴ καὶ ἄσυλος ἐκ τῶν νόμων, καὶ τὰ μέγιστα ἴσχυεν, ὡς καὶ τῶν ὑπάτων τινὰς ἐς τὰς φυλακὰς ἐμβαλεῖν. καὶ ἦν ὅδε ὁ δήμαρχος ὁ τὸν Ἀντώνιον ἐν μὲν ἀρχῇ κεκωλυκὼς εἶναι πολέμιον, ὕστερον

Lin. 44. ἀνδρῶν τι *Edd. mend. ex Reg. B. qui duplici menda dat* τι συγ. [illegible]. *Recte Reg. A. C. Aug. Ven.* *L.* 46. πιστεῦσαι *Edd. Praestat Aug.* *L.* 48. [illegible] *Edd. mend. invitis Aug. Ven. Reg. C.* *L.* 50. διὰ *carent Edd. Dedit Aug. & Reg. C.* *L.* 55. ἴσχυεν *Reg. C.* *Ibid.* ὡς ἐκ τῶν ὑπ. *Reg. B.*

ratu faciliores, quod ſint noviſſimæ. Enimvero non omnia perſequar: quippe non digna videtur commemoratione ſimplex cædes aut fuga, aut, Triumviris aliquanto poſt ignoſcentibus, reditus quorumdam, & vita deinde in obſcuro acta: ſed quæ maxime miraculo futura ſint, & fidem factura lecturis eorum quæ jam diximus. Sunt autem bene *multa, et a multis Romanis Scriptoribus ſeorſum comprehenſa multis voluminibus.* Ex quibus ego, ne nimis longus ſim, pauca per ſingula rerum genera breviter decerpam; quo cujuſque generis conſtet ſides, & quo magis eluceat præſentis ætatis felicitas.

17. Prima ſævitia fortuito in eos effuſa eſt, qui magiſtratibus etiam tum fungebantur. Et *primus cæſus tribunus plebis* SALVIUS. Eſt autem is magiſtratus ſacroſanctus priſcis legibus, & tantæ poteſtatis, ut Conſules etiam aliquot in carcerem miſerit. Et hic tribunus primum quidem intercesſerat, quo minus hoſtis judicaretur Antonius; ſed poſtea Ciceronem in omnibus

δὲ συμπεπτωκὼς ἐς πάντα Κικέρωνι. Πυθόμενος δὲ τῶν τριῶν ἀνδρῶν τῆς τε συμφρονήσεως καὶ τῆς ἐς τὴν πόλιν ἐπείξεως, τοὺς οἰκείους εἱστία, ὡς οὐ πολλάκις αὐτοῖς ἔτι συνεστιασόμενος· ἐσδραμόντων δὲ ἐς τὸ συμπόσιον τῶν ὁπλιτῶν, οἱ μὲν ἐξανίσταντο σὺν θορύβῳ καὶ δέει, ὁ δὲ τῶν ὁπλιτῶν λοχαγὸς ἐκέλευεν ἠρεμεῖν κατακλιθέντας, τὸν δὲ Σαλούιον, ὡς εἶχε, τῆς κόμης ἐπισπάσας ὑπὲρ τὴν τράπεζαν ἐς ὅσον ἐχρῄζε, τὴν κεφαλὴν ἀπέτεμε, καὶ τοὺς ἔνδον αὖθις ἐκέλευεν ἀτρεμεῖν ὡς ἔχουσι, μὴ θορύβου γενομένου πάθοιεν ὅμοια. οἱ μὲν δὴ καὶ οἰχομένου τοῦ λοχαγοῦ τεθηπότες, ἄναυδοι μέχρι βαθυτάτης νυκτὸς τῷ λοιπῷ τοῦ δημάρχου σώματι συγκατέκειντο. Δεύτερος δ' ἀνὴρ ἔθνησκε στρατηγὸς Μινούκιος, ἀρχαιρεσιάζων μὲν ἐν ἀγορᾷ· πυθόμενος δὲ ἐπιέναι τοὺς ὁπλίτας, ἀνεπήδησε, καὶ περιθέων ἔτι καὶ ἐννοούμενος ὅποι διαλάθοι, τὴν ἐσθῆτα ἐνήλλασσεν, ἔς τι τῶν ἐργαστηρίων ἐσδραμὼν, τοὺς ὑπηρέτας καὶ τὰ σημεῖα ἀποπέμψας. οἱ δὲ, αἰδοῖ καὶ ἐλέῳ παραμένοντες, εὐμαθέστερον ἄκοντες ἐποίησαν τοῖς σφαγεῦσι τὸν στρατηγὸν εὑρεῖν. *A. U. 711.*

Lin. 62 sq. οἱ μὲν *usque* ὁ δὲ τῶν ὁπλιτῶν *omissa in Aug.*

rebus adjuverat. Cognita autem Triumvirorum conspiratione & ad Urbem festinatione, convivium familiaribus præbuit, ut non diu porro cum illis victurus. Quumque irrupissent armati in triclinium, adsurgentibus omnibus metu perculsis, centurio jussit ceteros quietos recumbere; *Salvium*, ita ut erat, capillis correptum super mensam protraxit quantum opus erat, atque ita præciso capite familiares ejus jussit silere & loco manere, ita ut erant, immotos, ne excitato tumultu similia paterentur. Et illi post centurionis quoque abitum, attoniti, sine voce, in multam noctem cum trunco tribuni corpore adcubuerunt. Proxime post hunc occisus est *Prætor* MINUCIUS, quum in foro comitia haberet. Is, ubi peti se ab armatis audivit, prosiliit, & discurrens ac latebras quærens, mutata veste in officinam quamdam se proripuit, dimissis apparitoribus cum insignibus; qui, dum pietate moti cunctantur, imprudentes effecerunt, ut facilius inveniretur prætor a percussoribus.

A. U. 711.

XVIII. Ἄνναλιν, ἕτερον στρατηγὸν, τῷ παιδὶ μετιόντι ταμιείαν συμπεριθέοντα, καὶ τοὺς ψηφιουμένους παρακαλοῦντα, οἵ τε συνόντες φίλοι, καὶ οἱ τὰ σημεῖα τῆς ἀρχῆς φέροντες ἀπεδίδρασκον, πυθόμενοι προσγεγράφθαι τοῖς πίναξι τὸν Ἄνναλιν. ὁ δὲ ἐς πελάτην ἑαυτοῦ τινα φυγὼν, ᾧ βραχὺ καὶ εὐτελὲς ἦν τέγος ἐν προαστείῳ, καὶ διὰ πάντα εὐκαταφρόνητον, ἐκρύπτετο ἀσφαλῶς· μέχρι τοὺς σφαγέας ὁ υἱὸς αὐτοῦ, τὴν φυγὴν ἐς τὸν πελάτην ὑποτοπήσας, ὡδήγησεν ὑπὸ τὸ τέγος· καὶ παρὰ τῶν τριῶν ἀνδρῶν τήν τε οὐσίαν ἔλαβε τοῦ πατρὸς, καὶ ἐς ἀγορανομίαν ᾑρέθη. ἀναλύοντα δὲ αὐτὸν ἐκ μέθης στρατιῶταί τι προσκρούσαντες, ἔκτειναν, οἱ καὶ τὸν πατέρα ἀνηρήκεσαν. Θουράνιος δὲ, οὐ στρατηγῶν μὲν ἔτι, ἀλλ᾽ ἐστρατηγηκὼς, πατὴρ δὲ νεανίου τὰ μὲν ἄλλα ἀκολάστου, δυναστεύοντος δὲ παρ᾽ Ἀντωνίῳ, τοὺς λοχαγοὺς ἠξίου τὴν σφαγὴν ἐπισχεῖν οἱ πρὸς ὀλίγον, ἔστε αὐτὸν ὁ υἱὸς αἰτήσαιτο παρ᾽ Ἀντωνίου. οἱ δ᾽ ἐπιγελάσαντες, ᾔτησεν, εἶπον, ἀλλ᾽ ἐπὶ θάτερα. καὶ συν-

Lin. 80 *ſq.* προγεγράφθαι *Reg. C.* proſcriptum *Cand.* *L.* 89. ἀνῃρήκεσαν *Edd. mend.* *Ibid.* Thoranius *Cand. in edit. Veneta: & pro eodem vulgo habetur, qui* Θουράνιος *ſupra dictus eſt.* *L.* 94. ἐπιθάτερα *Edd. & Aug.* *Prætuli Reg. A. C.*

18. Alium *prætorem*, ANNALEM, dum una cum filio quæſturæ candidato ambit ſuffragia, amicorum cohors & lictores deſeruerunt, poſtquam didicerunt & hujus nomen adſcriptum in tabulis. *Annalis* ad queindam ex ſuis clientibus fuga delatus, cui parvum ac vile tectum erat in ſuburbio, contemnendum omnibus modis, latebat in tuto: donec ipſius filius, rem ſuſpicatus, percuſſores ſub id tectum duxit, & a triumviris paterna bona ædilitatemque accepit. Quem a compotatione redeuntem ebrium, exorta rixa, iidem milites occiderunt, qui patrem ante occiderant. At THORANIUS, non quidem prætor, ſed *prætorius*, pater adoleſcentis alioquin perditi, qui tamen multum poſſet apud Antonium, centuriones orabat, tantiſper cædem differrent, dum ſe *filius* ab Antonio expeteret. Illi ridentes, *petiit*, inquiunt, *ſed in contrarium.* Id ubi intellexit ſe-

εἰς ὁ πρεσβύτης, ἕτερον αὐτίκα βραχύτατον ᾔτει διάστημα, μέχρι οὗ τὴν θυγατέρα ἴδοι· ἰδὼν δὲ, ἐκέλευε μὴ μετασχεῖν τῶν πατρῴων, μὴ κἀκείνην ὁ ἀδελφὸς αἰτήσαιτο παρ' Ἀντωνίου. Συνέβη δὲ καὶ τῷδε, τὴν οὐσίαν ἐς αἰσχρὰ δαπανῆσαι, καὶ κλοπῆς ἁλόντι φυγεῖν ἐκ καταδίκης. A. U. 711.

XIX. Κικέρων δὲ, ὃς μετὰ Γάιον Καίσαρα ἴσχυσεν, ὅση γένοιτο ἂν δημαγωγοῦ μοναρχία, κατέγνωστο μὲν ἅμα τῷ παιδὶ καὶ τῷ ἀδελφῷ καὶ τῷ παιδὶ τοῦ ἀδελφοῦ, καὶ πᾶσιν οἰκείοις τε καὶ στασιώταις καὶ φίλοις. Φυγὼν δὲ ἐπὶ σκάφους, οὐκ ἔφερε τὴν ἀηδίαν τοῦ κλύδωνος, ἀλλὰ ἐς ἴδιον χωρίον, ὃ καθ' ἱστορίαν τοῦδε τοῦ πάθους εἶδον, ἀμφὶ Καπύην πόλιν τῆς Ἰταλίας, καταχθεὶς, ἠρέμει. πλησιαζόντων δὲ τῶν ἐρευνωμένων, (τοῦτον γὰρ δὴ φιλοτιμότατα πάντων Ἀντώνιός τε ἐζήτει, καὶ Ἀντωνίῳ πάντες,) ἐς τὸ δωμάτιον αὐτοῦ κόρακες ἐσπτάντες ἔκλαζον, ἐπεγείροντες ἀπὸ τοῦ ὕπνου, καὶ τὸ ἱμάτιον ἀπέσυρον ἀπὸ τοῦ σώματος· ἕως οἱ θεράποντες,

Lin. 8. *Forsan* ἀμφὶ ΚΑΙΗΤΗΝ *scripsit Appianus.*

nex, iterum brevissimum postulavit spatium, donec vidisset filiam: quam, in conspectum adductam, monuit ne adiret paternorum bonorum hæreditatem, ne & ipsam frater expeteret ab Antonio. Et hic quoque dein dignum factis exitum invenit: turpiter profuso patrimonio, furti damnatus, solum vertere coactus est.

19. CICERO autem, qui post Cæsaris cædem regnaverat in concionibus, *proscriptus* est *cum filio, et fratre, et filio fratris, et suæ factionis amicis omnibus* & familiaribus. Hic quum in navicula fugam capessivisset, jactationem non ferens, in villam suam, quam mihi libuit ob hujus casus memoriam invisere, prope Capuam [f. Cajetam,] delatus est. Ubi quum requiesceret, adpropinquantibus qui eum quærebant, (nam hunc præ ceteris Antonius & Antoniani omnes summa cura perquirebant) in cubiculum ejus involantes corvi crocitatu e somno eum excitabant, & stragulam ei detrahebant de corpore; donec servi, intel-

A. U. 711.

XVIII. Ἄνναλιν, ἕτερον στρατηγὸν, τῷ παιδὶ μετιόντι ταμιείαν συμπεριθέοντα, καὶ τοὺς ψηφιουμένους παρακαλοῦντα, οἵ τε συνόντες φίλοι, καὶ οἱ τὰ σημεῖα τῆς ἀρχῆς φέροντες ἀπεδίδρασκον, πυθόμενοι προσγεγράφθαι τοῖς πίναξι τὸν Ἄνναλιν. ὁ δὲ ἐς πελάτην ἑαυτοῦ τινα φυγὼν, ᾧ βραχὺ καὶ εὐτελὲς ἦν τέγος ἐν προαστείῳ, καὶ διὰ πάντα εὐκαταφρόνητον, ἐκρύπτετο ἀσφαλῶς· μέχρι τοὺς σφαγέας ὁ υἱὸς αὐτοῦ, τὴν φυγὴν ἐς τὸν πελάτην ὑποτοπήσας, ὡδήγησεν ὑπὸ τὸ τέγος· καὶ παρὰ τῶν τριῶν ἀνδρῶν τήν τε οὐσίαν ἔλαβε τοῦ πατρὸς, καὶ ἐς ἀγορανομίαν ᾑρέθη. ἀναλύοντα δὲ αὐτὸν ἐκ μέθης στρατιῶταί τι προσκρούσαντες, ἔκτειναν, οἳ καὶ τὸν πατέρα ἀνῃρήκεσαν. Θουράνιος δὲ, οὐ στρατηγῶν μὲν ἔτι, ἀλλ' ἐστρατηγηκὼς, πατὴρ δὲ νεανίου τὰ μὲν ἄλλα ἀκολάστου, δυναστεύοντος δὲ παρ' Ἀντωνίῳ, τοὺς λοχαγοὺς ἠξίου τὴν σφαγὴν ἐπισχεῖν οἱ πρὸς ὀλίγον, ἔστε αὐτὸν ὁ υἱὸς αἰτήσαιτο παρ' Ἀντωνίου. οἱ δ' ἐπιγελάσαντες, ᾔτησεν, εἶπον, ἀλλ' ἐπὶ θάτερα. καὶ συν-

Lin. 80 sq. πρεγεγράφθαι *Reg. C.* proſcriptum *Cand.* *L. 89.* ἀνηρέκεσαν *Edd. mend.* *Ibid.* Thoranius *Cand. in edit. Veneta: & pro eodem vulgo habetur, qui Φαρῶνος ſupra dictus eſt.* *L. 94.* ἐπιθάτερα *Edd. & Aug. Prætuli Reg. A. C.*

18. Alium *prætorem*, ANNALEM, dum una cum filio quæſturæ candidato ambit ſuffragia, amicorum cohors & lictores deſeruerunt, poſtquam didicerunt & hujus nomen adſcriptum in tabulis. *Annalis* ad quemdam ex ſuis clientibus fuga delatus, cui parvum ac vile tectum erat in ſuburbio, contemnendum omnibus modis, latebat in tuto: donec ipſius filius, rem ſuſpicatus, percuſſores ſub id tectum duxit, & a triumviris paterna bona ædilitatemque accepit. Quem a compotatione redeuntem ebrium, exorta rixa, iidem milites occiderunt, qui patrem ante occiderant. At THORANIUS, non quidem prætor, ſed *prætorius*, pater adoleſcentis alioquin perditi, qui tamen multum poſſet apud Antonium, centuriones orabat, tantiſper cædem differrent, dum ſe *filius* ab Antonio expeteret. Illi ridentes, *petiit*, inquiunt, *ſed in contrarium.* Id ubi intellexit ſe-

εἷς ὁ πρεσβύτης, ἕτερον αὐτίκα βραχύτατον ᾔτει διάστημα, μέχρι οὗ τὴν θυγατέρα ἴδοι· ἰδὼν δέ, ἐκέλευε μὴ μετασχεῖν τῶν πατρῴων, μὴ κἀκείνην ὁ ἀδελφὸς αἰτήσαιτο παρ' Ἀντωνίου. Συνέβη δὲ καὶ τῷδε, τὴν οὐσίαν ἐς αἰσχρὰ δαπανῆσαι, καὶ κλοπῆς ἁλόντι φυγεῖν ἐκ καταδίκης. A. U. 711.

XIX. Κικέρων δέ, ὃς μετὰ Γάιον Καίσαρα ἴσχυσεν, ὅση γένοιτο ἂν δημαγωγοῦ μοναρχία, κατέγνωστο μὲν ἅμα τῷ παιδὶ καὶ τῷ ἀδελφῷ καὶ τῷ παιδὶ τοῦ ἀδελφοῦ, καὶ πᾶσιν οἰκείοις τε καὶ στασιώταις καὶ φίλοις. φυγὼν δὲ ἐπὶ σκάφους, οὐκ ἔφερε τὴν ἀηδίαν τοῦ κλύδωνος, ἀλλὰ ἐς ἴδιον χωρίον, ὃ καθ' ἱστορίαν τοῦδε τοῦ πάθους εἶδον, ἀμφὶ Καπύην πόλιν τῆς Ἰταλίας, καταχθεὶς, ἠρέμει. πλησιαζόντων δὲ τῶν ἐρευνωμένων, (τοῦτον γὰρ δὴ φιλοτιμότατα πάντων Ἀντώνιός τε ἐζήτει, καὶ Ἀντωνίῳ πάντες,) ἐς τὸ δωμάτιον αὐτοῦ κόρακες ἐσπτάντες ἔκλαζον, ἐπεγείροντες ἀπὸ τοῦ ὕπνου, καὶ τὸ ἱμάτιον ἀπέσυρον ἀπὸ τοῦ σώματος· ἕως οἱ θεράποντες,

Lin. 8. Forsan ἀμφὶ ΚΑΙΗΤΗΝ *scripsit Appianus.*

nex, iterum breviſſimum poſtulavit ſpatium, donec vidiſſet filiam: quam, in conſpectum adductam, monuit ne adiret paternorum bonorum hæreditatem, ne & ipſam frater expeteret ab Antonio. Et hic quoque dein dignum factis exitum invenit: turpiter profuſo patrimonio, furti damnatus, ſolum vertere coactus eſt.

19. CICERO autem, qui poſt Cæſaris cædem regnaverat in concionibus, *proſcriptus* eſt *cum filio, et fratre, et filio fratris, et ſuæ factionis amicis omnibus* & familiaribus. Hic quum in navicula fugam capeſſiviſſet, jactationem non ferens, in villam ſuam, quam mihi libuit ob hujus caſus memoriam inviſere, prope Capuam [f. Cajetam,] delatus eſt. Ubi quum requieſceret, adpropinquantibus qui eum quærebant, (nam hunc præ ceteris Antonius & Antoniani omnes ſumma cura perquirebant) in cubiculum ejus involantes corvi crocitatu e ſomno eum excitabant, & ſtragulam ei detrahebant de corpore; donec ſervi, intel-

A. U. 711. σημηνάμενοι τὸ γιγνόμενον εἶναι σύμβολον ἐκ του θεῶν, ἐς φορεῖον ἐσθέμενοι τὸν Κικέρωνα, αὖθις ἐπὶ τὴν θάλασσαν ἦγον διὰ λόχμης βαθείας λανθάνοντες. πολλῶν δὲ ἀνὰ μέρη διαθεόντων τε καὶ πυνθανομένων, εἴ που Κικέρων ὀφθείη· οἱ μὲν ἄλλοι ἐπ' εὐνοίᾳ καὶ ἐλέῳ, πλεῖν αὐτὸν ἐξαναχθέντα, ἔλεγον, ἤδη· σκυτοτόμος δὲ, πελάτης Κλωδίου, πικροτάτου τῷ Κικέρωνι ἐχθροῦ γεγονότος, Λαίνᾳ τῷ λοχαγῷ σὺν ὀλίγοις ὄντι τὴν ἀτραπὸν ἔδειξεν. ὁ δὲ ἐπέδραμέ τε, καὶ θεράποντας ἰδὼν πολὺ πλείους τῶν ἀμφ' αὐτὸν ὁρμῶντας ἐς ἄμυναν, στρατηγικῶς μάλα ἀνεβόησεν, Ἐσελθέτωσαν εἰς τὸ χωρίον οἱ περὶ οὐρὰν λοχαγοί. τότε γὰρ οἱ μὲν θεράποντες ὡς ἐλευσομένων πλεόνων, κατεπλάγησαν.

XX. Ὁ δὲ Λαίνας, καὶ δίκην τινὰ διὰ τοῦ Κικέρωνός ποτε κατωρθωκὼς, ἐκ τοῦ φορείου τὴν κεφαλὴν ἐπισπάσας ἀπέτεμνεν, ἐς τρὶς ἐπιπλήσσων καὶ ἐκδιαπρίζων ὑπὸ ἀπειρίας· ἀπέτεμε δὲ καὶ τὴν χεῖρα, ᾗ τοὺς κατὰ Ἀντωνίου λόγους οἷα τυράννου συγγράφων, ἐς μί-

Lin. 21. Λαίνᾳ *Aug. Reg. C.* & *mox* Λαίνας *iidem.* *L.* 29 *sq.* ἐκδιαπρίζων *edit.* . *mend.*

ligentes divinitus illud missum esse ostentum, impositum lecticæ *Ciceronem* rursus deferrent ad mare per devia sylvæ densissimæ. Multis vero passim discurrentibus, & percunctantibus nuncubi visus esset *Cicero*; alii, miserati virum & bene ei cupientes, respondebant, eum soluta navi jam ferri per mare: unus sutor, cliens Clodii, infensissimi quondam Ciceroni, callem indicavit *Lænati centurioni*, comitato paucis militibus: qui cursim insecutus, quum a multo pluribus, quam qui secum essent, stipatum eum vidisset ad propugnandum paratis, insigni strategemate usus, exclamavit: *Properate centuriones, qui a tergo estis!* Tum servi, quasi mox impares futuri, metu sunt cohibiti.

20. *Lænas*, quamvis quondam *Ciceronis* patrocinio caussam vicisset, *attractum e lectica caput* ejus, repetito ter ictu veluti serra præsecuit magis quam *abscidit* ob imperitiam. *Manum quoque præcidit*, *qua* contra Antonium tamquam tyrannum orationes illas *scripserat*, quas ad imita-

μημα τῶν Δημοσθένους, Φιλιππικοὺς ἐπέγραψεν. ἔθεον δὲ οἱ μὲν ἐπὶ ἵππων, οἱ δὲ ἐπὶ νεῶν, αὐτίκα τὸ εὐαγγέλιον Ἀντωνίῳ διαφέροντες. καὶ ὁ Λαίνας ἐν ἀγορᾷ προκαθημένῳ, τὴν κεφαλὴν καὶ τὴν χεῖρα μακρόθεν ἀνέσειεν ἐπιδεικνύς. Ὁ δὲ ἥσθη τε μάλιστα, καὶ τὸν λοχαγὸν ἐστεφάνωσε, καὶ πλέοσι τῶν ἄθλων ἐδωρήσατο πέντε καὶ εἴκοσι μυριάσιν Ἀττικῶν δραχμῶν, ὡς μέγιστον δὴ τόνδε πάντων ἐχθρὸν καὶ πολεμιώτατόν οἱ γενόμενον ἀνελόντι. Ἡ κεφαλὴ δὲ τοῦ Κικέρωνος καὶ ἡ χεὶρ ἐν ἀγορᾷ τοῦ βήματος ἀπεκρέμαντο ἐπὶ πλεῖστον, ἔνθα πρότερον ὁ Κικέρων ἐδημηγόρει· καὶ πλείους ὀψόμενοι συνέθεον, ἢ ἀκροώμενοι. λέγεται δὲ καὶ ἐπὶ τῆς διαίτης ὁ Ἀντώνιος τὴν κεφαλὴν τοῦ Κικέρωνος θέσθαι πρὸ τῆς τραπέζης, μέχρι κόρον ἔσχε τῆς θέας τοῦ κακοῦ. Ὧδε μὲν δὴ Κικέρων, ἐπί τε λόγοις ἀοίδιμος ἐς ἔτι νῦν ἀνήρ, καὶ ὅτε ἦρχε τὴν ὕπατον ἀρχὴν ἐς τὰ μέγιστα τῇ πατρίδι γεγονὼς χρήσιμος, ἀνῄρητο· καὶ ἀνῃρημένος ἐνυβρίζετο. Ὁ δὲ παῖς ἐς τὴν Ἑλλάδα προαπέσταλτο ἐς Βροῦ- A. U. 711.

Lin. 39. ἐχθρῶν *Edd.* ἐχθρὸν *dedit Aug. Utramque lectionem agnoscit Reg. C. L. 46.* ἐσέτι, *una voce, Aug. Reg. C.*

tionem Demosthenicarum *Philippicas* inscripsit. Protinusque & terra per veredarios & mari per dromones Antonio lætissimus nuncius perfertur. Et mox Lænas eidem, in foro sedenti pro tribunali, e longinquo caput cum manu ostentavit quatiens. Antonius supra modum gavisus, centurionem coronavit; & ad statutum præmium eidem, ob maximum hunc & infensissimum omnium sibi inimicum sublatum, decies centena millia HS. adjecit. *Caput Ciceronis* cum manu diu *pro rostris pependit*, ubi prius concionari erat solitus: majorque tunc ad spectandum, quam prius ad audiendum, concursus fuit. Fertur etiam inter epulas caput Ciceronis mensæ impositum spectasse Antonius, donec eum satietas tam diri spectaculi cepisset. Ad hunc modum CICERO, vir eloquentiæ nomine nunc quoque laudatissimus, de patriaque sua in Consulatu singulariter plare meritus, & *occisus*, *et post necem contumeliis adfectus* est. Filius ejus jam ad Brutum in Græciam fuerat

A. U. 711. τεν. Κόϊντος δὲ, ὁ τοῦ Κικέρωνος ἀδελφὸς, ἅμα τῷ παιδὶ καταληφθεὶς, ἐδεῖτο τῶν σφαγέων, πρὸ τοῦ παιδὸς αὐτὸν ἀνελεῖν· τὰ δὲ ἐναντία καὶ τοῦ παιδὸς ἱκετεύοντος, οἱ σφαγεῖς ἔφασαν ἀμφοτέροις διαιτήσειν, καὶ διαλαβόντες ἕτερον ἑτέροι κατὰ σύνθημα φονεῖς, ἀνεῖλον ὁμοῦ.

XXI. Ἰγνάτιοι δὲ, πατὴρ καὶ υἱὸς, συμφύντες ἀλλήλοις, διὰ μιᾶς πληγῆς ἀπέθανον· καὶ αὐτῶν αἱ κεφαλαὶ μὲν ἀπετέτμηντο, τὰ δὲ λοιπὰ σώματα ἔτι συνεπέπλεκτο. Βάλβος τὸν υἱὸν, ἵνα μὴ βαδίζοντες ὁμοῦ φανεροὶ γένοιντο, προὔπεμψεν ἐς φυγὴν ἐπὶ θάλασσαν, καὶ μετ' ὀλίγον εἵπετο ἐκ διαστήματος. ἐξαγγείλαντος δέ τινος, εἴτε ἐξ ἐπιβουλῆς, εἴθ' ὑπ' ἀγνοίας, τὸν υἱὸν συνειλῆφθαι, ἐπανῆλθε, καὶ τοὺς σφαγέας μετεπέμψατο. συνέβη δὲ καὶ τὸν παῖδα ἀπολέσθαι ναυαγίῳ· οὕτω ταῖς τότε συμφοραῖς καὶ τὸ δαιμόνιον ἐπέκειτο. Ἀῤῥούντιος τὸν υἱὸν, οὐχ ὑφιστάμενον φεύγειν χωρὶς αὐτοῦ, μόλις ἔπεισεν ὡς νέον περισώζειν ἑαυτόν.

Lin. 55. Γνάτιοι *Aug. Ven. Reg. A.C. Cand.* Γνάτιος *Reg. B. Rectius forsan* Ἰγνάτιοι *fuisset editum.*

præmissus. QUINTUS vero, *frater Ciceronis*, comprehensus una *cum suo filio*, armatos orabat, ut se prius occiderent quam filium: at filius supplex rogabat contrarium. Percussores, composituros se illorum controversiam, dicentes, seorsim utrumque divisis partibus adgressi, ambos eodem momento necaverunt ex composito.

21. Iidem EGNATII, *pater filiusque*, invicem complexi, uno ictu ceciderunt; &, præcisis amborum simul cervicibus, trunci adhuc in mutuo complexu hæserant. BALBUS filium, quo magis fallerent separati, præmisit ut ad mare profugeret; ipse ex modico intervallo secutus. Quumque a quodam, sive dolo, sive per errorem, audisset, comprehensum esse filium; reversus, ultro percussores accivit. Filio autem accidit, ut in mari periret naufragio. Ita fortuna quoque calamitates illorum temporum augebat. ARUNTIUS filio, non sustinenti absque patre fugam capere, ægre persuasit, ut homo juvenis salutem suam vel-

καὶ τόνδε μὲν ἡ μήτηρ ἐπὶ τὰς πύλας προύπεμψε, καὶ ὑπέστρεψεν ἵνα ἀνῃρημένον τὸν ἄνδρα θάψειε. πυθομένη δὲ, καὶ τὸν υἱὸν ὑπὸ τῆς θαλάσσης διεφθάρθαι, λιμῷ διεχρήσατο ἑαυτήν. Αἵδε μὲν δὴ παίδων ἀγαθῶν καὶ κακῶν ἔστων εἰκόνες. A. U. 711.

XXII. Ἀδελφοὶ δὲ δύο ὁμοῦ προγραφέντες, οἷς ὄνομα ἦν Λιγάριοι, ἐκρύπτοντο ὑπὸ ἰπνῷ· μέχρι τῶν θεραπόντων αὐτοὺς ἀνευρόντων, ὁ μὲν αὐτίκα ἀνῃρέθη, ὁ δὲ ἐκφυγὼν, ἐπεὶ τὸν ἀδελφὸν ἔγνω διεφθαρμένον, ἔῤῥιψεν αὑτὸν ἀπὸ τοῦ ποταμοῦ τῆς γεφύρας ἐς τὸ ῥεῦμα. καὶ, αὐτὸν ἁλιέων περισχόντων, ὡς οὐκ ἐναλάμενον, ἀλλὰ πεπτωκότα, ἐς πολὺ μὲν ἐφιλονείκει, καὶ ἑαυτὸν ἐς τὸ ῥεῦμα ἐώθει. ἡσσώμενος δὲ τῶν ἁλιέων, περιεγίγνετο, καὶ, Οὐκ ἐμὲ, ἔφη, περισώζετε, ἀλλ' ἑαυτοὺς ἐμοὶ προγεγραμμένῳ συναπόλλυτε. οἱ δὲ καὶ ὡς αὐτὸν οἰκτείραντες περιέσωζον, μέχρι τινὲς τῶν στρατιωτῶν, οἱ τὴν

Lin. 68. πυθανομένη *Aug. quod ex* πυνθανομένη *eſſe poteſt.* *L.* 72. δύο *carent Edd. Dederunt Aug. Ven. Reg. C. Cand.* *L.* 73. Λιγάριοι *Edd. ex Reg. B. invitis Reg. A. C. Aug. Ven. Cand.* *Ibid.* ἰπνῷ *Aug.* *L.* 74 *ſq.* ἀπευγὼν *Edd. ex Reg. A. Præterli Aug. Reg. B. C.* *L.* 76. αὐτὸν *Edd. invitis MSS.* *Edd.* αὐτὸν ἀπὸ τοῦ ποταμοῦ *mend. Aug.* *Malim* ἀπὸ τῆς τοῦ ποταμοῦ γεφύρας. *L.* 77. ἐναλλόμενον *Edd. cum tribus Regiis.* ἐναλλάμενον *Aug. quod in* ἐναλάμενον *putavi mutandum.* *L.* 80. περιωσάζετε *Edd. invitis Aug. Reg. B: C.*

let quærere. Hunc mater ad portam proſecuta, revertit domum, ut interemto marito juſta perſolveret. Aliquanto poſt, ubi didicit periiſſe in mari filium, ipſa quoque inedia vitam finivit. Hactenus *filiorum bonorum atque malorum imagines* propoſui.

22. *Duo fratres* ſimul proſcripti, quibus LIGARIIS *nomen* erat, latebant in fumario. Ubi quum aliquanto poſt deprehenſi eſſent a ſervis, alter confeſtim occiſus eſt: alter, elapſus, poſtquam fratrem periiſſe cognovit, de Tiberino ponte deſiliit in fluvium: exceptusque a piſcatoribus, qui illum caſu non ultro decidiſſet, diu luctatus eſt, in flumen ſe ingerens. Quum vero nihil proficeret, illis vincentibus, *Non me ſervatis*; inquit, *ſed vos ipſos cum proſcripto perditis.* Sed illis tum quoque ſervare miſerum pergentibus; milites quidam, pontis cuſtodes, id

A. U. 711. γέφυραν ἐτήρουν, ἰδόντες, ἐπέδραμόν τε, καὶ τὴν κεφαλὴν ἀπέτεμον. Ἑτέρων δὲ ἀδελφῶν ὁ μὲν αὑτὸν ἔρριψε κατὰ τοῦ ῥεύματος, καὶ θεράπων αὐτοῦ τὸ σῶμα ἀνεζήτει μέχρι πέμπτης ἡμέρας· εὑρὼν δὲ, ἔτι γνωρίζεσθαι δυνάμενον, τὴν κεφαλὴν διὰ τὸ ἆθλον ἀπέκοψε. Τὸν δὲ ἕτερον, ἐν κοπρῶνι κρυπτόμενον, ἕτερος ἐμήνυσε θεράπων· καὶ οἱ σφαγεῖς εἰσελθεῖν μὲν ἀπηξίωσαν, δόρασι δὲ περικεντοῦντες ἐξήγαγον, καὶ, ὡς εἶχε, τὴν κεφαλὴν, οὐδὲ ἀπονίψαντες, ἀπέκοψαν. Ἕτερος δὲ, τοῦ ἀδελφοῦ συλλαμβανομένου, προσδραμὼν, ἀγνοίᾳ τοῦ καὶ αὐτὸς ἅμα ἐκείνῳ προγεγράφθαι, Ἐμὲ, ἔφη, κτείνατε πρὸ τούτου. καὶ ὁ λοχαγὸς, ἔχων τὸ ἀκριβὲς ἀνάγραπτον, Εἰκότα ἀξιοῖς, ἔφη· σὺ γὰρ πρὸ τούτου γέγραψαι· καὶ εἰπὼν, κατὰ τὴν τάξιν ἔκτεινεν ἄμφω. Ταῦτα μὲν δὴ καὶ ἀδελφῶν δείγματα.

XXIII. Λιγάριον δὲ ἡ γυνὴ κρύπτουσα, μίαν ἐς τὸ ἀπόρρητον ἐπηγάγετο θεράπαιναν. προδοθεῖσα δ᾽ ὑπ᾽ αὐτῆς,

Lin. 85 *sq.* ἐζήτει *Reg. C.* *L.* 98. *Aut corruptum h. l. videtur nomen* Λιγάριον, *aut adjiciendum* ἕτερον.

conſpicati, adcurrerunt & obtruncarunt hominem. *Aliorum fratrum* alter præcipitavit ſe in fluvium: cujus corpus ſervus, quintam uſque diem quæſitum, tandem invenit; & quoniam nondum omnino confuſa erant oris lineamenta, caput abſcidit, ut haberet præmium. Alter vero frater, in fimeto deliteſcens, ab alio ſervo eſt proditus: & percuſſores, dedignati eo deſcendere, haſtis confixum extraxerunt, &, ita ut erat, caput ne ablutum quidem præciderunt. *Alius*, quum fratrem comprehendi videret, adcurrit, neſciens ſe proſcriptum pariter; exclamavitque, *Me prius interficite*! Tum centurio, qui proſcriptorum ſeriem adcurate ſcriptam ad manus habebat, *Æquum poſtulas*, inquit; *nam tuum nomen ante hujus ſcriptum eſt*: & cum dicto ambos interfecit ex ordine. Hæc *Fratrum exempla* ſunto.

23. LIGARIUM vero *uxor* quum abſcondiſſet, unica ancilla comitata noverat latebras:

αὐτῆς, εἵπετο τῇ κεφαλῇ τοῦ ἀνδρὸς φερομένῃ, βοῶσα· A. U.
Ἐγὼ τοῦτον ὑπεδεξάμην, τὰ δ' ὅμοια τοῖς ὑποδεξαμένοις 711.
ἐστὶν ἐπιτίμια. καὶ οὐδενὸς αὐτὴν οὔτε ἀναιροῦντος, οὔτε μηνύοντος, αὐτάγγελος ἐς τοὺς ἄρχοντας ἦλθε καθ' ἑαυτῆς· κἀκείνων αὐτὴν διὰ τὴν φιλανδρίαν ὑπεριδόντων, ἑαυτὴν ἀπέκλεισε λιμῷ. Καὶ τῆσδε μὲν ἐνθάδε ἐπεμνήσθην, ὅτι τὸν ἄνδρα περισώζουσα ἀπετύγχανέ τε, καὶ συνεξήγαγεν ἑαυτήν. ὅσαι δ' ἐπέτυχον τῆς φιλανδρίας, ἐν τοῖς περισωθεῖσι τῶν ἀνδρῶν ἀναγράψω. Ἕτεραι δὲ ἀθεμίστως ἐπεβούλευσαν τοῖς ἀνδράσι. καὶ αὐτῶν ἐστὶν, ἡ Σεπτιμίῳ μὲν ἐγεγάμητο, ὑπὸ δέ τινος Ἀντωνίῳ φίλου διεφθείρετο· ἐπειγομένη δὲ ἐκ μοιχείας εἰς γάμον, ἐδεήθη διὰ τοῦ μοιχεύοντος αὐτὴν Ἀντωνίου. καὶ ὁ Σεπτίμιος αὐτίκα τοῖς πίναξι προσετέθη. καὶ μαθὼν ἐκ τῆς γυναικὸς, ὑπ' ἀγνοίας τῶν οἴκοι κακῶν, ἔφευγεν. ἡ δὲ, ὡς φιλοφρονουμένη, τὰς θύρας ἐπέκλεισε, καὶ ἐτήρει τὸν

Lin. 3. οὐδενὸς αὐτῶν αὐτὴν οὔτε *Edd. Delevi* αὐτῶν, *quod abeſt ab Aug. Ven. Reg. C.* οὐδενὸς αὐτῶν ἐστιν οὔτε *mend. Reg. A. B. L.* 11. Σεπτιμίᾳ *Reg. B. C. Aug. & mox* Σεπτιμίης *Reg. B. & Aug. Ib.* Ἀντανίου *Edd. Prætuli Aug. L.* 13. *Præpoſitionem* διὰ, *quæ ab Edd. & MSS. noſtr. abeſt, adjeci cum Cand. & Gelenio. L.* 14 *ſq.* ἐς τὴν γυναῖκα *legendum judicavit Gelenius, & cum eo Freinsh. & Muſgrav.*

bras: a qua prodita mulier, ſecuta eſt eos qui caput referebant, clamitans, *Ego huic fui receptaculo: idem autem contra celatores propoſitum eſt præmium.* Quumque nemo eam vel occideret vel indicaret, ipſa ſemet ad magiſtratus detulit: quibus pietatem erga conjugem diſſimulanter ferentibus, ſe ipſam abſumſit inedia. Quam ideo hoc loco memoravi, quod in ſervando marito fruſtrata eſt conatu ſuo, & ſuperſtes ei eſſe noluit: nam eas, quibus felix fuit hæc pietas, in elapſorum mentione referam. *Aliæ conjuges* nefarias *maritis ſtruxerunt inſidias.* Inter quas eminet *uxor* SEPTIMII; quæ quum ſtupri conſuetudinem haberet cum quodam Antonii amico, percuperetque ex adultera conjux ejus fieri, per adulterum egit cum Antonio: moxque *Septimius* adſcriptus eſt ſanguinariis tabulis. Quod ubi ille ex ipſa uxore didicit, ignarus probri domeſtici, fugam paravit. Sed illa, comiter blandiens, fores

A. C. 711.

ὑπὸ δὲ πολλῶν ἐπιβρισάντων εἷς ἀπέθανε, πολλοὺς ἀποκτείνας. Οὐετουλῖνος δὲ χεῖρα ἤθροισε πολλὴν ἀμφὶ τὸ Ῥήγιον, αὐτῶν τε τῶν προγεγραμμένων ἀνδρῶν, καὶ ὅσοι συνέφευγον αὐτοῖς, καὶ ἀπὸ τῶν ὀκτωκαίδεκα πόλεων, αἳ τοῖς στρατοῖς ἐπινίκια ἐπηγγελμέναι πάνυ ἐδυσχέραινον. τούσδε οὖν ἔχων ὁ Οὐετουλῖνος, ἀνῄρει τῶν λοχαγῶν τοὺς διαθέοντας· μέχρι, πεμφθέντος ἐπ' αὐτὸν στρατοῦ πλέονος, οὐδ' ὣς ἔληξεν, ἀλλ' ἐς Σικελίαν πρὸς Πομπήϊον, κρατοῦντά τε αὐτῆς, καὶ τοὺς φεύγοντας ὑποδεχόμενον, ἐπέρασεν. εἶτα ἐπολέμει καρτερῶς, μέχρι πολλαῖς μάχαις ἡσσώμενος, τὸν μὲν υἱὸν καὶ ὅσοι τῶν προγεγραμμένων ἄλλοι συνῆσαν, ἐπὶ Μεσήνης ἔπεμψεν· αὐτὸς δὲ, ὡς εἶδε πορθμευόμενον ἤδη τὸ σκάφος, ἐμπεσὼν τοῖς πολεμίοις, κατεκόπη.

XXVI. Νάσων δὲ ὑπὸ ἐξελευθέρου, παιδικῶν οἱ γενομένου, προδοθεὶς, ἥρπασε παρά του τῶν στρατιωτῶν

Lin. 50. ἐπιβριζάντων *edit.* 1. *mend.* *L.* 51. Vitulinus *Cand.* *L.* 55. *Artic.* ὁ *carent Edd.* ὁ ἰτιυλῖνος *dat Aug. truncatum ex* ὁ Οὐετουλῖνος, *quod perspicue exhibet Reg. C.* *L.* 59. *Pro* ἐπέρασεν *malim* ἐπρέσβευεν, *vel* ἔπεμψεν. *Ibid.* Subinde bello acriter gesto in Sicilia. *Cand. tamquam in suo exempl. legisset* ἐν Σικελίᾳ ἐπολέμει: *quod tamen alienum ab hoc loco videtur.* *L.* 61. ἄλλοις συνῆσαν *Edd. mend. ex Reg. B. invitis ceteris MSS.* *Ibid.* Μεσσήνης *h. l. Edd. neutiquam male, cum Reg. C.* Μεσσίνης *Reg. A. Secutus sum Aug. Reg. B.* *L.* 64. ἀπὸ ἐξελευθ. *Edd. Recte Aug. Reg. C.*

confertim irruentibus, a multis unus occisus est, qui prius multos occiderat. VETULINUS *magnam manum circa Rhegium contraxit*, partim ex proscriptis aliisque, qui cum his profugerant, partim ex illis XVIII urbibus militi destinatis in victoriæ præmium, quæ eam rem ferebant ægerrime. His igitur sibi adjunctis, centuriones discurrentes passim opprimebat; donec, majoribus copiis contra se missis, ne sic quidem ab incepto deterritus, egit cum Pompejo, Siciliam tunc obtinente, & receptaculum præbente fugientibus. Deinde bellum fortiter gessit: donec aliquot præliis victus, filio cum ceteris proscriptis Messanam præmisso, ipse, quum jam medium fretum tenere navim vidisset, irruens in hostes, concisus est.

26. NASO vero, *a liberto*, quem in deliciis habuerat, *proditus*, uni ex militibus ex-

A. U. 711.

ξίφος· καὶ τὸν προδότην μόνον ἀποκτείνας, ἑαυτὸν τοῖς σφαγεῦσιν ὑπέσχε. φιλοδέσποτος δὲ οἰκέτης τὸν κεκμημένον ἐπὶ λόφου ἐκάθισε, καὶ αὐτὸς ἐπὶ θάλασσαν ᾔει, μισθωσόμενος αὐτῷ σκάφος. ἐπανιὼν δὲ, κτεινόμενόν τε εἶδε τὸν δεσπότην, καὶ ἀποψύχοντος ἤδη, μέγα βοῶν, Ἐπίμεινον ἐς βραχὺ, ὦ δέσποτα, εἶπε, καὶ κτείνει τὸν λοχαγὸν ἐμπεσὼν ἄφνω. μετὰ δὲ ἐκεῖνον, ἑαυτὸν ἐπαναιρῶν, εἶπε τῷ δεσπότῃ, Παραμύθιον ἔχεις. Λεύκιος δὲ, δύο πιστοτάτοις ἀπελευθέροις χρυσίον δοὺς, ἐπὶ θάλασσαν ᾔει· διαδράντων δὲ ἐκείνων, ὑπέστρεψε, καταγιγνώσκων τοῦ βίου, καὶ ἑαυτὸν ἐμήνυσε τοῖς σφαγεῦσι. Λαβιηνὸς δὲ, ἐν ταῖς Σύλλα προγραφαῖς πολλοὺς τῶν τότε συλλαβών τε καὶ κτείνας, ἠδόξησεν ἄρα, εἰ μὴ τὰ ὅμοια γενναίως ἐνέγκοι· καὶ προελθὼν τῆς οἰκίας, ἐκαθέζετο ἐπὶ θρόνου, τοὺς σφαγέας περιμένων. Κέστιος δὲ ἐν χωρίοις παρὰ εὐνόοις θεράπουσιν ἐκρύπτετο. λοχαγῶν δ᾽ αἰεὶ σὺν ὅπλοις ἢ κεφαλαῖς διαθεόντων, οὐκ

Lin. 67. An δέ τις οἰκέτης? L. 68. καθῆσαι Reg. A. mend. καθῆσε Aug. & Reg. B. in contextu. καθεῖσε Edd. ex emend. Guil. Budaei ad marginem Regii B. ἐκάθισε dedit Reg. C.

torſit gladium, &, ſolo proditore mactato, jugulum præbuit percuſſoribus. *Fidus* autem *quidam ſervus*, poſtquam herum reſidere fecit in tumulo, ipſe porro ad mare abiit, conducturus naviculam: in reditu vero ſuperveniens occidentibus dominum, exſpiranti jam inclamavit, *Exſpecta, pauliſper, here!* ſimulque centurionem adgreſſus, confecit: deinde ſibi quoque manum inferens, *Habes*, inquit, *ſolamen, here!* LUCIUS duobus fidiſſimis *libertis* aurum dedit deferendum ad mare: qui poſtquam aufugerunt, reverſus, animum deſpondit, & ſe ipſe prodidit interfectoribus. LABIENUS, qui tempore Syllanæ proſcriptionis multos comprehenſos interemerat; turpe ſibi nunc fore ducens, niſi parem caſum generoſe pertuliſſet; pro foribus domus ſuæ in ſella reſedit, percuſſores opperiens. At CESTIUS, ruri apud benevolentes ſibi ſervos latitans, quum videret centuriones continuo diſcurrentes cum ar-

A. U. 711. ἔφερε τὸ μῆκος τοῦ φόβου, ἀλλ' ἔπεισε τοὺς θεράποντας ἅψαι πυρὰν, ἵνα ἔχοιεν λέγειν, ὅτι Κέστιον ἀποθανόντα θάπτοιεν. καὶ οἱ μὲν, ἐνεδρευθέντες, ἧψαν· ὁ δὲ ἐσήλατο ἐς αὐτήν. Ἀπώνιος δὲ ἀσφαλῶς ἑαυτὸν ἐπικρύψας, οὐκ ἤνεγκε τὴν πονηρίαν τῆς διαίτης, ἀλλὰ προήγαγεν ἑαυτὸν ἐπὶ τὴν σφαγήν. Ἄλλος ἐν φανερῷ καθῆστο ἑκὼν, καὶ, βραδυνόντων τῶν σφαγέων, ἀπήγξατο ἐν μέσῳ.

XXVII. Λεύκιος δὲ, ὁ Ἀσινίου τοῦ ὑπατεύοντος τότε πενθερὸς, φεύγων διὰ θαλάσσης, οὐ φέρων τοῦ χειμῶνος τὴν ἀηδίαν, ἔρριψεν ἑαυτὸν εἰς τὸ πέλαγος. Καὶ Σισίνιον δὲ οἱ διώκοντες, ὑποφεύγοντά τε, καὶ βοῶντα οὐ προγεγράφθαι, ἀλλὰ διὰ τὰ χρήματα ἐπιβουλεύεσθαι πρὸς αὐτῶν, ἐπὶ τὸν πίνακα ἀγαγόντες, ἀναγιγνώσκειν ἑαυτοῦ τὸ ὄνομα ἐκέλευον, καὶ ἀναγιγνώσκοντα ἔκτειναν. Αἰμίλιος δὲ, ἀγνοῶν ὅτι προγέγραπται, διωκόμενον ἄλλον ἰδὼν, ἤρετο τὸν λοχαγὸν τὸν διώκοντα, Τίς ὁ προγεγραμ-

Lin. 91. Ἀσιντίου *Aug. Reg. A.B. ut alibi.* *L.* 93 *sq.* Καὶ Σισίννιον *Aug. Ven Reg. A. An* Καισέννιον? *L.* 99. λοχαγὸν αὐτὸν διώκοντα *Edd. Prætuli Aug. Reg. A.C.*

mis & capitibus, pavorem diutius non tulit: sed *jussit servos rogum accendere*, ut possent dicere, Sepeliri a se herum. Quod postquam illi, non sentientes dolum, fecerunt: ipse *Cestius in ignem insiliit.* APONIUS in tuto latuerat: sed quod non ferret victus quotidiani miseriam, ultro, ut jugularetur, prodiit. *Alius*, in propatulo sedens, se occidendum præbebat; &, cunctantibus percussoribus, strangulavit se ipse in publico.

27. LUCIUS vero is, qui *Asinii* tunc *consulis socer* erat, fugiens per mare, & offensus sævis tempestatibus, in medios fluctus desiliit. SISINIUS, [an *Cæsennius*?] quum insectantes fugeret percussores, clamitans, se non esse proscriptum, sed propter pecunias strui sibi insidias, *ad ipsas tabulas* ab his *adductus*, & suum nomen legere jussus, dum legit, obtruncatus est. ÆMILIUS, proscriptum se nesciens, conspicatus quemdam alium fugientem, ex centurione scitatus est, *Quis hic*

μένος εἴη. καὶ ὁ λοχαγὸς, τὸν Αἰμίλιον γνωρίσας, Σὺ, κἀκεῖνος, εἶπε· καὶ τοὺς δύο ἀπέκτεινε. Κίλλων δὲ, ἐκ τοῦ βουλευτηρίου προιὼν, καὶ Δέκιος, ἐπεὶ τοῖς πίναξιν ἐπύθοντο σφῶν τὰ ὀνόματα προσγεγράφθαι, οὔπω τινὸς ἐπιόντος αὐτοῖς, ἔφευγον ἀκόσμως διὰ πυλῶν, καὶ αὐτοὺς τοῖς ἀπαντῶσι τῶν λοχαγῶν αὐτὸς ὁ δρόμος ἐμήνυσεν. Ἰκέλιος δὲ, ὃς ἐπὶ Βρούτῳ τε καὶ Κασσίῳ δικάζων, Καίσαρος τοῖς δικαστηρίοις μετὰ στρατιᾶς ἐφεστῶτος, καὶ, τῶν ἄλλων δικαστῶν κρύφα τὴν καταδικάζουσαν φερόντων, μόνος τὴν ἀπολύουσαν ἤνεγκε φανερῶς, ἐκλαθόμενος τῆς μεγαλόφρονος ἐλευθεριότητος, νεκρὸν σῶμα ἐκκομιζόμενον ὑποστὰς, τοῖς φέρουσι συνεβάσταζε τὸ λέχος. ἰδόντων δὲ τῶν φρουρούντων τὰς πύλας, ὅτι πλεονάζουσιν οἱ νεκροφόροι παρὰ τὸ σύνηθες ἑνὶ ἀνδρὶ, καὶ τοὺς μὲν φέροντας οὐχ ὑπονοούντων, τὸ δὲ λέχος ἐρευνωμένων, μὴ νεκρὸν τις ὑποκρίνοιτο· οἱ νεκροφόροι τὸν Ἰκέλιον ἤλεγχον οὐχ ὁμότεχνον σφίσιν ὄντα, ἐπιγνωσθέντα τε οἱ σφαγεῖς ἀπέκτειναν.

A. U. 711.

Lin. 4. προσγεγράφθαι *Reg. C.* *L.* 7. ἐμήνυεν *Reg. B.* *Ibid.* Σικίλιος *vel* Σιλίκιος *vocatur apud Dionem & Plut.* *L.* 11. ἐλευθερ. τ. προσ. *Aug.*

proscriptus? Qui, agnoscens Æmilium, *Tu atque ille*, inquit: & ambos occidit. CILO autem, & DECIUS, egressi curiam, ut resciverunt proscriptorum tabulæ nomina sua esse adjecta, priusquam quisquam eos adgrederetur, incondita trepidatione fugiebant per portam; quos cursus ipse centurionibus obviis prodidit. ICILIUS [f. *Silicius*] ille, qui, dum Brutus Cassiusque absentes postularentur in judicio, præsidente Cæsare cum exercitu, aliis judicibus clam atros calculos in urnam conferentibus, album solus palam tulerat, pristinæ nunc magnanimitatis & ingenuitatis immemor, *funeri, quod efferebatur*, *subjecit humeros*, atque ita cum aliis bajulabat sandapilam. Tum portæ custodes, conspicati numerum vespillonum uno viro majorem solito, nihil quidem de ipsis ferentibus suspicantes, tantum lectulum scrutati sunt, ne quis vivus efferretur pro mortuo. Sed ibi quum *Icilius* argueretur a sociis, quod non esset libitinarius, agnitus & interfectus est.

A. U. 711.

XXVIII. Οὐάρος δὲ, ἀπελευθέρου προδιδόντος αὐτὸν, ἀπέδρα, καὶ ὄρος ἐξ ὄρους ἀμείβων, ἐς τὸ Μιντουρναίων ἕλος ἐνέπεσεν, ἔνθα ἑαυτὸν διαναπαύων ἡσύχαζε. τῶν δὲ Μιντουρναίων ἐπὶ ζητήσει λῃστηρίου τὸ ἕλος περιθεόντων, ἥ τε κόμη τοῦ δόνακος σαλευθεῖσα ἐνέφηνε τὸν Οὔαρον· καὶ ληφθεὶς, ἔλεγεν εἶναι λῃστής· καὶ ἐπὶ θανάτῳ καταδικαζόμενος, ἠνείχετο. ὡς δὲ αὐτὸν ἔμελλον καὶ βασανιεῖν ἐς τοὺς συνεγνωκότας, οὐκ ἐνεγκὼν ἤδη τοῦτο, ὡς ἀπρεπέστερον, Ἀπαγορεύω, φησὶν, ὑμῖν, ὦ Μιντουρναῖοι, ὕπατόν με γεγενημένον, καὶ, ὃ τοῖς νῦν ἄρχουσι τιμιώτερόν ἐστι, προγεγραμμένον, μήτε βασανίζειν, μήτε ἀναιρεῖν ἔτι· εἰ γὰρ οὐκ ἔνι μοι διαφυγεῖν, ἄμεινον ὑπὸ τῶν ὁμοτίμων παθεῖν. Ἀπιστούντων δὲ τῶν Μιντουρναίων, καὶ τὸν λόγον ὑπονοούντων, λοχαγὸς ἐπέγνω διαθέων, καὶ τὴν κεφαλὴν ἀπέτεμε, τὸ δὲ λοιπὸν σῶμα τοῖς Μιντουρναίοις κατέλιπε. Λάργον ἕτεροι συνελάμβανον ἐν χωρίοις, οὐ Λάργον ἀλλ᾽ ἕτερον διώκοντες·

Lin. 27. ὑμῖν, quod vulgo abest, ded. Aug. Reg. C. L. 33. ἐπέτεμε Aug. mend. L. 35. Verbo διώκοντες caret Aug. male.

28. VARUS, a liberto indicatus, aufugit; &, postquam ex monte in montem oberraverat, ad Minturnensium tandem paludes delatus, ibi se abdidit, vires quiete paulisper reparaturus. Sed Minturnensibus per id ipsum tempus latronum receptacula perquirentibus, arundinum folia mota eum prodiderunt: *comprehensusque Varus, latronem se ajebat*; & ad supplicium damnatus, non recusavit quin duceretur. Sed ubi tormenta quoque intentari sibi vidit, ut profiteretur socios; id jam, ut inhonestius, non ferens, *Denuncio vobis,* inquit, *Minturnenses, ne me Consularem, et, quod rerum nunc potentibus pluris est, proscriptum, vel torqueatis, vel necetis! Quod si enim evadere mihi non licet; præstat ut ab his mortem patiar, qui mihi dignitate pares sunt.* Quum vero parum fidei verbis ejus haberent Minturnenses, & hæc ab eo fingi suspicarentur; centurio discursator supervenit, & agnito caput abscidit, relicto Minturnensibus trunco. LARGUS, per agros oberrans, incidit in quosdam, qui non ipsum, sed alium,

οἰκτείραντες δ᾽ ὅτι μὴ ζητούμενος ἁλοίη, φεύγειν μεθῆκαν ἀνὰ τὴν ὕλην. ὁ δὲ, ὑφ᾽ ἑτέρων διωκόμενος, δρόμῳ τοὺς προτέρους κατέλαβε· καὶ, ὑμεῖς, ἔφη, με κτείνατε μᾶλλον, οἱ ἐλεήσαντες, ἵνα τὸν μισθὸν ἀντὶ τούτων ὑμεῖς φέρησθε. ὁ μὲν δὴ ταύτην ἔδωκεν ἀμοιβὴν ἀποθνήσκων φιλανθρωπίας.

A. U. 711.

XXIX. Ροῦφος δὲ, ἔχων συνοικίαν περικαλλῆ, γείτονα Φουλβίας τῆς γυναικὸς Αντωνίου, πάλαι μὲν ἀξιούσῃ τῇ Φουλβίᾳ πρίασθαι τὴν οἰκίαν οὐ συνεχώρει, τότε δὲ καὶ δωρούμενος προεγράφη. καὶ τὴν κεφαλὴν ὁ μὲν Αντώνιος οἱ προσφερομένην, οὐχ᾽ ἑαυτῷ προσήκειν εἰπὼν, ἔπεμψεν ἐς τὴν γυναῖκα· ἡ δὲ, ἀντὶ τῆς ἀγορᾶς, ἐκέλευσεν ἐπὶ τῆς συνοικίας προτεθῆναι. Ἔπαυλιν ἕτερος εἶχε περικαλλῆ καὶ σύσκιον, ἄντρον τε καλὸν ἦν ἐν αὐτῇ καὶ βαθὺ, καὶ τάχα καὶ διὰ ταῦτα προὐγράφη. ἔτυχε δὲ ἀναψύχων κατὰ τὸ ἄντρον, καὶ αὐτῷ τῶν σφαγέων ἔτι

Lin. 39. μᾶλλον *abest vulgo. Dedit Aug. & Reg. C.* *L.* 45. τὴν μὲν κεφαλὴν ὁ μὲν Αντων. *Edd. Posterius* μὲν *abest a Reg. C. Delevi prius* μὲν *cum Aug.* *L.* 46. προσφερομένην *Aug. Ven.* *L.* 48. ἔπαυλον *Edd. mend. Verum dedit Aug. & Reg. C. quod & ad marginem Reg. B. notatum est a Gu. Budæo.* *L.* 50. καὶ ταῦτα καὶ διὰ ταῦτα *Aug. mend. Ibid. Post* διὰ ταῦτα *rursus inserunt* καὶ *Edd. cum Reg. A. B. & Aug. Illud tertium* καὶ *delevi cum Reg. C.*

persequebantur: qui, casum *Largi* miserantes, quod non quæsitus caperetur, dimiserunt eum, ut per sylvam profugeret. Quum vero mox exagitaretur ab aliis, recurrit ocius ad priores, vociferans, *Vos me potius interficite, qui servatum voluistis miserum: vos malo præmium accipere.* Hanc ille, moriturus, rependit his clementiæ gratiam.

29. RUFUS, *quum insulam in Urbe*, in vicinia Fulviæ, uxoris Antonii, *haberet pulcerrimam*, prius quidem eam vendere mulieri noluerat, tunc vero, ultro eidem dono offerens, tamen *proscriptus* est. Et caput ejus Antonius, ad se relatum, negans ad se pertinere, misit ad uxorem: quæ illud non in foro, sed ante insulam, jussit proponi. *Villam alius habebat* umbrosis arboribus amœnam & alioqui *perpulcram*, conjunctam speluncæ longo recessu opacæ, *propter quam proscriptus* creditur. Forte tum in sua spelunca frigus captabat, quum *servus*, procul conspicatus adcur-

A. U. 711. μακρόθεν ἐπιθεόντων, θεράπων αὐτὸν ἐς τὸν μυχὸν τοῦ ἄντρου προπέμψας, ἐνέδυ τὸν τοῦ δεσπότου χιτωνίσκον, καὶ ὑπεκρίνετο ἐκεῖνος εἶναι καὶ δεδιέναι· καὶ τάχα ἂν ἐπέτυχεν ἀναιρεθεὶς, εἰ μὴ τῶν ὁμοδούλων τις ἐνέφηνε τὴν ἐνέδραν. ἀναιρεθέντος δὲ ὧδε τοῦ δεσπότου, ὁ δῆμος ἀγανακτῶν παρὰ τοῖς ἄρχουσιν οὐκ ἐπαύετο, μέχρι τὸν μὲν ἐνδείξαντα κρεμασθῆναι, τὸν δὲ περισώσαντα ἐλευθερῶσαι ἐποίησεν. Ατέριοι δὲ, κρυπτόμενον, θεράπων ἐμήνυσέ τε, καὶ, ἐλεύθερος αὐτίκα γενόμενος, ἀντωνεῖτο τοῖς παισὶν αὐτοῦ τὴν οὐσίαν, καὶ ἐνύβριζεν ἐπαχθῶς. οἱ δὲ αὐτῷ πανταχῇ μετὰ σιγῆς εἵποντο κλαίοντες· ἕως ὁ δῆμος ἠγανάκτησε, καὶ οἱ τρεῖς αὐτὸν, ὡς πλεονάσαντα τῆς χρείας, ἀνεδούλωσαν τοῖς παισὶ τοῦ προγεγραμμένου. Περὶ μὲν δὴ τοὺς ἄνδρας τοιάδε ἐγίγνετο.

XXX. Ἥψατο δὲ καὶ ὀρφανῶν διὰ πλοῦτον ἡ τότε τύχη. καὶ ὁ μὲν, ἐς διδασκάλου φοιτῶν, αὐτῷ παιδαγωγῷ συνανῃρέθη, τὸν παῖδα περισχομένῳ τε καὶ οὐ

Lin. 53. προὐπέμψας Edd. Recte Aug. L. 54. ἐκεῖνος caret Aug. male.

rentes percussores, in intimum specum eum abdidit, *indutusque herilem tuniculam, se esse illum ajebat*; ac metum quoque simulans plane fefellerat, ni ex conservis quidam prodidisset fraudem. Ita postquam necatus est dominus; populus, indigne ferens, non prius desiit magistratus obtundere, quam *index* ille *in crucem actus*, *servator vero servus libertate donatus* est. ATERIUM quoque latentem *servus indicavit*: moxque *liberatus*, quum proscripti bona liberi ejus sub hasta vellent emere, licitator æmulus ex adverso eis restitit, non sine contumeliis. Qui, silentio concoquentes dolorem, tantum ubique sequebantur eum cum lacrimis; donec, indignatione populi in illum coorta, a Triumviris, ut nimium insolens, *rursus in servitutem addictus est liberis proscripti*. Et hæc quidem *virorum fata* fuerunt.

30. Pervenit autem ejusdem mali contagium & ad *pueros orbatos parentibus*, ut eorum fortunæ præda fierent. Quorum *unus*, dum ad ludum literarium commeat, *interfectus* est una *cum pædagogo*, qui puerum complexu protegens divelli non potue-

μεθιέντι. Ἀτίλιος δὲ, ἄρτι τὴν τῶν τελείων περιθέμενος στολὴν, ᾔει μὲν, ὡς ἔθος ἐστὶ, σὺν πομπῇ φίλων ἐπὶ θυσίας ἐς τὰ ἱερά. ἄφνω δὲ ἐγγραφέντος αὐτοῦ τοῖς πίναξιν, οἱ φίλοι καὶ οἱ θεράποντες διεδίδρασκον· ὁ δὲ μόνος καὶ ἔρημος ἐκ δὴ εὐφιλοῦς παραπομπῆς ἐς τὴν μητέρα ἐχώρει. οὐ δεξαμένης δὲ αὐτὸν οὐδὲ ἐκείνης ὑπὸ δέους, οὐκ ἀξιώσας ἔτι ἐς πεῖραν ἐλθεῖν ἑτέρου μετὰ μητέρα, ἐς ὄρος ἔφυγεν· ὅθεν ὑπὸ λιμοῦ ἐς τὰ πεδινὰ κατελθὼν, ἐλήφθη πρός ἀνδρὸς, λῃστεύειν τοὺς παροδεύοντας καὶ ἐπὶ ἔργῳ καταδεῖν εἰθισμένου. οἷα δὲ παῖς ἐκ τρυφῆς τὸν πόνον οὐκ ἐνεγκὼν, ἐς τὴν ἁμαξιτὸν αὐταῖς χοινικίσι διέδρα, καὶ παροδεύουσι λοχαγοῖς ἑαυτὸν ἐμήνυσέ τε καὶ ἀνῃρέθη. *A. U.* 711.

XXXI. Γιγνομένων δὲ τούτων, Λέπιδος ἐπὶ Ἴβηρσιν ἐθριάμβευε, καὶ προυτέθη διάγραμμα οὕτως ἔχον· Ἀγαθῇ τύχῃ, προειρήσθω πᾶσι καὶ πάσαις, θύειν καὶ εὐωχεῖσθαι τὴν ἡμέραν τὴν παροῦσαν· ὃς δ᾽ ἂν μὴ φαίνηται ταῦτα ποιῶν, ἐν τοῖς προγεγραμμένοις ἔσται. Ὁ

Lin. 84. προειρήσθω *Edd. Recte Aug. Reg. C.*

rat. ATILIUS vero, qui tum primum virilem togam sumserat, sacrorum faciendorum causa ex more templa obibat, deducentibus amicis. Interim adscripto repente tabulis nomine adolescentuli, amici & servi diffugere: ipse desolatus, & a tam splendida modo pompa destitutus, ad matrem se contulit. Ac ne illa quidem admittente præ metu, *post frustra imploratam matris misericordiam* non ausus cuiquam alii se committere, in montem profugit: unde fame in planitiem coactus descendere, *a plagiario captus*, & in ergastulum detrusus est. Inde puer delicatus, laborem non ferens, *evasit* in viam publicam, sicut erat, *compeditus*, seque transeuntibus centurionibus prodidit; atque ita *denique obtruncatus* est.

31. Dum hæc geruntur, *Lepidus de Hispanis triumphavit*, & *Edictum* hujusmodi est propositum: *Quod felix faustumque sit; edicitur universis, ut sacris atque epulis celebrent hunc diem: qui contra fecerit, inter proscriptos esto.* Et ille quidem trium-

A. U. 711. μὲν δὴ τὸν θρίαμβον ἐς τὰ ἱερὰ ἀνῆγε, παραπεμπόντων αὐτὸν ἁπάντων μετὰ σχήματος ἱλαροῦ καὶ γνώμης δυσμενοῦς. Τῶν δὲ προγεγραμμένων τὰ μὲν ἐν ταῖς οἰκίαις διεφορεῖτο· καὶ οὐ πολὺς ἦν ὁ τὰ χωρία ὠνούμενος, οἱ μὲν ἐπιβαρεῖν τοῖς ἠτυχηκόσιν αἰδούμενοι, καὶ οὐκ ἐν αἰσίῳ σφίσι τὰ ἐκείνων ἔσεσθαι νομίζοντες, οὐδὲ ἀσφαλὲς ὅλως χρυσίον ἢ ἀργύριον ἔχοντας ὁρᾶσθαι, οὐδὲ τὰς ἐπικτήσεις νῦν ἀκινδύνους, πολὺ δὲ μᾶλλον τὰ ὄντα ἐπικίνδυνα. μόνοι δὲ οἱ διὰ θρασύτητα προσιόντες, ἅτε μόνοι, βραχυτάτου πάμπαν ὠνοῦντο. ὅθεν τοῖς ἄρχουσιν, ἐλπίσασιν ἐς τὰς τοῦ πολέμου παρασκευὰς τάδε ἀρκέσειν, ἐνέδει μυριάδων ἔτι δισμυρίων.

712. XXXII. Καὶ τοῦτο ἐς τὸν δῆμον εἰπόντες, προὔγραφον χιλίας καὶ τετρακοσίας γυναῖκας, αἳ μάλιστα πλούτῳ διέφερον· καὶ αὐτὰς ἔδει, τὰ ὄντα τιμωμένας, ἐσφέρειν ἐς τὰς τοῦ πολέμου χρείας, ὅσην ἑκάστην οἱ τρεῖς δοκιμάσειαν. ἐπέκειτό τε ταῖς ἀποκρυψαμέναις τι τῶν ὄντων, ἢ τιμησαμέναις κακῶς, ἐπιτίμια, καὶ τοῖς ταῦτα μη-

Lin. 95. *οἱ, ante διὰ, quod abest vulgo, dedd. Aug. Ven. Reg. C.*
L. 3. *An ὅσον ἑκάστην?*

phalem pompam egit in templa; omnibus hilari specie, infenso animo, deducentibus. *Proscriptorum* vero *ædes* diripiebantur; prædia autem *non multos inveniebant emtores*, quod puderet alieno infortunio insultare, idque eo magis, quod inauspicata sibi hujusmodi lucra fore quisque putaret, ac ne tutum quidem esset omnino cum auro argentoque conspici, & adeo periculosum augere possessiones, ut ne præsentes quidem in tuto viderentur. Soli nonnulli, qui per audaciam accedere solebant, vilissimo pretio, quia soli erant, emebant. Unde accidit, ut Triumviris, qui hæc ad adparatum belli speraverant suffectura, in rem suam opus adhuc esset *HS. octies millies.*

32. Id pro concione præfati *Triumviri*, *Edictum* ediderunt; *quo MCCCC mulieres ditiores jubebantur* bona sua profiteri, & *in sumtus belli conferre* pro Triumvirorum arbitrio. Si quæ aut celassent quidquam, aut non recte æstimassent, iis mulcta est decreta; indicibus vero horum, tam ingenuis, quam servis, præmi-

νύουσιν ἐλευθέροις τε καὶ δούλοις μήνυτρα. Αἱ δὲ γυναῖκες ἔκριναν, τῶν προσηκουσῶν τοῖς ἄρχουσι γυναικῶν δεηθῆναι. τῆς μὲν δὴ Καίσαρος ἀδελφῆς οὐκ ἀπετύγχανον, οὐδὲ τῆς μητρὸς Ἀντωνίου· Φουλβίας δέ, τῆς γυναικὸς Ἀντωνίου, τῶν θυρῶν ἀπωθούμεναι, χαλεπῶς τὴν ὕβριν ἤνεγκαν. καὶ ἐς τὴν ἀγορὰν ἐπὶ τὸ βῆμα τῶν ἀρχόντων ὠσάμεναι, διϊσταμένου τοῦ τε δήμου καὶ τῶν δορυφόρων, ἔλεγον, Ὀρτησίας ἐς τοῦτο προκεχειρισμένης· Ὃ ΜΕΝ ἥρμοζε δεομέναις ὑμῶν γυναιξὶ τοιαῖσδε, ἐπὶ τὰς γυναῖκας ὑμῶν κατεφύγομεν· ὃ δὲ οὐχ ἥρμοζεν ὑπὸ Φουλβίας παθοῦσαι, ἐς τὴν ἀγορὰν συνεώσμεθα ὑπ' αὐτῆς. Ὑμεῖς δ' ἡμᾶς ἀφείλεσθε μὲν ἤδη γονέας τε καὶ παῖδας καὶ ἄνδρας καὶ ἀδελφούς· ἐπικαλοῦντες, ὅτι πρὸς αὐτῶν ἠδίκησθε. εἰ δὲ καὶ τὰ χρήματα προσαφέλοισθε, περιστήσετε εἰς ἀπρέπειαν ἀναξίαν γένους, καὶ τρόπων καὶ φύσεως γυναικείας. Εἰ μὲν δή τι καὶ πρὸς ἡμῶν, οἷον ὑπὸ τῶν ἀνδρῶν, ἠδικῆσθαί φατε, προγράψατε καὶ ἡμᾶς ὡς ἐκείνους. εἰ δὲ οὐδένα ὑμῶν αἱ

A. U. 712.

Lin. 13. Ὀρτησίας, *semper cum spir. leni*, *MSSti nostri omnes.*
Ibid. προκεχειρισμένης *Edd. invitis MSS.*

um. *Mulieres* vero statuerunt, cognatas Triumvirorum deprecatrices adhibere. Ac sororem quidem Cæsaris facilem, itemque matrem Antonii, nactæ sunt. Sed *a Fulviæ foribus*, uxoris Antonii, repulsæ, moleste tulerunt eam contumeliam. Itaque *progressæ in forum*, per mediam turbam usque *ad Triumvirorum* penetrarunt *tribunal*, decedente tam plebe quam satellitibus: ibique, *verba faciente* HORTENSIA, ita disseruerunt: „QUOD NOS, tales MULIERES, decebat, opis vestræ egentes, „ad mulieres vestras confugimus: quod vero minime decuit passæ a Fulvia, coactæ sumus ejus importunitate forum uno agmine petere. Vos vero nobis jam parentes & liberos & maritos & fratres, ademistis; uno omnium crimine, quod injuria ab eis fitis adfecti. Quod si facultates etiam auferetis; adigetis nos ad ea, quæ nec genus nostrum, nec mores, nec sexum decent. *Si a nobis*, *æque ac a viris*, *vos adfectos injuria dicitis*; *nos quoque*, *sicut illos*, *proscribite*! Quod si nemo ve-

A. U. 712. γυναῖκες οὔτε πολέμιον ἐψηφισάμεθα, οὔτε καθείλομεν οἰκίαν, ἢ στρατὸν διεφθείραμεν, ἢ ἐπηγάγομεν ἕτερον, ἢ ἀρχῆς ἢ τιμῆς τυχεῖν ἐκωλύσαμεν· τί κοινωνοῦμεν τῶν κολάσεων, αἱ τῶν ἀδικημάτων οὐ μετασχοῦσαι;

XXXIII. Τί δὲ ἐσφέρομεν, αἱ μήτε ἀρχῆς, μήτε τιμῆς, μήτε στρατηγίας, μήτε τῆς πολιτείας ὅλως, τῆς ὑμῖν ἐς τοσοῦτον ἤδη κακοῦ περιμαχήτου, μετέχουσαι; Ὅτι φατὲ πόλεμον εἶναι; Καὶ πότε οὐ γεγόνασι πόλεμοι; καὶ πότε γυναῖκες συνήνεγκαν; ἃς ἡ μὲν φύσις ἀπολύει παρὰ ἅπασιν ἀνθρώποις. αἱ δὲ μητέρες ἡμῶν ὑπὲρ τὴν φύσιν ἐσήνεγκάν ποτε ἅπαξ, ὅτε ἐκινδυνεύετε περὶ τῇ ἀρχῇ πάσῃ καὶ περὶ αὐτῇ τῇ πόλει, Καρχηδονίων ἐνοχλούντων. καὶ τότε δὲ ἐσήνεγκαν ἑκοῦσαι, καὶ οὐκ ἀπὸ γῆς, ἢ χωρίων, ἢ προικὸς, ἢ οἰκιῶν, ὧν χωρὶς ἀβίωτόν ἐστιν ἐλευθέραις, ἀλλ' ἀπὸ μόνων τῶν οἴκοι κόσμων, οὐδὲ τούτων τιμωμένων, οὐδὲ ὑπὸ μηνυταῖς ἢ

Lin. 27. μὴ μετασχοῦσαι *Reg. C.* *L.* 30. περιμαχήτου, μαχεύουσαι; *mend. Edd. Recte Aug. Ven. Reg. C.* *L.* 32. γυναῖκες εἰσήνεγκαν *Reg. C.* *L.* 38. ἐλευθέρας *Aug.* ἐλευθέραι *vel* ἐλευθέρα *Ven.*

„ſtrum a mulieribus hoſtis eſt judicatus; ſi non ædes cujuſquam diruimus, non exercitum concidimus, aut alium exercitum contra vos duximus, ſi nemini, quominus magiſtratu honoreve potiretur, obſtitimus; *cur in pœnarum partem, expertes culpæ, vocamur?*

33. „*Cur tributa conferemus nos*, quæ nec magiſtratus, nec dignitatem, nec præfecturas, nec partem omnino ullam tractationis reipublicæ, vobiſcum communem habemus? An, quia bellum inſtare dicitis? At quando defuerunt bella? *Quando tributa a mulieribus exacta ſunt; quæ ſexus immunitatem habent communi jure gentium?* Majorum quidem ſeculo, ſupra conditionem ſexus, ſemel contribuerunt noſtræ progenitrices, tum quum de univerſo imperio ac de ipſa patria, Pœnis prementibus, ageretur. Et tunc quidem contribuerunt ultro, idque non ex ruſticis urbaniſve prædiis, non ex dotalibus pecuniis, ſine quibus non poteſt ingenuam vitam degere mulier; ſed ex ſolo muliebri mundo, neque eo ad certum cenſum æſti-

κατηγόρους, οὐδὲ πρὸς ἀνάγκην ἢ βίαν, ἀλλ' ὅσον ἐβούλοντο αὐταί. Τίς οὖν καὶ νῦν ἐστιν ὑμῖν περὶ τῆς ἀρχῆς ἢ περὶ τῆς πατρίδος δέος; ἴτω τοίνυν ἢ Κελτῶν πόλεμος, ἢ Παρθυαίων, καὶ οὐ χείρους ἐς σωτηρίαν ἐσόμεθα τῶν μητέρων. Ἐς δὲ ἐμφυλίους πολέμους μήτε ἐσενέγκαιμέν ποτε, μήτε συμπράξαιμεν ὑμῖν κατ' ἀλλήλων. οὐδὲ γὰρ ἐπὶ Καίσαρος ἢ Πομπηΐου συνεφέρομεν, οὐδὲ Μάριος ἡμᾶς, οὐδὲ Κίννας ἠνάγκασεν, οὐδὲ Σύλλας ὁ τυραννήσας τῆς πατρίδος· ὑμεῖς δέ φατε καὶ καθίστασθαι τὴν πολιτείαν. A. U. 711.

XXXIV. Τοιαῦτα τῆς Ὁρτησίας λεγούσης, οἱ τρεῖς ἠγανάκτουν, εἰ γυναῖκες, ἀνδρῶν ἡσυχαζόντων, θρασυνοῦνταί τε καὶ ἐκκλησιάσουσι, καὶ τὰ δρώμενα τοῖς ἄρχουσιν ἐξετάσουσι, καὶ, τῶν ἀνδρῶν στρατευομένων, αὐταὶ οὐδὲ χρήματα ἐσοίσουσιν. Ἐκέλευόν τε τοῖς ὑπηρέταις ἐξωθεῖν αὐτὰς ἀπὸ τοῦ βήματος· μέχρι, βοῆς ἔξωθεν ἐκ τοῦ πλήθους γενομένης, οἵ τε ὑπηρέται τὸ ἔργον ἐπέσχον, καὶ οἱ ἄρχοντες ἔφασαν ἐς τὴν ὑστεραίαν ἀνα-

Lin.45. ὑμῖν ΤΙΟΙΣ καθ' ἀλλήλων *Aug. & Ven. Quos nescio an sequi debuerim. L. 52.* ἐκκλησιάζουσι *Edd. Prætuli Aug. Reg. C.*

„mato, positis indici præmiis, neque vi & necessitate imposita, sed quantum ipsis visum est. Nunc quid imperio timetis aut patriæ? Veniant Galli aut Parthi hostes; non erimus deteriores in tuenda patria nostris progenitricibus. *Ad Civilia vero Bella absit ut vobis contribuamus*, aut opem feramus, inter vosmet dimicantibus. Neque enim C. Cæsare aut Pompejo imperium obtinente exactiones ullas contulimus: nec Marius nobis, nec Cinna, hanc necessitatem imposuit: ne Sylla quidem, oppressor reipublicæ, quam vos constituere profitemini."

34. Hæc *Hortensiæ verba* moleste tulere *Triumviri*: mulierum audaciam, viris cessantibus, usque conciones procedere; a magistratibus rationem reposcere; viris militiæ labores perferentibus, ipsas gravari pecuniæ sumtum facere. Itaque adparitoribus præcipiunt, ut per vim eas a tribunali submoveant. Sed mox exortus a circumstante multitudine clamor cohibuit adparitores; & Triumviri rem

A. U. 712. τίθεσθαι. Τῇ δ' ὑστεραίᾳ, τετρακοσίας μὲν ἀντὶ χιλίων καὶ τετρακοσίων προύγραφον ἀποτιμᾶσθαι τὰ ὄντα· τῶν δὲ ἀνδρῶν, πάντα τὸν ἔχοντα πλείους δέκα μυριάδων, ἀστὸν ὁμοῦ καὶ ξένον, καὶ ἀπελεύθερον, καὶ ἱερέα, καὶ πανταεθνῆ, μηδενὸς ἀφιεμένου, καὶ τούσδε μεθ' ὁμοίου φόβου τῶν ἐπιτιμίων, καὶ ὑπὸ μηνύμασιν ὁμοίοις· ἵνα πεντηκοστὴν μὲν τῶν ὄντων αὐτίκα δανείσαιεν αὐτοῖς, ἐνιαυτοῦ δὲ φόρον ἐς τὸν πόλεμον ἐσενέγκαιεν.

711 sqq. XXXV. Ἐκ μὲν δὴ τῶν προσταγμάτων, τοιαῦτα Ῥωμαίους ἐπεῖχεν. ὁ δὲ στρατὸς, σὺν καταφρονήσει, χείρονα ἐποίουν. Ὡς γὰρ τῶν ἀρχόντων ἐπὶ τοιοῖσδε ἔργοις ἐν σφίσι μόνον τὸ ἀσφαλὲς ἐχόντων· οἱ μὲν αὐτοὺς ᾐτοῦντο τῶν δεδημευμένων οἰκίαν, ἢ ἀγρὸν, ἢ ἔπαυλιν, ἢ ὅλον κλῆρον· οἱ δ' αὖ, παῖδας ἀνδράσι θετοὺς γενέσθαι. οἱ δὲ ἀφ' ἑαυτῶν ἕτερα ἔδρων, κτιννύντες τε τοὺς οὐ προγεγραμμένους,

Lin. 63. καὶ ὑπομνήμασιν *Edd. & MSS. nostri, quod mutavi in id, e quo corruptum est.* *L.* 72. τε, *post* κτιννύντες, *caret Aug.*

in crastinum differendam dixerunt. Posteroque die, pro mille quadringentis, tantum *quadringentarum bona* ut censerentur *proscripta* sunt: *edictum*que, *ut viri, quicumque in censu plus quadringentis millibus HS. haberent*, cives, exteri, liberti, sacerdotes, cujuscumque gentis homines, nemine excepto, *facultates suas profiterentur*; propositis eisdem pœnis, si quis contra faceret, & indicibus eorum eisdem præmiis; *ut eorum bonorum quinquagesimam statim partem ad usuram darent, et unius anni reditus quisque ad bellum contribueret.*

35. Hujusmodi calamitatibus quum Romani *ex Triumvirorum mandato* adfligerentur; eodem tempore *milites*, imperia parum curantes, *pejora etiam per se perpetrabant.* Hi enim, quum scirent, in se solis sitam esse Triumvirorum, talia agentium, securitatem omnem, petebant ab illis alii domos proscriptorum, aut agros, aut villas, aut census integros; alii, ut ab opulentis civibus adoptarentur pro liberis: alii, non exspectato adsensu magistratuum, occidebant

γραμμένους, καὶ οἰκίας οὐδὲν ὑπαιτίων διαφοροῦντες· ὥστε καὶ τοὺς ἄρχοντας προγράψαι, τῶν ὑπάτων τὸν ἕτερον ἐπιστροφήν τινα ποιήσασθαι τῶν ὑπὲρ τὸ πρόσταγμα γιγνομένων. ὁ δὲ τῶν μὲν ὁπλιτῶν ἔδεισεν ἅψασθαι, μὴ σφᾶς ἐφ' ἑαυτὸν παροξύνῃ· τῶν δὲ θεραπόντων τινάς, οἳ σχήματι στρατιωτῶν συνεξημάρτανον ἐκείνοις, λαβὼν ἐκρέμασε. A. U. 711 sqq.

XXXVI. Καὶ τὰ μὲν ἐς τέλος τῶν συμφορῶν τοῖς προγεγραμμένοις ἀπαντῶντα, τοιάδε μάλιστα ἦν. Ὅσα δὲ ἐκ παραλόγου τισὶν ἐγίγνετο ἔς τε τὴν σωτηρίαν αὐτίκα, καὶ ἐς ἀξίωσιν ὕστερον, ἐμοί τε ἥδιον εἰπεῖν, καὶ τοῖς ἀκούουσιν ὠφελιμώτερον, ἐς μηδὲν ἀποκάμνοντας ἐλπίζειν περιέσεσθαι. Αἱ μὲν οὖν φυγαὶ τοῖς δυναμένοις ἦσαν ἐς Κάσσιον ἢ Βροῦτον ἢ ἐς Λιβύην ἐπὶ Κορνιφίκιον, καὶ τόνδε τῆς δημοκρατίας μεταποιούμενον. ὁ δὲ πολλὸς ἐς Σικελίαν ᾔει, γειτονεύουσαν τῆς Ἰταλίας, καὶ

Lin. 78 sq. συνεξημάρτανον, ἐκείνοις *Edd. ex Reg. A. invitis ceteris quatuor nostris MSStis. L. 81.* ἀπαιτῶντα *Aug. quod saepius cum altero commutatum est a librariis.*

debant non proſcriptos, diripiebant ædes inſontium, aliaque ejuſdem generis multa patrabant. Eoque res devenit, ut a Triumviris quoque alter conſulum juſſus ſit nimiam eorum corrigere licentiam. Qui, non auſus ipſos milites, ne eos in ſe irritaret, adtingere, ſervos nonnullos, qui militari cultu cum illis peccare conſuevelant, comprehenſos in crucem egit.

36. Et adhuc quidem exempla protulimus extremorum caſuum, qui proſcriptos magno numero oppreſſerunt. *Quæ autem ex inſperato aliis contigerunt, ut vel ſalvi evaderent,* vel ad honores quoque deinde pervenirent; ea quoque memorare, cum mihi jucundius eſt, tum lecturis utilius, ne quis umquam in rebus adverſis deſpondeat animum, ſpemque ſalutis abjiciat. Igitur *qui effugere poterant, ad Caſſium profecti ſunt, aut ad Brutum, aut in Africam ad Cornificium,* qui pariter a partibus ſtabat reipublicæ. Sed *plerique in Siciliam,* Italiæ vicinam, ſe receperunt; *ubi promtiſſime* POMPEIUS

A. U. 711 sqq.

Πομπηίου σφᾶς προθύμως ὑποδεχομένου. Λαμπροτάτην γὰρ δὴ σπουδὴν ἐς τοὺς ἀτυχοῦντας ὁ Πομπήϊος ἐν καιρῷ τότε ἔδειξε, κήρυκάς τε περιπέμπων, οἳ πάντας ἐς αὐτὸν ἐκάλουν, καὶ τοῖς περισώζουσιν αὐτοὺς ἐλευθέροις τε καὶ θεράπουσι προλέγων διπλάσια τῶν διδομένων τοῖς αἱροῦσι. λέμβοι τε αὐτοῦ καὶ στρογγύλα ὑπήντα τοῖς πλέουσι, καὶ τριήρεις τοὺς αἰγιαλοὺς ἐπέπλεον, σημεῖά τε ἀνίσχουσαι τοῖς ἀλωμένοις, καὶ τὸν ἐντυγχάνοντα περισώζουσαι. Αὐτός τε τοῖς ἀφικνουμένοις ἀπήντα, καὶ ἐσθῆτος αὐτίκα καὶ κατασκευῆς ἐμερίζετο· τοῖς δὲ ἀξίοις καὶ ἐς στρατηγίας ἢ ναυαρχίας ἐχρῆτο. σπονδῶν τε οἱ πρὸς τοὺς τρεῖς γιγνομένων ὕστερον, οὐ συνέθετο, πρὶν τούσδε τοὺς ἐς αὐτὸν διαφυγόντας ἐς ταύτας περιλαβεῖν. Ὁ μὲν δὴ χρησιμώτατος οὕτως ἀτυχούσῃ τῇ πατρίδι ἐγίγνετο, καὶ δόξαν ἐκ τοῦδε ἀγαθὴν, ἴδιον ἐπὶ τῇ πατρῴᾳ, καὶ οὐχ ἥσσονα τήνδε ἐκείνης, προσελάμβανεν. Ἕτεροι δὲ ἑτέρως φυγόντες ἢ κρυπτόμε-

Lin. 91. ἐν καιρῷ τάδε ἔδειξ. Edd. Prætuli Aug. Reg. B. C. L. 99. ἐς, quod abest vulgo ante στρατηγίας, commode dedit Aug. L. 1. πρὸς τρεῖς Aug. Ven. & carent artic. τοὺς, male. L. 2 sq. ἐς τάσδε Reg. C. in contextu: & Γρ'. ταύτας, idem in marg.

profugos omnes excipiebat. Is enim egregium officium miseris commode tunc temporis præstitit; dimissis præconibus, qui omnes ad eum vocarent; propositoque servatoribus, cum ingenuis, tum servis, præmio duplo ejus quod percussores accipiebant. Lembos quoque & onerarias obviam mittebat navigantibus: triremesque oras legebant, adtollentes signa errantibus, & servantes quotquot nancisci poterant. Et ipse *Pompejus* venientes excipiebat obvius, & vestes statim & utensilia eis impertiebat: idoneos vero præfecturis ornabat, tam pedestribus, quam navalibus: nec postea cum Triumviris fœdus iniit, nisi quo servati profugi simul continerentur. Sic ille *duris temporibus optime de patria meritus*, paternam laudem non minori propria cumulavit. Alii denique, quum variis modis, sive fuga, sive latebris, evasissent, partim in agrestibus

νοι, μέχρι τῶν σπονδῶν, οἱ μὲν ἐν χωρίοις ἢ τάφοις, οἱ δὲ ἐν αὐτῷ τῷ ἄστει, σὺν ἐπινοίαις οἰκτραῖς διεγένοντο. Φιλανδρίαι τε παράδοξοι γυναικῶν ὤφθησαν, καὶ παίδων ἐς πατέρας εὔνοιαι, καὶ θεραπόντων ὑπὲρ φύσιν ἐς δεσπότας. Καὶ τῶνδε ὅσα παραδοξότατα, ἀναγράφω. A. U. 711/44.

XXXVII. Παῦλος, ὁ ἀδελφὸς Λεπίδου, τῶν λοχαγῶν αὐτὸν, ὡς ἀδελφὸν αὐτοκράτορος, αἰδουμένων, ἐπὶ ἀδείας ἐξέπλευσεν ἐς Βροῦτον, καὶ ἐς Μίλητον μετὰ Βροῦτον· ὅθεν οὐδὲ, εἰρήνης ὕστερον γενομένης, καλούμενος ἐπανελθεῖν ἠξίωσε. Λεύκιον δὲ, τὸν Ἀντωνίου θεῖον, ἡ Ἀντωνίου μήτηρ, ἀδελφὸν ὄντα, εἶχεν, οὐδ᾽ ἐπικρύπτουσα· αἰδουμένων ἐς πολὺ καὶ τήνδε τῶν λοχαγῶν, ὡς μητέρα αὐτοκράτορος. βιαζομένων δ᾽ ὕστερον, ἐξέθορεν ἐς τὴν ἀγορὰν, καὶ προκαθημένῳ τῷ Ἀντωνίῳ μετὰ τῶν συνάρχων ἔφη· Ἐμαυτὴν, ὦ αὐτοκράτορ, μηνύω σοι Λεύκιον ὑποδεδέχθαι τε, καὶ ἔχειν ἔτι, καὶ ἕξειν, ἕως ἂν ἡμᾶς ὁμοῦ κατακάνῃς· τὰ γὰρ ὅμοια καὶ τοῖς ὑποδεδεγ-

Lin. 14 *ſq.* μετὰ Βρούτου *Reg. C. vitioſe.* *L.* 15. οὐδὲ *caret Aug. male.* *L.* 22. ὑποδέχεσθαι τε *Aug.* *L.* 23. ὁμοῦ κτάνῃς *Edd. ex Reg. A. Prætuli Aug. Ven. Reg. C.* κατάνῃς *mend. Reg. B.*

tuguriis, aut ſepulcris, partim in ipſa Urbe, continuo in metu miſere vixerunt, donec pacatiora redierunt tempora. Et interim *Pietatis uxorum erga maritos, liberorumque erga parentes, mirifica* extiterunt *documenta*; imo *ſervorum quoque erga dominos*, ſupra quam fert ea conditio. Ex quibus nonnulla, quæ præ ceteris mira videntur, commemorabo.

37. PAULUS, *Lepidi frater*; centurionibus eum reverenter, ut imperatoris ſui fratrem, elabi conniventibus, *ſecurus ad Brutum navigavit*: poſt cuius obitum Miletum ſe contulit; unde ne pace quidem facta, quamvis invitatus, redire dignatus eſt. LUCIUM vero, *Antonii avunculum, ſoror* nec diſſimulanter *apud ſe habuit*; centurionibus & hanc diu reveritis, ut matrem imperatoris. Tandem quum illi pararent irrumpere, mulier in forum ſe proripuit: & ſedenti pro tribunali cum collegis Antonio, *Me ipſa*, inquit, *Imperator! indico, quæ Lucium apud me receptum habeo, et habebo, donec ſimul nos ambos interimas: quandoquidem eadem pœna*

A. U. 711. μένοις ἐπικεκήρυχθαι. Ὁ δὲ, αὐτὴν ἐπιμεμψάμενος, ὡς ἀδελφὴν μὲν ἀγαθὴν, μητέρα δὲ οὐκ εὐγνώμονα· (οὐ γὰρ νῦν χρῆναι περισώζειν Λεύκιον, ἀλλὰ κωλύειν, ὅτε σου τὸν υἱὸν εἶναι πολέμιον ἐψηφίζετο·) παρεσκεύασεν ὅμως Πλάγκον ὑπατεύοντα κάθοδον τῷ Λευκίῳ ψηφίσασθαι.

XXXVIII. Μεσσάλας δὲ, ἐπιφανὴς καὶ νέος, ἐς Βροῦτον ἔφυγε. καὶ αὐτοῦ δείσαντες οἱ τρεῖς τὸ φρόνημα, προύγραψαν οὕτως· Επεὶ Μεσσάλαν ἀπέφηναν ἡμῖν οἱ προσήκοντες αὐτῷ μηδὲ ἐπιδημεῖν ὅτε Γάϊος Καῖσαρ ἀνῄρητο, ἐξῃρήσθω τῶν προγραφέντων ὁ Μεσσάλας. Ὁ δὲ τὴν μὲν συγγνώμην οὐκ ἐδέξατο· Βρούτου δὲ καὶ Κασσίου περὶ Θρᾴκην πεσόντων, καὶ τοῦ στρατοῦ πολλοῦ τε ἔτι ὄντος, καὶ ναῦς καὶ χρήματα καὶ ἐλπίδας ἔχοντος οὐκ ἀσθενεῖς, ἄρχειν σφῶν τὸν Μεσσάλαν αἱρουμένων, οὐκ ἀνασχόμενος, ἔπεισεν αὐτοὺς, ἐνδόντας ἐπιβαρούσῃ τῇ τύχῃ, μεταστρατεύσασθαι τοῖς ἀμφὶ τὸν Αντώνιον. οἰκειότερος δὲ ὢν Αντωνίῳ, συνῆν· μέχρι, κρατούσης Αντωνίου Κλεοπάτρας, ἐπιμεμψάμενος, ἐς Καίσαρα μετῆλθεν.

Lin. 35. περὶ τὴν Θρᾴκην E.ll. Delevi artic. cum Aug. Ven. Reg. C.

indicia est recipientibus. Eam objurgans *Antonius* „ *Bonam* quidem *sororem* esse, respondit, sed *matrem parum piam*: debuisse enim non nunc servare Lucium; sed tunc ei obstare, quum ipsius filium hostem judicaret.“ Effecit tamen, ut Plancus consul de illo restituendo referret.

38. MESSALA, nobilis adolescens, quum ad Brutum fugisset; magnum ejus acremque animum timentes *Triumviri*, *edictum* tale proposuerunt: „ Quoniam *Messala*, quemadmodum ex ipsius cognatis cognovimus, ne in Urbe quidem fuit, quum C. Cæsar occisus est; *excmtus esto e proscriptorum numero.*“ At *ille hac venia noluit uti.* Deinde vero, postquam, Bruto Cassioque in Thracia cæsis, non contemnendæ illius exercitus reliquiæ, classe pecuniaque ad bene sperandum subnixæ, ducem eum sibi optarunt; detrectans illum honorem *Messala*, persuasit eis, ut fortunæ prægravanti cedentes, transirent ad militiam Antonii. Et Antonio posthac familiariter adhæsit; donec offensus, quod Cleopatræ imperio totus ille se permitteret,

Ὁ δὲ αὐτὸν ὕπατόν τε ἀπέφηνεν ἀντὶ αὐτοῦ Ἀντωνίου, ἀποχειροτονηθέντος ὅτε αὖθις ἐψηφίζετο εἶναι πολέμιος· καὶ περὶ Ἄκτιον ναυαρχήσαντα κατὰ τοῦ Ἀντωνίου, στρατηγὸν ἔπεμψεν ἐπὶ Κελτοὺς ἀφισταμένους, καὶ νικήσαντι ἔδωκε θριαμβεῦσαι. Βίβουλος δὲ ἐσπείσατο ἅμα τῷ Μεσσάλᾳ, καὶ ἐναυάρχησεν Ἀντωνίῳ, διαλλαγάς τε πολλάκις Ἀντωνίῳ καὶ Καίσαρι ἐς ἀλλήλους ἐπόρθμευσε, καὶ στρατηγὸς ἀπεδείχθη Συρίας ὑπὸ Ἀντωνίου· καὶ στρατηγῶν ἔτι αὐτῆς, ἀπέθανεν. *A. U. 711 sqq.*

XXXIX. Ἀκίλιος δὲ ἔφυγε μὲν τῆς πόλεως λαθών· οἰκέτου δ' αὐτὸν ἐμφήναντος ὁπλίταις, τοὺς ὁπλίτας ἔπεισεν ἐλπίδι χρημάτων πλεόνων, πέμψαι τινὰς ἀπὸ σφῶν πρὸς τὴν γυναῖκα μετὰ συμβόλων, ὧν αὐτὸς ἐδίδου. ἡ δὲ τοῖς ἐλθοῦσι τὸν κόσμον αὐτῆς ἅπαντα προθεῖσα, ἔφη, διδόναι μὲν, ὡς ἀντιδώσουσιν ἃ ὑπέσχοντο· οὐκ εἰδέναι δὲ, εἰ ἀντιδώσουσιν. οὐ μὴν ἐψεύσθη τῆς φιλανδρίας· οἱ γὰρ ὁπλῖται καὶ ναῦν ἐμίσθωσαν τῷ

Lin. 47 sq. Quatuor verba διαλλ. τε πολλ. Ἀντωνίῳ, *quæ in Edd. & Regiis A. B. desiderantur, dederunt Aug. Ven. Reg. C. L. 55.* αὐτῆς *Edd. & Reg. C. invitis Reg. A. B. & Aug.*

migravit ad Cæsarem. A quo *consul in* ipsius *Antonii locum suffectus*, quando ille iterum hostis judicatus est, navali quoque prælio ad Actium inter duces fuit Cæsaris contra Antonium. Ac deinde contra Gallos rebelles missus, victor *triumphum meruit.* BIBULUS quoque simul cum Messala *in gratiam receptus* est; &, *classi* dein *præfectus ab Antonio*, conditionum pacis inter Antonium Cæsaremque sæpius fuit internuncius; denique Syriæ provinciæ ab Antonio præfectus, in Syria mortuus est.

39. ACILIUS, ex Urbe profugus, a servo indicatus *militibus*, *persuasit* eis majore præmio proposito, *ut* aliquot ex ipsis cum symbolo, quod eis tradebat, *ad uxorem mitterent. Illa*, venientibus *omnem suum mundum proferens*, ait, „ se eis hæc dare, ut quod polliciti sunt recipiat; quamvis dubitet, an receptura sit." Neque tamen fefellit eam sua pietas: nam milites navim etiam conduxerunt *Acilio*, in qua de-

A. U. 711 sqq.

Ἀκιλίῳ, καὶ προὔπεμψαν ἐς Σικελίαν. Λέντουλος δὲ, ἀξιούσης αὐτῷ συμφεύγειν τῆς γυναικὸς, καὶ ἐς τοῦτο αὐτὸν ἐπιτηρούσης, οὐκ ἐθέλων αὐτὴν συγκινδυνεύειν ἑαυτῷ, λαθὼν ἔφυγεν ἐς Σικελίαν. στρατηγὸς δὲ ἀποδειχθεὶς ὑπὸ Πομπηίου, ἐσήμηνεν, ὅτι σώζοιτο καὶ στρατηγοίη. ἡ δ᾽ ὅποι γῆς ἐστὶν ὁ ἀνὴρ ἐπιγνοῦσα, τὴν μητέρα φυλάσσουσαν ἐξέφυγε καὶ ᾔει, σὺν θεράπουσιν δύο· μεθ᾽ ὧν ὥδευεν ἐπιμόχθως καὶ εὐτελῶς, οἷα θεράπαινα, μέχρι διέπλευσεν ἐς Μεσήνην ἀπὸ Ῥηγίου περὶ ἑσπέραν. καὶ οὐ δυσχερῶς τὴν στρατηγίδα σκηνὴν μαθοῦσα, εὗρε τὸν Λέντουλον οὐχ οἷα στρατηγὸν, ἀλλ᾽ ἐν χαμευνίῳ καὶ κόμῃ καὶ διαίτῃ πονηρᾷ, πόθῳ τῆς γυναικός.

XL. Ἀπουληΐῳ δὲ ἠπείλησεν ἡ γυνὴ καταμηνύσειν αὐτὸν, εἰ μόνος φεύγοι. καὶ ὁ μὲν ἄκων αὐτὴν ἐπήγετο· συνήνεγκε δὲ ἐς τὴν φυγὴν αὐτῷ τὸ ἀνύποπτον, ἅμα γυναικὶ καὶ θεράπουσι καὶ θεραπαίναις ὁδεύοντι φανερῶς. Ἄντιον δὲ ἡ γυνὴ στρωματοδέσμῳ κατείλησε, καὶ

Lin. 64. ὅπη γῆς Reg. C. L. 67. Μεσσήνην Edd. L. 74. Forsan αὐτὸ τὸ ἀνύποπτον. L. 76. κατέδησε Reg. C. in contextu: sed γρ. κατεί-

duxerunt eum in Siciliam. LENTULUS, quum observaretur ab uxore, ne sine ea profugeret, nolens illam periculi comitem, clam *aufugit in Siciliam*. Ibi *prætor a Pompejo factus*, uxorem per literas certiorem fecit de salute simul & honore. Quæ postquam ubi terrarum esset maritus cognovit, frustrata matris custodiam, cum duobus servulis, vili cultu victuque, quasi & ipsa ancilla, iter laboriosum peregit; donec a Rhegio Messanam transfretavit sub vesperam. Ubi haud difficulter invento prætorio, reperit *Lentulum* non prætoris habitu, sed in cubili humi strato squalidum, promisso capillitio, & misero victu, *adflictantem se uxoris desiderio*.

40. APULEJO interminata est uxor, indicaturam se eum, si solus fugeret: atque ita invitus *uxorem secum duxit*. Eique *id ipsum ad evitandam fugæ suspicionem profuit*, quod uxore, servis, ancillis comitatus, per publicam viam iter institueret. ANTIUM *uxor*, *stragulis involutum* & bajulis impositum e

ἐπέθηκε τοῖς μισθοῦ φέρουσι, καὶ διήνεγκεν ἀπὸ τῆς οἰκίας ἐπὶ θάλασσαν, ὅθεν ἔφυγεν ἐς Σικελίαν. Ρηγῖνον δὲ ἡ γυνὴ νυκτὸς ἐς ὑπόνομον λυμάτων καθῆκεν, ἐς ὃν ἡμέρας οὐχ ὑποστάντων ἐμβῆναι τῶν ὁπλιτῶν διὰ δυσοσμίαν, νυκτὸς ἄλλης εἰς ἀνθρακέα ἐσκεύασε, καὶ ὄνον ἄνθρακας φέροντα ἐλαύνειν ἔδωκεν· αὐτὴ δὲ ἐκ βραχέος διαστήματος ἡγεῖτο, φορείῳ φερομένη. τῶν δὲ ἀμφὶ τὰς πύλας ὁπλιτῶν τινος τὸ φορεῖον ὑπονοήσαντός τε καὶ ἐρευνωμένου, δείσας ὁ Ρηγῖνος ἐπέδραμε· καὶ, ὡς ὁδῷ χρώμενος, ἠξίου τὸν ὁπλίτην φείδεσθαι γυναικῶν. ὁ δὲ αὐτὸν ὡς ἀνθρακέα μετ' ὀργῆς ἀμειβόμενος, ἐγνώρισεν· (ἐστρατεύετο γὰρ ὑπ' αὐτῷ ποτε ἐν Συρίᾳ·) καὶ, Ἄπιθι χαίρων, εἶπεν, αὐτοκράτορ· τοῦτο γάρ μοι προσήκει καὶ νῦν καλεῖν σε. Κοπώνιον δὲ τὸ γύναιον ᾔτησε παρὰ Ἀντωνίου, σώφρων μὲν οὖσα τέως, ἀτυχήματι δὲ τὸ ἀτύχημα ἰωμένη. A. U. 711 *sqq.*

λυσε, idem in margine. κατέλυσε *Aug. qui & mox* ἐπέθυκε *mendose pro* ἐπέθηκε. *Lin.* 79. λειμμάτων *Edd. ex C. Steph. ingenio.* λυμάτων *mend. Reg. A. B. Recte Aug. Reg. C. Cand. L.* 80. ἐκβῆναι *Edd. invitis Aug. Ven. Reg. C. Cand. L.* 81. δυσοδμίαν *Ven. non male. Sic & Aug. dare debuit, in quo mendose* δυσοδίμιαν: *nisi id ex* τὸ δύσοδμον *corruptum est. Ibid.* ὡς ἀνθρακέα *Reg. A. & Reg. B. ex emend. Budæi. L.* 90. καλεῖν σε *caret Aug. male. Ib.* Σκιπώνιον *Edd. Recte Aug. Reg. C.*

domo ad mare *curavit transportandum*; unde in Siciliam profugit. RHEGINUM vero sua conjux noctu primum in cloacæ colluviem demissum, ubi sequenti die propter fœtorem tutus fuit a militibus, altera nocte *induit habitu carbonarii*, jussitque ut asinum carbonibus onustum præ se ageret; ipsa non longo intervallo in lectica præcedebat. Quumque ad portam miles quidam, suspicione motus, lecticam scrutaretur; *Rheginus* timens acceleravit gradum, &, veluti forte hac via delatus, monuit militem, ne molestus esset mulieribus. Ille primum, ut carbonario, irate respondit: mox autem agnito, (militarat enim sub eo in Syria,) *Perge*, inquit, *lætus*, *Imperator! sic enim te a me nunc quoque decet adpellari.* COPONIO vitam *uxor* impetravit ab Antonio; pudica hactenus, sed tunc *malum malo medicans.*

A. C. XLI. Γέταν δὲ ὁ υἱὸς ἐν εὐρυχώρῳ τῆς οἰκίας ἔδοξε
711. 712. καίειν, ὡς ἀπαγξάμενον· καὶ λαθὼν ἐν ἀγρῷ νεωνήτῳ κατέλιπεν, ἔνθα ὁ πρεσβύτης μεταμορφῶν ἑαυτὸν, ἐπεδήσατο διφθέραν ἐς τὸν ἕτερον ὀφθαλμόν. καὶ τῶν σπονδῶν γενομένων, ἔλυσε τὴν διφθέραν, καὶ ὁ ὀφθαλμὸς ὑπὸ τῆς ἀργίας δεδαπάνητο. Ὄππιον δὲ ὁ υἱὸς, ὑπὸ γήρως ἀσθενέστατον μένειν ἐθέλοντα, ἔφερεν ἐπὶ τοῦ σώματος, ἕως ἐξήγαγέ τε διὰ τῶν πυλῶν· καὶ τολοιπὸν μέχρι Σικελίας ἄγων ἢ φέρων ἐκόμισεν, οὐδενὸς ἄρα τὸ σχῆμα ὑπονοήσαντος, ἢ ἐνυβρίσαντος· οἷόν που καὶ τὸν Αἰνείαν γράφουσιν αἰδέσιμον τοῖς πολεμίοις γενέσθαι, φέροντα τὸν πατέρα. καὶ τὸν νεανίαν ὁ δῆμος ἐπαινῶν ὕστερον, ἀπέφηνεν ἀγορανόμον· δεδημευμένης δ᾽ αὐτῷ τῆς οὐσίας οὐκ ἔχοντι τῆς ἀρχῆς τὸ δαπάνημα, οἵ τε χειροτέχναι τὰ ἐς τὴν ἀρχὴν ἀμισθὶ συνειργάσαντο, καὶ τῶν θεωμένων ἕκαστος ἐπὶ τὴν ὀρχήστραν ὅσον ἐβούλετο νόμισμα ἐρρίπτει, ἕως τὸν ἄνδρα κατεπλούτισαν. Ἀρριανοῦ δὲ καὶ ἐν τῇ στήλῃ κεκόλαπτο ἐκ διαθηκῶν· Τὸν

Lin. 1. τὸ λοιπὸν *Edd. Una voce Aug. & Reg. C.* *L.* 10. κατεπλούτησαν *Aug.* *L.* 11. τῇ στήνῃ *mend. edit.* 1. *cum Reg. A.B.*

41. GETAM *filius* in area domus se *finxit exurere*, quasi præfocatum laqueo: qui dolus ubi successit, ruri, quod nuper emerat, eum reliquit. Ibi *senex*, quo mutaret oris speciem, *pelliculam induxit alteri oculo:* deinde pace reddita, amota pellicula, *oculus longo otio redditus erat inutilis.* OPPIUM, propter ætatem decrepitam fugere nolentem, *filius sublatum humeris ex Urbe extulit*; indeque in Siciliam cum eo, modo manu ducens, modo cervice bajulans senem, pervenit; nemine vel speciem eam suspectam habente, vel molestante: quemadmodum & Æneas, patrem gestans, reverendus hostibus fuisse perhibetur. Juveni populus postea, in pietatis præmium, Ædilitatem detulit: & quia, publicatis bonis, non erat unde ludos ederet, opifices juverunt eum gratuitis operis, & ex spectatoribus quisque quot libuit nummos in orchestram conjecit, ita ut homo inde ditatus sit. ARRIANUS testamento mandavit incidi suo sepulcro: „Hic situs est, quem,

ἐνθάδε κείμενον υἱὸς, οὐ προγραφεὶς, προγραφέντα ἔκρυψέ τε καὶ συνέφυγε καὶ περιέσωσε. A. U. 711 sqq.

XLII. Μετέλλω δὲ ἤστην, υἱός τε καὶ πατήρ· καὶ αὐτοῖν ὁ μὲν πατὴρ στρατηγῶν Ἀντωνίῳ περὶ Ἄκτιον, αἰχμάλωτος ἑάλω, καὶ ἠγνοεῖτο· ὁ δὲ υἱὸς τῷ Καίσαρι συνεστρατεύετο, καὶ ἐστρατηγήκει καὶ ὅδε περὶ τὸ Ἄκτιον. ἐν δὲ Σάμῳ διακρίνοντι τῷ Καίσαρι τοὺς αἰχμαλώτους, ὁ μὲν παῖς συνηδρευεν· ὁ δὲ πρεσβύτης ἤγετο, κόμης τε ἔμπλεως καὶ δύης καὶ ῥύπου, καὶ τῆς ἐκ τῶνδε μεταμορφώσεως. ὡς δὲ ἐν τῇ τάξει τῶν αἰχμαλώτων ὑπὸ τοῦ κήρυκος ἀνεκλήθη, ἀνέθορεν ὁ υἱὸς ἐκ τοῦ συνεδρίου, καὶ μόλις ἐπιγνοὺς τὸν πατέρα, ἠσπάζετο σὺν οἰμωγῇ. ἐπισχὼν δέ ποτε τοῦ θρήνου, πρὸς τὸν Καίσαρα ἔφη· Οὗτος μέν σοι πολέμιος γέγονεν, ὦ Καῖσαρ, ἐγὼ δὲ σύμμαχος· καὶ χρὴ τοῦτον μέν σοι δοῦναι δίκην, ἐμὲ δὲ γέρας εὑρέσθαι. αἰτῶ δή σε, τὸν πατέρα σώζειν δι' ἐμὲ, ἢ δι' ἐκεῖνον ἐμὲ συγκατακαίνειν. Οἴκτου δὲ ἐξ ἁπάντων γενομένου, μεθῆκε σώζεσθαι τὸν Μέτελλον ὁ Καῖσαρ, καί-

Lin. 14. Μετέλλῳ *cum iota subscripto edit.* 1. 2. *male.* *L.* 28. συγκαταινεῖν *mendose Aug. Ven.* *L.* 29. *Verba* ὁ Καῖσαρ *desunt Aug. perperam.*

proscriptum, filius non proscriptus celavit, fugæque comes & salutis auctor fuit."

42. METELLI *duo* fuere, pater & filius. *Pater*, Actiaco bello *dux Antonianarum partium*, captus fuit, nec agnitus: *filius* eodem bello *Cæsarem* erat *secutus*, & sub illo pariter ipse ordines duxerat. Sami quum Cæsar captivos inspiceret, filius in ejus consessu aderat: productus est senex promissa coma, ærumnis confectus, & reliquis deformatus sordibus. Ut vero ex ordine, quo inter captivos stabat, per præconem nominatim citatus est; filius e consessu prosiliit, vixque agnitum patrem cum lamento complexus est. Cohibito deinde fletu, *Tibi Cæsar*, inquit, *hic hostis fuit; ego socius. Hic pœnam meretur; ego præmium. Peluto igitur, ut aut patrem propter me serves incolumem, aut propter illum me simul interimas.* Quumque omnibus mota esset miseratio, Cæsar servari Metellum permisit, quamvis sibi

A. U. 711 ſqq.

τοι πολεμιώτατον αὐτῷ γενόμενον, καὶ δωρεῶν πολλῶν, εἰ μεταθεῖτο πρὸς αὐτὸν ἀπ' Ἀντωνίου, πολλάκις ὑπεριδόντα.

XLIII. Μάρκον δὲ οἱ θεράποντες σὺν εὐνοίᾳ καὶ τύχῃ πάντα τὸν τῆς προγραφῆς χρόνον διεφύλαξαν ἔνδον ἐπὶ τῆς οἰκίας. μέχρι, τῆς ἀδείας δοθείσης, ὁ Μάρκος ἐξῄει τῆς οἰκίας ὡς ἀπὸ φυγῆς. Ἵρτιος δὲ, σὺν τοῖς οἰκέταις ἐκφυγὼν τῆς πόλεως, διώδευε τὴν Ἰταλίαν, ἐκλύων τε δεσμώτας, καὶ συνάγων τοὺς ἀποδιδράσκοντας, καὶ πολίχνια δῃῶν, ὀλίγα πρῶτον, εἶτα καὶ μείζω, μέχρι χειρὸς ἱκανῆς ἐκράτησε, καὶ τὸ Βρεττίων ἔθνος ἐχειρώσατο· καὶ στρατοῦ πεμφθέντος ἐπ' αὐτὸν, ἐς Πομπήϊον μεθ' ὅσων εἶχε διέπλευσε. Ῥεστίωνι δὲ, οἰομένῳ μόνῳ φεύγειν, οἰκέτης εἵπετο λανθάνων, ἀναθρεπτὸς μὲν αὐτοῦ Ῥεστίωνος, καὶ πολλὰ πρότερον εὖ παθὼν, διὰ δὲ μοχθηρίαν ὕστερον ἐστιγμένος. ἀναπαυομένῳ δὲ ἐν ἕλει τῷ Ῥεστίωνι ἐπιστὰς ὁ θεράπων, ἐξέπληξε μὲν αὐτίκα ὀφθείς· δεδοικότι δὲ, ἔφη, Οὐ τῶν παρόντων στιγμάτων

Lin. 33. Marcium *ex conjectura vocat Gelen.* *L.* 42. Ῥαιστίωνι, *& ſic conſtanter deinceps* Ῥαιστίωνος, Ῥαιστίωνα *Edd. & MSS. i noſtri.* *Ibid.* δὲ, *poſt* Ῥεστίωνι *abeſt ab Edd.! Dederunt Aug. & Reg. C.*

inſenſiſſimum: qui multis ſæpe muneribus, ut ad illum ab Antonio deficeret, invitatus, cum contemtu eum ſemper rejecerat.

43. MARCUM *ſervi*, pietatem eorum fortuna juvante, per totum proſcriptionis tempus *domi ſuæ ſervarunt*; donec, ſecuritate reddita, ſic ex ædibus ſuis prodiit, quaſi ab exilio. HIRTIUS, cum famulis elapſus ex urbe, obibat Italiam, vinctos ſolvendo & colligendo fugitivos; vaſtans oppida parva primum, mox majora etiam; donec, valida manu comparata, ſubegit Brutios. Miſſo deinde contra eum exercitu, cum ſuis ad Pompejum trajecit. RESTIONEM, ſolum, ut putabat, fugientem, *ſervus clam ſecutus* eſt, vernaculus & multis prius affectus beneficiis, deinde *ſtigmatibus notatus* ob nequitiam. Hic quieſcenti in palude hero ſubito adſtans, primo conſpectu eum conterruit. Quod ut ſenſit ſervus, ait, non plus ſe moveri præſentibus ſtigmatis, quam præteri-

αἰσθάνεσθαι μᾶλλον, ἢ μνημονεύειν τῶν πρότερον εὐεργετημάτων. καὶ, αὐτὸν εἴς τι σπήλαιον ἀναπαύσας, εἰργάζετο, καὶ τροφὰς αὐτῷ συνέλεγεν ὡς ἐδύνατο. ὑπονοίας δέ τινος ἀμφὶ τὸ σπήλαιον τοῖς ἐγγὺς ὁπλίταις περὶ τοῦ Ῥεστίωνος γενομένης, καὶ χωρούντων ἐπ' αὐτὸν, ὁ οἰκέτης εἵπετο συνεὶς, καί τινα πρεσβύτην προοδεύοντα προδραμὼν ἀπέκτεινε, καὶ τὴν κεφαλὴν ἀπέτεμεν. ἐκπλαγέντων δὲ τῶν ὁπλιτῶν, καὶ ὡς ἀνδροφόνον ὁδοιπόρου περισχόντων· Ῥεστίωνα, ἔφη, ἔκτεινα, τὸν ἐμαυτοῦ δεσπότην, τάδε μοι τὰ στίγματα ἐγχαράξαντα. οἱ μὲν δὴ, τὴν κεφαλὴν αὐτὸν ἀφελόμενοι διὰ τὸ γέρας, ἠπείγοντο μάτην ἐς τὸ ἄστυ. ὁ δὲ, τὸν δεσπότην ἀναστήσας, διέπλευσεν εἰς Σικελίαν.

A. U. 711 *sqq.*

XLIV. Ἄππιον δὲ ἀναπαυόμενον ἐν ἐπαύλει, τῶν ὁπλιτῶν ἐπιθεόντων, οἰκέτης τὴν ἑαυτοῦ ἐσθῆτα ἐνέδυσε, καὶ αὐτὸς εἰς τὴν εὐνὴν οἷα δεσπότης ἀνακλιθεὶς, ἑκὼν ἀπέθανεν ἀντὶ τοῦ δεσπότου, παρεστῶτος ὡς οἰκέτου· Μεννηνίου δὲ τὴν οἰκίαν καταλαβόντων ὁπλιτῶν, θεράπων ἐς τὸ τοῦ δεσπότου φορεῖον ἐνέβη, καὶ ὑπὸ τῶν

Lin. 61. Pro Ἄππιον *forsan* Πανωπίωνα *legendum.*

torum beneficiorum memoria: moxque illum in speluncam quamdam abscondit, & quotidianis operæ mercedibus aluit ut poterat. Deinde quum propinqui milites, nonnihil suspicati de spelunca, eo tenderent; servus senem quemdam *viatorem* invadens *obtruncavit.* Stupentibus vero id factum militibus, &, ut viatoris homicidam, detinentibus hominem, *Restionem*, inquit ille, *occidi, herum meum, qui me his notavit stigmatis.* Illi, erepto ei capite, frustra in Urbem properarunt, præmium petentes: servus, abducto inde hero, in Siciliam cum eo trajecit.

44. APPIUM, [f. *Panopionem*,] in villa cubantem, irruentibus in eam armatis, *servus sua veste induit*, ipse in lectum quasi dominus decubuit: sicque *ultro mortuus* est *pro hero*, ad lectum adstante servili habitu. Similique ratione, MENENII domum armatis oppugnantibus, servorum unus lecticam herilem inscendit, conservique adjutores de-

A. U. 711 sqq.

ὁμοδούλων συνεργούντων ἐξεφέρετο· ἕως ὅδε μὲν, ὡς Μενήνιος, ἑκὼν ἀνῄρητο, Μενήνιος δὲ ἐς Σικελίαν διέφυγεν. Ἰούνιον δὲ ἀπελεύθερος αὐτοῦ Ἰουνίου, Φιλήμων, οἰκίαν κεκτημένος λαμπρὰν, ἐν τῷ μεσαιτάτῳ τῆς οἰκίας ἔκρυψεν ἐν λάρνακι, ἃς ἀπὸ σιδήρου ἐς χρημάτων ἢ βιβλίων ἔχουσι φυλακήν· καὶ νυκτὸς ἔτρεφε μέχρι τῶν σπονδῶν. Ἕτερος δὲ ἀπελεύθερος, τάφον δεσπότου φυλάσσων, τὸν δεσπόσυνον προγραφέντα ἐφύλασσεν ἐν τῷ τάφῳ μετὰ τοῦ πατρός. Λουκρήτιος, ἀλώμενος σὺν δυσὶ θεράπουσιν ἀγαθοῖς, ὑπὸ ἀπορίας τῶν τροφῶν ᾔει πρὸς τὴν γυναῖκα, φορείῳ φερόμενος ὑπὸ τῶν οἰκετῶν, οἷά τις ἄῤῥωστος, ἐς τὴν πόλιν. ἑνὸς δὲ τῶν φερόντων τὸ σκέλος συντριβέντος, τῷ ἑτέρῳ τὴν χεῖρα ἐπιθεὶς, ᾔει. παρὰ δὲ ταῖς πύλαις γενόμενος, ἔνθα αὐτοῦ καὶ ὁ πατὴρ, ὑπὸ Σύλλα προγραφεὶς, ἑαλώκει, εἶδε λόχον ὁπλιτῶν ἐκτρέχοντα· καὶ πρὸς τὸ συγκύρημα τοῦ τόπου καταπλα-

Lin. 68. ἀνῄρειτο *Edd. Prætuli Aug. Reg. C.* *L.* 69. Οὐίνιος *videtur legendum cum Casaub. & Freinsh, & mox* Οὐινίου : *& pro* Φιλήμων *reponendum* Φιλοποίμην. *L.* 73. δὲ, *post* ἕτερος, *abest vulgo. Adjeci ex Aug.* *L.* 80. ἔνθα καὶ ὁ πατὴρ αὐτοῦ *Reg. C.* *L.* 82. τὸ σύγκριμα *Edd. perperam ex Reg. A.* σύγκήρημα *mend. Aug. Recte Reg. B. C.*

li succollarunt lecticam: atque ita *servus pro Menenio volens interfectus est*; ille aufugit in Siciliam. JUNIUM [f. *Vinium*] *libertus Philemon* [vel *Philopœmen*,] splendidas ædes habitans, in mediis *condidit in arca ferrata*, qualibus codices adservari solent aut pecuniæ, aluitque noctu ad pacis usque tempora. Alius libertus, custos sepulcri sui domini, herilem filium proscriptum eodem in sepulcro una cum patre custodivit. LUCRETIUS, aliquamdiu vagatus cum duobus frugi famulis, deficientibus cibariis, ad uxorem lectica ab eisdem famulis referebatur in Urbem, quasi ægrotus: & quum illorum alteri crus esset fractum, innixus alteri famulo pergebat pedibus. Jamque propinquus portæ, apud quam & pater ipsius, proscriptus a Sylla, fuerat captus, vidit cohortem armatam procurrere: territusque loci omine, una cum famulo *in sepulcro* quodam *sese*

γεὺς, συνεκρύφθη μετὰ τοῦ θεράποντος ἐν τάφῳ. τυμβωρύχων δὲ τοὺς τάφους ἐρευνωμένων, ὁ θεράπων ἑαυτὸν τοῖς τυμβωρύχοις παρέσχεν περιδύειν, μέχρι Λουκρήτιον ἐπὶ τὰς πύλας διαφυγεῖν. ἐκεῖ δὲ αὐτὸν ὁ Λουκρήτιος περιμείνας τε, καὶ τῆς ἑαυτοῦ μερισάμενος ἐσθῆτος, ἧκε πρὸς τὴν γυναῖκα, καὶ ὑπ' αὐτῆς ἐκρύπτετο ἐπὶ διπλῆς ὀροφῆς μεταξύ· μέχρι τινὲς αὐτοῦ ἐξῃτήσαντο παρὰ τῶν προγραψάντων. καὶ ὕστερον ἐπὶ εἰρήνης ὑπάτευσε. — A. U. 711 &c.

XLV. Σέργιος δὲ ἐκρύφθη παρ' αὐτῷ Ἀντωνίῳ, μέχρι Πλάγκον ὑπατεύοντα ὁ Ἀντώνιος ἔπεισε κάθοδον αὐτῷ ψηφίσασθαι. καὶ ἐπὶ τῷδε ὁ Σέργιος ὕστερον, ἐν τῇ Καίσαρος καὶ Ἀντωνίου στάσει, τῆς βουλῆς ψηφιζομένης εἶναι πολέμιον τὸν Ἀντώνιον, μόνος τὴν ἀπολύουσαν ἔφερε φανερῶς. Καὶ οἵδε μὲν οὕτως ἐσώζοντο. Πομπώνιος δὲ, ἐς στρατηγοῦ σχῆμα κοσμήσας ἑαυτὸν, καὶ τοὺς θεράποντας ἐς ὑπηρέτας σκευάσας, τὴν πόλιν ὡς στρατηγὸς ὑπὸ ῥαβδούχοις διῆλθεν, ἐπιθλιβόντων αὐτὸν τῶν ὑπηρετῶν,

Lin. 83. συγκεκρύφθαι *Edd. ex Reg. A.* συνεκρύφθαι *Reg. B. Verum ded. Aug. Reg. C.* *L.* 84. ἐρευνωμένων *edit.* 2. 3. *oper. err.* *L.* 89. αὐτοῦ ἐξῃτήσαντο *male Edd. ex Reg. B. invitis Reg. A. C. Aug.* *L.* 99. ἐπιθλιβ. αὐτῷ τῶν *Edd. ex Reg. B. Melius Reg. A. C. Aug.*

ehdidit. Quo quum penetrassent fures sepulcra ob prædam perfodere soliti, famulus se spoliandum eis præbuit, donec *Lucretius* ad portam evaderet: qui, quum ibi eum exspectasset, adsecutum texit parte suarum vestium, atque inde ad uxorem pervenit. Ab ea *sub duplici tecto inter contabulationem* occultatus, tamdiu *latuit*, donec quorumdam amicorum precibus a Triumviris impetravit veniam; &, restituta pace, Consulatum est adeptus.

45. SERGIUS *apud ipsum Antonium latuit*; donec Planco consuli persuasit Antonius, ut de reditu ejus referret. Quamobrem *Sergius* postea, dissidentibus Cæsare & Antonio, quum senatus hostem judicaret Antonium, solus aperte refragatus est. Et hi quidem ita servati sunt. At POMPONIUS, sumtis insignibus prætoriis, & servis in modum adparitorum exornatis, *Urbem*, veluti *prætor*, *cum lictoribus transiit*, arcte stipantibus eum adparitoribus, ne agnosceré-

A. U. 711 /12. ἵνα μὴ γνωσθείη πρὸς ἑτέρου· καὶ παρὰ ταῖς πύλαις ὀχημάτων τε δημοσίων ἐπέβη, καὶ τὴν Ἰταλίαν διώδευεν, ἀποδεχομένων αὐτὸν καὶ παραπεμπόντων ἁπάντων, οἷα στρατηγὸν ὑπὸ τῶν τριῶν ἀνδρῶν ἐπὶ σπονδὰς ἐς Πομπήϊον ἀπεσταλμένον, μέχρι καὶ δημοσίᾳ τριήρει διέπλευσε πρὸς ἐκεῖνον.

XLVI. Ἀπουλήϊος δὲ καὶ Ἀῤῥούντιος, ὑποκριθέντες εἶναι λοχαγοὶ, καὶ τοὺς θεράποντας ἐς στρατιώτας σκευάσαντες, τὰς μὲν πύλας διέδραμον, ὡς λοχαγοὶ διώκοντες ἑτέρους· τὴν δὲ λοιπὴν ὁδὸν, διελόμενοι, τοὺς δεσμώτας ἐξέλυον, καὶ τοὺς ἀποδράσαντας συνέλεγον· μέχρι, χειρὸς ἱκανῆς ἑκατέρῳ γενομένης, σημεῖά τε ἦν ἤδη καὶ ὅπλα, καὶ ὄψις στρατοῦ. χωρῶν δὲ ἑκάτερος αὐτῶν ἐπὶ θάλασσαν, ἀμφί τινι λόφῳ σταθμεύουσι, μεγάλῳ δέει καθορῶντες ἀλλήλους. ἅμα δὲ ἕῳ περινεύοντες ἐκ τοῦ λόφου, ἔδοξαν ἀλλήλους ἑκάτερος στρατὸν ἐπὶ σφᾶς ἐπιπεμφθέντα εἶναι, καὶ συμπλακέντες ἐμάχοντο· μέχρι ποτὲ ἔγνωσαν, καὶ τὰ ὅπλα ἀπεῤῥί-

Lin. 7. Ἀῤῥούντιος *Reg. C.* *L.* 8 & 9. *Duæ lineæ*, καὶ τοὺς θεραπ. *usque* ὡς λοχαγοὶ, *per errorem omissa sunt in Aug.*

tur ab aliis: & ad portam *conscenso vehiculo publico*, profectus est *per Italiam*; omnibus, ut prætorem, & ut legatum de pace a Triumviris ad Pompejum missum, excipientibus eum prosequentibusque; adeo, ut etiam *triremi publica ad Pompejum transvectus* sit.

46. APULEJUS *et* ARUNTIUS, *sumta centurionum persona*, & servis instructis militariter, per portam *evolarunt*, quasi persequerentur alios: deinde diversas vias ingressi, vinctos solvebant, & fugitivos colligebant; donec uterque, valida manu munitus, jam & numero & signis armisque referret exercitus speciem. Et quum uterque mare peteret, circa tumulum quemdam consederunt, ubi magnus utrique pavor ex mutuo conspectu est obortus. Postridie, quum primo diluculo prospectantes ex tumulo, alteri alteros hostilem exercitum adversus se missum judicassent, congressi invicem, pugnarunt aliquamdiu; donec tandem agnove-

πλουν καὶ ὠλοφύροντο, καὶ τὴν τύχην ὡς ἐπιβαροῦσαν σφίσιν ἐς ἅπαντα ἐπεμέμφοντο. διαπλεύσαντες δέ, ὁ μὲν ἐς Βροῦτον, ὁ δ' ἐς Πομπήιον· ὁ μὲν τῷ Πομπηίῳ συγκατῆλθεν· ὁ δέ, ἐστρατήγησε τῷ Βρούτῳ Βιθυνίας, καὶ Βρούτου πεσόντος, Ἀντωνίῳ παραδοὺς Βιθυνίαν, κατῆλθεν. Οὐεντίδιον δὲ ἀπελεύθερος εὐθὺς μὲν προγραφέντα κατέδησεν, ὡς παραδώσων τοῖς σφαγεῦσι· νυκτὸς δὲ τοὺς θεράποντας ἔπεισε, καὶ ἐσκεύασεν ὡς ὁπλίτας, καὶ τὸν δεσπότην ὡς λοχαγὸν ἐξήγαγε· τήν τε ἄλλην Ἰταλίαν μέχρι Σικελίας διώδευσαν, καὶ συγκατέλυσαν πολλάκις ἑτέροις λοχαγοῖς, ζητοῦντες Οὐεντίδιον. A. U. 711 sqq.

XLVII. Ἕτερον ἐν τάφῳ κρύπτων ἀπελεύθερος, οὐ φέροντα φαντασίαν τάφου, μετήγαγεν ἐς φαῦλον οἴκημα μισθωτόν. στρατιώτου δ' αὐτῷ παρακατοικισθέντος, οὐδὲ τοῦτον φέρων τὸν φόβον, ἐς θαυμαστὴν τόλμαν ἐκ δειλίας μετέβαλε· καὶ κειράμενος, ἡγεῖτο ἐν

Lin. 26. An ἐς ὁπλίτας? *L. 29. An ζητοῦσι legendum cum Cand.* qui illum inquirebant: *an cum Musgravio ὡς ζητοῦντες?* *L. 31. φαντασία edit. 1. mend.* *L. 32. δ' αὐτὸ παρακατ. Edd. male ex Reg. B. δ' αὐτοῦ Reg. A. Recte Aug. Reg. C.*

runt errorem, abjectisque armis ad lamenta versi, culpam in fortunam, pervicaciter sibi omnibus in rebus adversam, rejecerunt. Deinde, postquam alter ad Brutum, alter ad Pompejum navigiis erat delatus; hic una cum Pompejo reipublicæ est restitutus, ille Bruti auspiciis rexit Bithyniam; & post Bruti mortem, tradita Antonio provincia, reditum impetravit. VENTIDIUM *libertus proscriptum* vinxit continuo, quasi traditurus percussoribus: noctu vero servos persuasos instruxit militariter, & dominum *tamquam centurionem eduxit*: atque ita peragrantes totam Italiam, usque Siciliam, sæpe in eodem diversorio pernoctarunt cum aliis centurionibus, quærentes Ventidium.

47. *Alius proscriptus*, fide liberti in sepulcro occultatus, quum non ferret horrorem loci, in miserum quoddam cubiculum mercede conductum ab eodem est translatus. Sed quoniam in proximo habitabat miles; ne hunc quidem timorem ferens ille, ex metu ad miram processit audaciam: *attonsis*, *indum literarum aperuit in ipsa Urbe*, cui us-

A. U. 711 sqq.

αὐτῇ Ῥώμῃ διδασκαλείου μέχρι τῶν σπονδῶν. Οὐολούσιος δὲ ἀγορανομῶν προεγράφη, καὶ φίλον ὀργιαστὴν τῆς Ἴσιδος ἔχων, ᾔτησε τὴν στολὴν, καὶ τὰς ὀθόνας ἐνέδυ τὰς ποδήρεις, καὶ τὴν τοῦ κυνὸς κεφαλὴν ἐπέθετο, καὶ διῆλθεν οὕτως ὀργιάζων αὐτῷ σχήματι ἐς Πομπήϊον. Σίττιον δὲ Καληνοὶ, πολίτην σφῶν ὄντα, καὶ πολλὰ ἐς αὐτοὺς ἐκ περιουσίας δαψιλοῦς ἀναλώσαντα, ἐφύλασσον, σιδηροφοροῦντές τε ὑπὲρ αὐτοῦ, καὶ τοῖς οἰκέταις ἀπειλοῦντες, καὶ τοὺς στρατιώτας ἀπείργοντες ἀπὸ τῶν τειχῶν· μέχρι, μαραινομένου τοῦ κακοῦ, καὶ ἐς τοὺς τρεῖς ἐπρέσβευσαν ὑπὲρ αὐτοῦ, καὶ ἔτυχον Σίττιον τῆς ἄλλης Ἰταλίας εἰργόμενον ἐν τῇ πατρίδι μένειν. Σίττιος μὲν δὴ πρῶτος ἢ μόνος ἀνδρῶν ὅδε τῆς ξένης ἐφυγαδεύετο ἐν τῇ πατρίδι. Οὐάρρων δὲ ἦν φιλόσοφός τε καὶ ἱστορίας συγγραφεὺς, ἐστρατευμένος τε καλῶς καὶ ἐστρατηγηκὼς, καὶ ἴσως διὰ ταῦτα ὡς ἐχθρὸς μοναρχίας προυγράφη. Φιλοτιμουμένων δὲ αὐτὸν ὑποδέξασθαι τῶν γνωρίμων, καὶ διεριζόντων ἐς ἀλλήλους, Καληνὸς ἐξενίκησε, καὶ εἶχεν ἐν ἐπαύλει, ἔνθα Ἀντώνιος ὅτε διοδεύοι κατήγετο· καὶ τὸν Οὐάρρωνα

Lin. 48. Οὐαρίων *& mox* Οὐαρίωνα, *&* Οὐαρίωνος *mend. tres Regii & Aug.* *L.* 53. διοδεύει *Edd. ex Reg. B. Melius Reg. A. C. Aug.*

que ad redditam pacem præfuit. VOLUSIUS, in ædilitate *proscriptus*, amicum habebat Isiacum, a quo lineam stolam talarem sumsit, & *canicipitem personam indutus*, tali habitu *bacchabundus evasit* ad Pompejum. SITTIUM *Caleni*, *civem suum*, & in ipsos pro amplis facultatibus munificum, *custodiverunt* armati, servos minis cohibendo, milites arcendo a mœnibus; donec, defervescente malo, per legatos impetrarunt a Triumviris, ut in patria manens exularet a reliqua Italia. Ita *Sittius* primus, & solus fortasse mortalium, *exulavit in patria.* At VARRO, *philosophus* idem et *historicus*, milesque simul & dux probatus, fortasse his ipsis de caussis, ut iniquior dominatui, *proscriptus* est. Eum familiaribus certatim cupientibus recipere, vicit Calenus, & in villa, ad quam ex itinere Antonius

τὸν Οὐάῤῥωνα οὐδεὶς ἔνδον ὄντα ἐνέφηνε θεράπων, οὔτε αὐτοῦ Οὐάῤῥωνος, οὔτε Καληνοῦ. A. U. 711 sqq.

XLVIII. Οὐεργίνιος δὲ, ἀνὴρ ἡδὺς εἰπεῖν, τοὺς οἰκέτας ἐδίδασκεν, ὅτι κτείναντες μὲν αὐτὸν δι' ὀλίγα χρήματα οὐκ ἀσφαλῆ, μύσους τε πίμπλανται, καὶ φόβων ἐς ὕστερον μεγάλων· περισώσαντες δὲ, δόξης τε εὐσεβοῦς καὶ ἐλπίδων ἀγαθῶν, καὶ χρημάτων ὕστερον πολὺ πλεόνων τε καὶ ἀσφαλεστέρων. οἱ μὲν δὴ συνέφευγον ὡς ὁμοδούλῳ, καὶ γνωρισθέντος αὐτοῦ παρὰ τὴν ὁδὸν, πρὸς τοὺς ὁπλίτας ἀπεμάχοντο. ὁ δὲ, ληφθεὶς ὑπὸ τῶν ὁπλιτῶν, ἐδίδασκε κἀκείνους, ὅτι κατὰ μὲν ἔχθραν αὐτὸν οὐκ ἀναιροῦσιν, ἀλλὰ χρημάτων οὕνεκα μόνων· χρήματα δὲ αὐτοῖς εἴη δικαιότερα καὶ πλέονα λαβεῖν, ἐπὶ θάλασσαν ἐλθοῦσιν· ἔνθα μοι τὸ γύναιον, ἔφη, ναῦν φέρουσα χρημάτων συνετάξατο. καὶ αὐτῷ καὶ οἵδε πεισθέντες, κατῄεσαν ἐπὶ τὴν θάλασσαν. ἡ γυνὴ δὲ ἀφίκτο μὲν ἐπὶ τὴν ἠϊόνα, κατὰ τὸ συγκείμενον· βρα-

Lin. 56. *δεινὸς εἰπεῖν Reg. C. & inter lineas* γρ'. *ἡδύς.* *L.* 58. *μίσους Edd. Recte Reg. B. C. Aug.* *L.* 59. *ἰσύστερον conjunctim Reg. B. C. Aug.* *L.* 67 *sq. An ναῦν γέμουσαν χρημάτων? Sic fere Cand.* navem pecuniis stipatam. *An φέρουσα (vel φέρουσαν) χρήματα?* *L.* 68. *καὶ ἑαυτῷ Edd. ex Reg. A. invitis Reg. B. C. Aug.*

re Antonius divertere solebat, cum habuit: a nullo tamen vel ipsius Varronis vel Caleni servo indicatus est.

48. VIRGINIUS autem, *vir facundus, servis suis edisseruit:* „si se propter modicum & incertum præmium occiderent, manere eos in posterum sceleris conscientiam & pavorem perpetuum: contra, servato se, laudem pietatis & bonam spem eos securam, & insuper præmia majora multo certioraque." Sic effecit, ut quasi conservum comitarentur in fuga, &, quum esset agnitus a militibus, pro eo adversus illos pugnarent. *Captus* autem *a militibus*, similiter *ad hos disseruit*: „nullam sibi cum eis simultatem intercedere, cur necatum se cupiant; præmia tantum expeti: ea autem & justiora & auctiora habituros, si secum ad mare descendant, quo uxor condixisset se venturam cum navi & pecuniis." Paruerunt illi, deduxeruntque ad littus hominem. Uxor vero venerat quidem illuc ex

A. U. 711 sqq.

δύνοντος δὲ τοῦ Οὐεργινίου, νομίσασα αὐτὸν ἐς Πομπήϊον προπεπλευκέναι, ἀνήγετο, θεράποντα ὅμως ἐπὶ τῆς ἠϊόνος ἐξαγγέλλειν ὑπολιποῦσα. καὶ ὁ θεράπων τὸν Οὐεργίνιον ἰδὼν, ἀνέθορέ τε ὡς ἐς δεσπότην, καὶ τὴν ναῦν ἐδείκνυεν ὡς ὁρωμένην, καὶ τὴν γυναῖκα ἔφραζε, καὶ τὰ χρήματα, καὶ αὐτὸς ἐφ᾽ ὅτῳ κατελείφθη. Οἱ δὲ ἐπίστευον ἅπασιν ἤδη, καὶ τὸν Οὐεργίνιον ἀξιοῦντα σφᾶς περιμένειν, ἔστε μετακληθείη τὸ γύναιον, ἢ συνελθεῖν οἱ πρὸς αὐτὴν ἐπὶ τὰ χρήματα, ἐσβάντες ἐς σκάφος, παρέπεμπον ἐς Σικελίαν, ἐρέσσοντες φιλοπόνως· ἐκεῖ δὲ ἔτυχόν τε τῶν ἐπαγγελιῶν, καὶ οὐκ ἀπέστησαν ἔτι θεραπεύοντες αὐτὸν μέχρι τῶν σπονδῶν. Ῥέβουλον δὲ ναύκληρος ἐς τὴν ναῦν ὑποδεξάμενος, ὡς διοίσων ἐς Σικελίαν, ᾔτει χρήματα, μηνύσειν ἀπειλῶν εἰ μὴ λάβοι. ὁ δὲ, οἷόν τι καὶ Θεμιστοκλῆς φεύγων ἐποίησεν, ἀντηπείλει, μηνύσειν ὅτι αὐτὸν ἐπὶ χρήμασιν ἄγοι· μέχρι δείσας ὁ ναύκληρος διέσωσεν ἐς Πομπήϊον.

Lin. 81. ἔτυχεν τῶν ἐπαγγ. *Edd.* τε *dedit Aug. qui caret* τῶν. *Utrumque*, τε τῶν, *dedit Reg. C.* *L.* 82. Ῥέβουλον *malim, aut* Ῥέβιλον. *L.* 85 *sq.* ἀντηπείλει *edit.* 1. *mend.*

compoſito; ſed, cunctante *Virginio*, rata eum jam vela dediſſe ad Pompejum, ſolverat & ipſa, relicto tamen in ora ſervo, qui rem nunciaret. Is *Virginium* conſpicatus, ei occurrit, & navem nondum ex oculis ablatam oſtendit: ſimulque indicavit de uxore ac pecunia, & cur ipſe relictus ſit. Et habita eſt ei fides: poſtulanteque *Virginio*, ut aut exſpectarent milites donec revocaretur uxor, aut ſimul ad eam proficiſcerentur, accepturi pecunias; conſcenderunt ſcapham, & devexerunt eum in Siciliam, navigantes ſtrenue. Ibi recepto quod promiſſum fuerat, ne tum quidem abſceſſerunt, ſed uſque ad pacem redditam in ejuſdem familia permanſerunt. REBULUM vero [l. *Rebilum*] nauclerus in navem acceperat, ut tranſportaret in Siciliam: qui quum ab eo pecuniam poſtularet, aut, indicem ſe fore, ei minaretur, ni recipiat; ille contra, *uſus illo Themiſtoclis in fuga commento*, viciſſim minatus eſt, ſe eum indicaturum, quod pecunia corruptus proſcriptum veheret. Atque ita perterritus nauclerus incolumem pervexit ad Pompejum.

XLIX. Μάρκος δὲ, Βρούτῳ στρατηγῶν, προεγέγραπτο μὲν καὶ ὅδε διὰ τόδε. ἡττημένου δὲ τοῦ Βρούτου συλλαμβανόμενος, ὑπεκρίνατο εἶναι θεράπων, καὶ αὐτὸν ὠνήσατο Βαρβούλας. δεξιὸν δὲ ὁρῶν, ἐπέστησε τοῖς ὁμοδούλοις, καὶ χρήματα διοικεῖν ἔδωκε. δεινὸν δὲ ἐν ἅπασι καὶ συνετὸν ὄντα ὑπὲρ θεράποντος φύσιν, ὑπενόει· καὶ ἐπήλπιζεν, εἰ τῶν προγεγραμμένων τις εἴη, περισώσειν ὁμολογήσαντα. ἀπομαχόμενον δὲ ἰσχυρῶς, καὶ γένος ἀναπλάσσοντα καὶ ὄνομα καὶ προτέρους δεσπότας, ἐς Ῥώμην ἐπήγετο, ἐλπίσας ὀκνήσειν ἐς Ῥώμην ἀφίξεσθαι προγεγραμμένον. ὁ δὲ εἵπετο καὶ ὥς. Περὶ δὲ τὰς πύλας τῶν ὑπαντώντων τις φίλων Βαρβούλα, θεασάμενος τὸν Μάρκον ὡς οἰκέτην αὐτῷ παρεστῶτα, κρύφα ἐμήνυσε τῷ Βαρβούλᾳ. ὁ δὲ ἐδεήθη Καίσαρος δι' Ἀγρίππα, καὶ ἀφείθη τῆς προγραφῆς ὁ Μάρκος, καὶ φίλος ἐγίγνετο Καίσαρι· καὶ μετ' οὐ πολὺ καὶ στρατηγὸς ἦν ἐπὶ Ἀντωνίῳ περὶ Ἄκτιον. ἐστρατήγει δὲ καὶ Ἀντωνίῳ Βαρ- A. U. 711 sqq.

Lin. 98. προγεγραμμένοις *Edd. cum tribus Regiis. Recte Aug. Ver. Ibid.* περὶ δὴ *Edd. Praetuli Aug. Reg. C. L. 99.* τῶν ὑπάτων τῶν τις *Edd. & MSS. nostri omnes & Cand. Quod & mendosum esse, & ita ut feci corrigendum, non fugit aciem Gelenii.*

49. MARCUS, Bruti legatus, ob id ipſum proſcriptus eſt. Is, devicto deinde Bruto, captus, *ſervum ſe finxit*; & *cum* BARBULA *emit*: qui, quoniam induſtrium videbat, conſervis eumdem præpoſuit, & pecuniæ fecit diſpenſatorem. Quod munus quum ille prudentius, quam pro ingenio ſervili, gereret; ſuſpicatus id quod res erat *Barbula*, ſpem ei fecit de impetranda venia, ſi proſcriptum ſe fateretur. Id quum ille pernegaret fortiter, & genus fingeret, & nomen, & priores dominos; Romam eum ſecum duxit, ſperans tergiverſaturum, ſi proſcriptus eſſet: ſecutus eſt tamen. Obviam iverant *Barbulæ* amici ad portam officii gratia: quorum unus, ubi *Marcum* ſervili habitu adſtantem ei vidit, ſecreto rem indicavit Barbulæ. Tum is per Agrippam impetravit a Cæſare, ut ex proſcriptis eximeretur *Marcus*. Qui mox receptus inter amicos Cæſaris, paulo poſt inter duces Cæſarianos ad Actium pugnavit adverſus Antonium. *Barbula* vero tunc ſub Antonio ductabat ordines;

A. U. 711 *sqq.* βούλας, καὶ ἡ τύχη περιῆλθεν ἐς τὸ ὅμοιον ἀμφοτέροις. Βαρβούλας τε γάρ, ἡττηθέντος Ἀντωνίου, λαμβανόμενος, ὑπεκρίνατο οἰκέτης εἶναι, καὶ ὁ Μάρκος αὐτὸν ὡς ἀγνοῶν ὠνήσατο· ἐκθέμενος δὲ ἅπαντα τῷ Καίσαρι, ᾔτησέ τε, καὶ ἔτυχε, τοῖς ὁμοίοις τὸν Βαρβούλαν ἀμείψασθαι. Τοῖσδε μὲν οὖν ἡ συντυχία τῶν ὁμοίων καὶ ἐς τὸ ἔπειτα παρέμεινεν. ἦρξαν γὰρ τὴν ἐπώνυμον ἀρχὴν ἐν ἄστει οἱ δύο ὁμοῦ.

L. Βαλβίνῳ δὲ ἐκφυγόντι, καὶ κατελθόντι σὺν Πομπηΐῳ, καὶ ὑπατεύοντι οὐ πολὺ ὕστερον, Λέπιδος, ἰδιώτης ὑπὸ Καίσαρος ἐκ δυνάστου γενόμενος, ὑπὸ τοιᾶσδε ἀνάγκης παρέστη. Μαικήνας ἐδίωκε τὸν Λεπίδου παῖδα βουλεύσεως ἐπὶ Καίσαρι, ἐδίωκε δὲ καὶ τὴν μητέρα τῷ παιδὶ συνεγνωκέναι· Λεπίδου γὰρ αὐτοῦ ἄρα, ὡς ἀσθενοῦς, ὑπερεώρα. τὸν μὲν δὴ παῖδα ὁ Μαικήνας ἐς Ἄκτιον ἔπεμπε τῷ Καίσαρι· τὴν δὲ μητέρα, ἵνα μὴ ἄγοιτο, οὖσα γυνή, ἐγγύην ᾔτει παρὰ τῷ ὑπάτῳ πρὸς Καίσαρα ἀφίξεσθαι. οὐδενὸς δὲ τὴν ἐγγύην ὑφισταμένου, ὁ Λέπιδος ἀμφὶ τὰς Βαλβίνου θύρας ἐτρίβετο πολλάκις, καὶ δικά-

Lin. 17. ἀναγκ. ὑπέστη *Edd. ex Reg. A. invitis Reg. B.C. Aug. Ven.*
L. 24. Βαλβύνου *hoc uno loco Aug.*

quum fortunæ *vertere vices utriusque* libuit. Devicto enim Antonio, *Barbula servum se finxit*, et *Marcus emit eum* tamquam ignotum: expositaque re tota Cæsari, obtinuit, ut sibi par liceret pari referre. Eosdem etiam post hæc secuta est similitudo fortunæ: nam in Urbe ambo simul Consulatum gesserunt.

50. BALBINUS, fuga elapsus, cum Pompejo deinde restitutus est, nec multo post *ad Consulatum* quoque *promotus.* Cui *Consuli Lepidus*, tunc ex summa potentia ad conditionem privatam redactus, hujusmodi ex causa *supplex adstitit. Mæcenas Lepidi filium majestatis reum agebat*, simulque matrem juvenis, ut consciam culpæ: nam ipsum Lepidum, ut invalidum, plane contemnebat. Filio itaque Actium ad Cæsarem misso, a matre, ne fœmina vexaretur itineribus, vades Mæcenas poposcit præbendos consuli. Quumque nemo illud suscipere vadimonium vellet; *Lepidus*, *circa fores Balbini*

ζοντι παρίστατο, καὶ διωθουμένων αὐτὸν ἐς πολὺ τῶν ὑπηρετῶν, μόλις εἶπεν· Ἐμοὶ μὲν καὶ οἱ κατήγοροι μαρτυροῦσιν ἐπιείκειαν, οὐδὲ γυναικί με ἢ παιδὶ συγγνῶναι λέγοντες. σὲ δὲ οὐκ ἐγὼ μὲν προέγραψα, κάτω δέ εἰμι τῶν προγραφέντων. ἀλλ' ἐς τὴν ἀνθρώπειον τύχην ἀφορῶν, καὶ ἐς ἐμέ, σοὶ παρεστῶτα, χάρισαί μοι, τὴν γυναῖκα ἀπαιτήσειν ἐς Καίσαρα ἐγγυωμένῳ, ἢ μετ' ἐκείνης ἀπελθεῖν δεομένῳ. Ταῦτα ἔτι τοῦ Λεπίδου λέγοντος, οὐκ ἐνεγκὼν τὴν μεταβολὴν ὁ Βάλβινος, ἀπέλυσε τῆς ἐγγύης τὴν γυναῖκα.

A. U. 711 sqq.

LI. Κικέρων δέ, ὁ Κικέρωνος, προαπέσταλτο μὲν ὑπὸ τοῦ πατρὸς ἐς τὴν Ἑλλάδα, τοιάδε ἔσεσθαι προσδοκῶντος· ἀπὸ δὲ τῆς Ἑλλάδος ἐς Βροῦτον, καὶ μετὰ Βροῦτον ἀποθανόντα, ἐς Πομπήϊον ἐλθών, τιμῆς παρ' ἑκατέρῳ καὶ στρατηγίας ἠξιοῦτο. ἐπὶ δ' ἐκείνοις αὐτὸν ὁ Καῖσαρ, ἐς ἀπολογίαν τῆς Κικέρωνος ἐκδόσεως, ἱερέα τε εὐθὺς ἀπέφηνε, καὶ ὕπατον οὐ πολὺ ὕστερον, καὶ Συρίας στρατη-

Lin. 29. τῶν προγραψάντων *Edd. & MSS. & Cand. Sed Reg. C. in marg.* Γρ'. προγραφέντων: *quem modum ex conject. jam legerat Freinshem. L.* 32. δεδεμένῳ *Edd. Aug. Cand. mend. Recte Reg. C.*

sæpe frustra obversatus, etiam ad tribunal ejus sese ingerebat; repulsusque diu ab adparitoribus, vix tandem hæc effari potuit: „Meæ certæ innocentiæ vel ipsi accusatores sunt testes, qui me negant uxori filiove conscium. Neque vero ego te proscripsi; & nunc infra proscriptos sum depressus. At tu, rerum humanarum fortuitas vices, meque tibi adstantem, considerans, hoc mihi quæso gratificare, ut aut vadem me pro uxore accipias, ac me cum illa ad Cæsarem sinas proficisci." Vix hæc *Lepidus* dixerat; quum *Balbinus*, non ferens tantam mutationem, vadimonium remisit mulieri.

51. CICERO, *Ciceronis filius*, in Græciam præmissus a patre talia mala divinante, inde ad Brutum profectus, & eo mortuo ad Pompejum, apud utrumque honorata dignatus erat militia. Post hos *Cæsar*, quo averteret a se proditi Ciceronis dedecus, *augurem hunc fecit*, *et* paulo post *Consulem*, postremo Syriæ

A. U. 711 sqq.

γόν· καὶ τὴν Ἀντωνίου περὶ Ἄκτιον συμφορὰν, ἐπισταλεῖσαν ὑπὸ τοῦ Καίσαρος, ὁ Κικέρων ὅδε, ὑπατεύων, ἀνέγνω τε τῷ δήμῳ, καὶ προύθηκεν ἐπὶ τοῦ βήματος, ἔνθα πρότερον ἡ τοῦ πατρὸς αὐτοῦ προὔκειτο κεφαλή. Ἄππιος δὲ διένειμε τοῖς θεράπουσι τὰ ὄντα, καὶ μετ' αὐτῶν ἐς Σικελίαν ἔπλει. χειμῶνος δὲ ἐπιλαβόντος, ἐπιβουλεύοντες οἱ θεράποντες τοῖς χρήμασιν, ἐς σκάφος ἐνέθεντο τὸν Ἄππιον, ὡς ἐς ἀσφαλεστέραν ἐλπίδα μεταφέροντες. καὶ συνέβη τῷ μὲν, ἐκ παραλόγου διαπλεῦσαι· τοῖς δὲ, ἀπολέσθαι, τῆς νεὼς διαλυθείσης. Πούπλιος δὲ, ὁ ταμίας Βρούτου, τῶν ἀμφὶ τὸν Ἀντώνιον αὐτὸν πειθόντων προδοῦναι Βροῦτον, οὐκ ἀνασχόμενος, διὰ τόδε καὶ προεγράφη· καὶ κατήχθη, καὶ Καίσαρι φίλος ἐγίγνετο, καὶ ἐπιόντι ποτὲ τῷ Καίσαρι προύθηκεν εἰκόνας Βρούτου, καὶ ἐπῃνέθη καὶ ἐπὶ τῷδε ὑπὸ τοῦ Καίσαρος. Τὰ μὲν δὴ παρὰ δόξαν τισὶ τῶν προγραφέντων εἴς τε κίνδυνον καὶ σωτηρίαν γενόμενα, πολλὰ καὶ ἄλλα παραλιπόντι, τοιάδε μάλιστα ἦν.

Lin. 43. ὑπὸ Καίσαρος *Edd. & carent* τοῦ, *invitis omnibus MSS. L. 51 sq. Non* Πούπλιος *apud Dionem, sed* Λούκιος Σέστιος, *vocatur. L. 55. Forsan* ἰόντι. *L. 58 sq.* παραλιπόντα *Reg. B. Sic & Aug. statim habuerat, sed mox ab eadem, ut videtur, manu correctum.*

proconsulem: & literas de profligato ad Actium Antonio, Romam a Cæsare missas, *Cicero* Consul recitavit pro concione; earumque exemplum pro rostris proposuit, ubi patris ejus caput olim fuerat propositum. APPIUS, bonis suis distributis in famulos, cum his navigavit in Siciliam: tempestate autem exorta, servi pecuniis inhiantes, eum in scapham, quasi ibi major spes salutis esset, transtulerunt: & ita casus tulit, ut hic præter opinionem in portum adpelleret, illi perirent naufragio. PUBLIUS, *Bruti quæstor*, ab Antonianis de proditione frustra solicitatus, proscriptusque ob eam causam, tandem in patriam reversus, *in Cæsaris amicitiam receptus* est: & aliquando domi suæ, quum Cæsar ipsum convenisset, imagines etiam Bruti eidem spectandas exposuit, laudante quoque id factum Cæsare. Hi ferme sunt proscriptorum, sive elapsorum, sive oppressorum, mirifici casus, e multis præcipui.

A. U. 711 sqq.

LII. Γιγνομένων δὲ τούτων ἐν Ῥώμῃ, καὶ τὰ ὑπερόρια πάντα πολέμοις διὰ τήνδε τὴν στάσιν ἐδονεῖτο, καὶ τῶν πολέμων οἱ μείζους ἦσαν ἀμφί τε Λιβύην Κορνιφικίου πρὸς Σέξτιον, καὶ ἐν Συρίᾳ Κασσίου πρὸς Δολοβέλλαν, καὶ περὶ Σικελίαν Πομπηίου. πάθη τε πολλὰ συνηνέχθη πόλεσιν ἐκ δοριαλωσίας· ὑπεριδόντι δὲ τῶν ἐλασσόνων, τὰ μέγιστα δὴ, καὶ δι' ἀξίωσιν τῶν ἄλλων περιφανέστατα, Λαοδικεῦσι, καὶ Ταρσεῦσι, καὶ Ῥοδίοις, καὶ Παταρεῦσι, καὶ Ξανθίοις. Καὶ αὐτῶν ἕκαστα, ὡς ἐν κεφαλαίῳ συναγαγόντι φράσαι, τοιάδε ἦν.

LIII. Λιβύης Ῥωμαῖοι τὴν μὲν ἔτι καλοῦσι Παλαιὰν, ὅσην Καρχηδονίους ἀφείλοντο· ἣν δὲ Ἰόβας εἶχεν, ὕστερόν τε ἔλαβον ἐπὶ Γαΐου Καίσαρος, καὶ διὰ τοῦτο Νέαν προσαγορεύουσι Λιβύην· εἴη δ' ἂν τῆς Νομαδικῆς. Σέξτιος οὖν, ὑπὸ Καίσαρι τῆς Νέας ἡγούμενος, ᾔτει Κορνιφίκιον ἐκστῆναί οἱ τῆς Παλαιᾶς, ὡς Λιβύης ἁπάσης ἐν τῇ λήξει τῶν τριῶν ἀνδρῶν Καίσαρι νενεμημένης. Ὁ

Lin. 64. *In verbis* περὶ Σικελ. Πομπηίου DESINIT *pars ea hujus Libri, quam exhibet Cod. REG. C.* *L.* 65. δορυαλωσίας *Edd. invitis MSS. Ibid.* δὲ *post* ὑπεριδόντι *abest vulgo: dedit Aug. & Ven.* *L.* 73. *An* ἡ Νομαδικὴ *vel* Λιβύη Νομαδική. Est autem Numidica *Cand.*

52. Quæ dum Romæ geruntur; interea *foris quoque*, per easdem contentiones, *bellis quatiebantur omnia*: e quibus graviora fuere, *in Africa Bellum inter Sextium & Cornificium; inter Cassium & Dolabellam in Syria*: *in Sicilia vero Bellum Pompejanum.* Quibus bellis multæ urbes expugnatæ sunt hostiliter, Laodicea, Tarsus, Rhodus, Patara, Xanthus; ut de ceteris ignobilioribus taceam. Jamque & has clades, summatim quamque & compendio, enarrabimus.

53. Africæ Romani alteram provinciam, ademtam Carthaginiensibus, etiam nunc *Veterem Africam*; alteram, quæ Jubæ regnum fuerat, a C. Cæsare imperio Romano adjectam, idcirco *Novam* adpellant; quam eamdem *Numidicam* dixeris. Hanc SEXTIUS regens nomine Cæsaris, denunciabat CORNIFICIO, ut Vetere sibi decederet, quod ex Triumvirorum divisione universa Africa deberetur Cæsari. Ille, nescire se, ait, quid

A. U. 711 ſqq. δὲ, οὔτε τὴν λῆξιν, ἔφη, γιγνώσκειν τῶν τριῶν ἐφ᾽ ἑαυτῶν πεποιημένων, οὐδὲ τὴν ἀρχὴν παρὰ τῆς βουλῆς λαβὼν, ἄλλῳ μεθήσειν χωρὶς αὐτῆς. Ἐκ μὲν δὴ τούτων ἀλλήλοις ἐπολέμουν. στρατὸν δὲ εἶχεν ὁ μὲν βαρύν τε καὶ πλείονα, ὁ δὲ Σέξτιος κουφότερόν τε καὶ ὀλιγώτερον· ᾧ δὴ καὶ τὰ μεσόγαια τοῦ Κορνιφικίου περιϊὼν ἀφίστη, καὶ Οὐεντίδιον στρατηγὸν τοῦ Κορνιφικίου μετὰ πλειόνων ἐπελθόντων ἀπεμάχετο πολιορκούμενος. Ἐδῄου δὲ καὶ Λαίλιος, ἕτερος τοῦ Κορνιφικίου στρατηγὸς, τὴν Σεξτίου Λιβύην, καὶ Κίρταν περικαθήμενος ἐπολιόρκει.

LIV. Καὶ πάντες ἐπρέσβευον περὶ συμμαχίας ἔς τε Ἀραβίωνα βασιλέα καὶ τοὺς καλουμένους Σιττιανούς· 690 ſqq. οἳ ἀπὸ τοιᾶσδε συντυχίας οὕτως ὠνομάζοντο. Σίττιος, ἐν Ῥώμῃ δίκην ἰδίαν οὐχ ὑποστὰς, ἔφυγε· καὶ στρατὸν ἀγείρας ἔκ τε αὐτῆς Ἰταλίας καὶ Ἰβηρίας, ἐς Λιβύην

Lin. 78. πεποιημένην *Edd. Prætuli Aug. Ven. & Reg. B. a pr. manu.* *L.* 82. περιὼν *Edd. ex Reg. A. Recte Aug. Ibid. Poſt* Κορνιφικίου *aliquot lineas omiſit Reg. B. uſque* ἕτερος τοῦ Κορνιφικίου. *L.* 84. ἐπελθόντα *puto legendum.* cum pluribus in eum irruentem *Cand.* *L.* 90. δίκην ἴδιαν *Edd. refragante h. l. Aug. qui tamen alibi interdum in hanc vocis formam cum illis conſentit.*

Triumviri inter ſe privato conſilio diviſerint: neque injuſſu ſenatus cuiquam deceſſurum provincia, quam a ſenatu accepiſſet.". Hæc *Belli inter Sextium & Cornificium origo.* Habuit autem *Cornificius* exercitum graviorem & majorem numero. *Sextius* vero, levius armatis paucioribuſque utens, mediterraneas ſtatim regiones, factis in eas excurſationibus, a Cornificio ad ſuas partes pertraxit; tum contra *Ventidium, Cornificii legatum,* cum majori copiarum numero ipſum petenti oppugnantique, ſtrenue ſe defendit. Sed & *Lælius*, *alius Cornificii legatus*, ingreſſus Sextii provinciam, *obſedit Cirtam* oppugnavitque.

54. Simul vero utraque pars per legatos ſocietatem petebat auxiliaque cum *regis Arabionis*, tum *Sittianorum* qui vocabantur: cujus nominis hæc fuerat origo. SITTIUS olim, Romæ accuſatus, non exſpectato judicio, profugerat; collectiſque ex Italia & Hiſpania copiis trajecerat in Afri-

διέπλευσε, καὶ τοῖς Λιβύων βασιλεῦσι πολεμοῦσιν ἀλλήλοις ἀνὰ μέρος συνεμάχει. αἰεὶ δὲ οἷς προσθοῖτο νικώντων, ὁ Σίττιος ἐπὶ ὀνόματος ἐγίγνετο, καὶ ὁ στρατὸς αὐτῷ γεγύμναστο λαμπρῶς. Γαΐῳ τε Καίσαρι, διώκοντι τοὺς Πομπηϊανοὺς ἐν Λιβύῃ συνεμάχησε, καὶ Σαβούρραν Ἰόβα στρατηγὸν διώνυμον ἀνεῖλε, καὶ γέρας τούτων ἔλαβε παρὰ Καίσαρος τὴν Μασανάσσου γῆν, οὐχ ἅπασαν, ἀλλὰ τὸ κράτιστον αὐτῆς. Μασανάσσης δ' ἦν Ἀραβίωνος τοῦδε πατὴρ, Ἰόβα σύμμαχος, καὶ αὐτοῦ τὴν χώραν ὁ Καῖσαρ τῷδε τῷ Σιττίῳ καὶ Βόκχῳ Μαυρουσίων βασιλεῖ δεδώρητο· καὶ τὸ μέρος ὁ Σίττιος τοῖς ὑπ' αὐτὸν ἀνδράσιν ἐπιδιεῖλεν. Ἀραβίων δὲ, τότε μὲν εἰς Ἰβηρίαν ἐξέφυγε πρὸς τοὺς παῖδας τοὺς Πομπηΐου· Γαΐου δὲ Καίσαρος ἀναιρεθέντος, ἐς Λιβύην ἐπανῆλθε, καὶ Λιβύων τινὰς αἰεὶ τῷ νεωτέρῳ Πομπηΐῳ πέμπων ἐς Ἰβηρίαν, καὶ γεγυμνασμένους ἀπολαμβάνων, Βόκχον ἀφῄρητο τὴν χώραν, καὶ Σίττιον ἀνῃρήκει δόλῳ. Εὔνους δὲ ὢν τοῖς

A. U. 708. 711.

Lin. 98. παρὰ τοῦ Καισ. *Edd. Delevi Artic. cum Aug. & Ven. Ib.* Μανάσσου *&* Μανάσσης *Edd. ex Reg. A. & Cand. Præferendum duxi Aug. & Reg. B. a pr. manu. L.* 5. παῖδας τοῦ Πομπ. *Edd. Aug. Prætuli Ven.*

cam. Erat tum bellum inter Africæ regulos. Horum nunc hunc, nunc illum, *Sittius* juvit auxilio: quumque semper vincerent quibuscunque ille se adjungeret, clarum nomen *Sittius* est consecutus, & exercitum suum rei militaris egregie peritum reddidit. C. Cæsari deinde, Pompejanos in Africa bello persequenti, adfuit, & *Saburram*, Iubæ ducem, occidit. Pro quibus meritis accepit a Cæsare agrum *Manassæ* [l. *Masinissæ*.] non totum, sed partem ejus optimam. *Manasses* ille [l. *Masinissa*] *Arabionis* hujus fuerat *pater*, Iubæ amicus & socius. Ejus igitur ditionem Cæsar partim huic *Sittio*, partim *Boccho*, regi Mauretanorum, donaverat; & *Sittius* portionem suam divisit suis militibus. *Arabio* tunc in Hispaniam ad Pompeji filios profugit: post necem vero Cæsaris in Africam reversus, subinde Afrorum auxilia Sex. Pompejo submittebat: quos ubi jam exercitatos rursus ab eo recepit, *Bocchum* expulit, *Sittium* per insidias sustulit. *Arabio* igitur, quamvis Pom-

A. U. 711 sqq.

Πομπηϊανοῖς διὰ τάδε, κατεγίγνωσκεν ἀεὶ τῆς μοίρας, ὡς ἀτυχούσης ἀμειλίκτως, καὶ Σεξστίῳ προσέθετο, εὐμειλιζόμενος δι' αὐτοῦ Καίσαρα. προσέθεντο δὲ καὶ οἱ Σιττιανοὶ κατ' εὔνοιαν οἵδε πατρῴαν τοῦ Καίσαρος.

LV. Θαρσήσας οὖν ὁ Σέξστιος, ἐξῄει τῆς πολιορκίας ἐς μάχην· καὶ πεσόντος τοῦ Οὐεντιδίου, καὶ τοῦ στρατοῦ φεύγοντος ὑπ' ἀναρχίας, εἵπετο κτείνων τε καὶ ζωγρῶν. Καὶ τάδε μαθὼν ὁ Λαίλιος, διέλυε τὴν τῆς Κίρτης πολιορκίαν, καὶ ἐχώρει πρὸς τὸν Κορνιφίκιον. Ὁ δὲ Σέξστιος ἐπαιρόμενος τοῖς γεγονόσιν, ἐπ' αὐτὸν ἤδη τὸν Κορνιφίκιον ἐς Ἰτύκην ᾔει, καὶ ἀντεστρατοπέδευε μετὰ πλειόνων ὄντι. Λαίλιον δὲ τοῦ Κορνιφικίου μετὰ τῶν ἱππέων πέμψαντος ἐς τινα κατάσκεψιν, ὁ Σέξστιος Ἀραβίωνα ἔπεμψεν ἱππομαχεῖν τῷ Λαιλίῳ κατὰ μέτωπον, καὶ αὐτὸς ᾔει μετὰ τῶν εὐζώνων ἐς τὰ πλάγια τῆς ἱππομαχίας, καὶ ἐμβαλὼν ἐθορύβει· μέχρι τὸν Λαίλιον οὐχ ἡσσημένον πω δεῖσαι περὶ τῆς ἀναχωρήσεως μὴ ἀποκλεισθείη, καὶ λό-

Lin. 11. καὶ Σιτλίῳ προσέθετο *Edd. Cand. corrupte. Recte Aug.* *L.* 17. τῆς Κίρτας *Edd. Rectius Aug.*

pejanis his de caussis bene cuperet, a factione tamen eorum abstinuit, ut fortunæ favore destituta; & *Sextio se adjunxit*, per quem captabat Cæsaris gratiam. Et *Sittiani* quoque, paternæ memores amicitiæ, easdem partes secuti sunt.

55. Itaque *auctus animis ac opibus Sextius*, non passus se diutius oppugnari, in pugnam copias eduxit: in qua pugna postquam *cecidit Ventidius*, exercitus duce orbatus terga vertit, Sextio persequente, & cædente aut vivos capiente quotquot adsequi poterat. Quo nuncio accepto *Lælius* obsidionem Cirtæ solvit, & ad Cornificium se recepit. At *Sextius*, hoc successu elatus, jam ipsum Cornificium Uticamque petiit, & castra metatus est in proximo, quamvis minores haberet copias. Ibi Lælio, cum equitatu ad speculandum præmisso a Cornificio, *Sextius Arabionem* cum suis equitibus jussit occurrere: ipse cum expeditis peditibus hostem equestri prælio intentum invasit a latere; tantumque tumultum excivit, ut *Lælius*, nondum victus, timens, ne receptu exclude-

φον ἐν μέσῳ καταλαβεῖν, Ἀραβίωνα δὲ ἀρτώμενον αὐτοῦ, κτεῖναί τε πολλοὺς, καὶ τὸν λόφον περικυκλῶσαι. ὁρῶν δὲ ταῦτα ὁ Κορνιφίκιος, ἐξῄει τῷ πλέονι στρατῷ, βοηθήσων τῷ Λαιλίῳ· καὶ τοῦδε μὲν ὁ Σέξστιος ὄπισθεν γενόμενος, ἐξήπτετο συντρέχων, καὶ αὐτὸν ἐπιστρεφόμενος ὁ Κορνιφίκιος ἀπεμάχετο μάλα κακοπαθῶς. A. U. 711 sqq.

LVI. Ὁ δὲ Ἀραβίων ἐν τούτῳ πετροβάταις ἀνδράσιν ἀνέρπουσι διὰ κρημνῶν ἐς τὸ στρατόπεδον τοῦ Κορνιφικίου παρέδυ λαθών. καὶ Ῥώσκιος μὲν ὁ φύλαξ, τοῦ χάρακος ἁλισκομένου, τῶν ὑπασπιστῶν τινι τὴν σφαγὴν ὑπέσχε, καὶ ἀνῃρέθη. Ὁ δὲ Κορνιφίκιος, τῇ μάχῃ κάμνων, μετεπήδα πρὸς Λαίλιον ἐς τὸν κολωνὸν, οὐκ εἰδώς πω περὶ τοῦ στρατοπέδου· μεταπηδῶντα δ' αὐτὸν οἱ τοῦ Ἀραβίωνος ἱππεῖς ἐπιδραμόντες ἔκτειναν. καὶ γιγνόμενα ταῦτα ὁ Λαίλιος ἀπὸ τοῦ λόφου καθορῶν, ἑαυτὸν διεχρήσατο. τῶν δ' ἀρχόντων πεσόντων, ὁ στρατὸς κατὰ μέρη διέφυγε· καὶ ὅσοι τῶν προγεγραμμένων ἦσαν παρὰ τῷ Κορνιφικίῳ, οἱ μὲν ἐς Σικελίαν διέπλεον, οἱ δ' ὅπη

Lin. 28. κτεῖναί τε αὐτοὺς *Edd. mend. Recte Aug. Ven.* *L.* 30. ὄπισθεν *Reg. B.* *L.* 34. ἔρπουσιν (*sic*) *Aug.* *L.* 36 *sq.* σφαγὴν ὑπέστη *Edd. Rectius Aug. Ven.*

retur, in proximum tumulum refugeret. Cujus veſtigiis inhærens *Arabio*, cæſis multis, corona eum tumulum cinxit. Quo viſo quum *Cornificius*, ut ſuccurreret Lælio, cum pluribus eſſet progreſſus; *Sextius* eum a tergo propere inſecutus adgreſſus eſt: cui Cornificius, converſis ſignis, repugnavit valde laborioſe.

56. Interim *Arabio*, miſſis quibuſdam adſuetis prærupta ſcandere, clam obrepſit in caſtra Cornificii: & *Roſcius*, caſtrorum cuſtodiæ præpoſitus, jugulandum ſe uni ex ſuis ſatellitibus præbuit. *Cornificius*, non ferens *Sextii* impetum, ac neſciens etiam tunc caſtra amiſſa, ad Lælium ſe in tumulum recipere conatur: ſed dum in eo eſt, equitum Arabionis incurſu *opprimitur*. Id ex editiore loco conſpicatus *Lælius*, *ſeipſum interemit*: occiſisque ducibus, exercitus diffugit. *Proſcripti*, *qui apud Cornificium fuerant*, alii trajecerunt in Siciliam,

A. U. δύναιντο ἕκαστος. Ὁ δὲ Σέξτιος Ἀραβίωνα μὲν καὶ τοὺς Σιττιανοὺς ἐδωρεῖτο πολλοῖς λαφύροις, τὰς δὲ πόλεις τῷ Καίσαρι καθίστατο, συγγινώσκων ἁπάσαις. Τοῦτο μὲν δὴ τέλος ἦν τῷ περὶ Λιβύην Σεξτίου καὶ Κορνιφικίου πολέμῳ, βραχεῖ διὰ ταχυεργίαν δόξαντι εἶναι.

710. LVII. Τὰ δ' ἀμφὶ Κάσσιόν τε καὶ Βροῦτον, μικρὰ καὶ τῶν εἰρημένων ἀναλαβόντι ἐς ὑπόμνημα, ἦν τοιάδε. Ἐπειδὴ Γάϊος Καῖσαρ ἀνῄρητο, οἱ μὲν σφαγεῖς αὐτοῦ τὸ Καπιτώλιον κατέλαβον, καὶ ψηφισθείσης αὐτοῖς ἀμνηστίας, κατέβησαν. ὁ δὲ δῆμος ἐπὶ τῇ ἐκκομιδῇ τοῦ σώματος ἐν οἴκτῳ Καίσαρος γενόμενος, ἐζήτει τοὺς φονέας περιθέων. οἱ δὲ τότε μὲν ἠμύνοντο αὐτοὺς ἀπὸ τῶν τεγῶν· εὐθὺς δὲ ἐξῄεσαν αὐτῶν ὅσοι στρατηγεῖν ἐθνῶν ὑπὸ Καίσαρος αὐτοῦ κεχειροτόνηντο. Κάσσιος δὲ καὶ Βροῦτος ἐστρατήγουν μὲν ἔτι τῆς πόλεως, ᾕρηντο δὲ ἐπὶ τῇ στρατηγίᾳ καὶ οἵδε ὑπὸ Γαΐου Καίσαρος ἡγεῖσθαι Συρίας μὲν ὁ Κάσσιος, Μακεδονίας δὲ ὁ Βροῦτος. οὔτε δὲ ἄρχειν πω τῶν ἐθνῶν πρὸ τοῦ χρόνου δυνάμενοι, οὔτε τὸν ἐν ἄστει

Lin. 62 ſq. ἐν ἄστει ὄντων Edd. Cand. Verum, quod jam viderat Gelenius, ded. Aug. Ven.

alii quo quiſque potuit. *Sextius* Arabionem & Sittianos multis donavit manubiis; urbes omnes, venia data, in fidem Cæſaris recepit. Ita *Cornificius in Africa a Sextio debellatus* eſt: & exiguum quidem id bellum, propter rerum geſtarum celeritatem, eſt habitum.

57. Nunc CASSII BRUTIQUE RES GESTÆ exponentur; paucis prius, memoriæ cauſa, ex his quæ ſupra dicta ſunt, repetitis. Occiſo Cæſare, conjurati Capitolium ſtatim occuparunt; ſed oblivione deinde cædis a ſenatu decreta, rurſus deſcenderunt. Tum vero plebs, in exſequiis Cæſaris ad miſericordiam commota, exquiſivit conjuratos, & ædes eorum invaſit. Et illi tum quidem de tectis pugnantes, repulerunt plebis impetum; ſed mox abierunt in ſuam quiſque provinciam, a Cæſare acceptam. *Caſſius* autem *& Brutus* præturas adhuc in Urbe gerebant; ipſi quidem quoque *deſtinati a Cæſare proprætores, Caſſius Syriæ, Brutus Macedoniæ*: ſed quia nec dum tempus aderat in pro-

φόβον ὑπομένοντες, ἐξῄεσαν ἔτι στρατηγοῦντες· καὶ αὐτοῖς ἐς εὐπρέπειαν ἡ βουλὴ σίτου φροντίσαι προσέταξεν, ἵνα μὴ τὸ ἐν μέσῳ διάστημα φεύγειν νομίζοιντο. οἰχομένων δὲ αὐτῶν, Συρία μὲν καὶ Μακεδονία ἐς τοὺς ὑπάτους Ἀντώνιόν τε καὶ Δολοβέλλαν μετεψηφίζετο, τῆς βουλῆς πάνυ δυσχεραινούσης. ἀντεδόθη δὲ ὅμως τοῖς ἀμφὶ τὸν Κάσσιον Κυρήνη τε καὶ Κρήτη· ὧν ὑπεριδόντες ὡς βραχυτέρων ἐκεῖνοι, στρατὸν καὶ χρήματα ἤγειρον, ὡς ἐς Συρίαν καὶ Μακεδονίαν ἐσβαλοῦντες. Καὶ οἱ μὲν ἦσαν ἐν τούτοις.

A. U. 710.

LVIII. Τρεβώνιον δὲ ἐν Ἀσίᾳ κτείναντος Δολοβέλλα, καὶ Δέκμον Ἀντωνίου πολιορκοῦντος ἐν Κελτοῖς, χαλεπαίνουσα ἡ βουλὴ Δολοβέλλαν μὲν καὶ Ἀντώνιον ἐψηφίσαντο εἶναι πολεμίους, Βροῦτον δὲ καὶ Κάσσιον ἐς τὰς προτέρας ἡγεμονίας ἐπανήγαγον, καὶ Βρούτῳ τὴν Ἰλλυρίδα προσέθεσαν, τοῖς τε ἄλλοις πᾶσιν ἐκέλευσαν, ὅσοι Ῥωμαίοις ἡγεμονεύουσιν ἐθνῶν ἢ στρατοπέδων ἀπὸ τοῦ Ἰονίου μέχρι Συρίας, ὑπακούειν ἐς ὅ τι κελεύοι Κάσσιος ἢ Βροῦτος. Ἐπὶ δὲ τούτοις Κάσσιος φθάνει Δολοβέλλαν εἰς τὴν Συρίαν 711.

vincias ſuccedendi, & in Urbe præ metu manere non poterant, ſenatus eos honeſtæ ſpeciei cauſa ad annonæ curam ablegavit, ne viderentur profugiſſe interim. His profectis, *mutato ſenatuſconſulto*, *Syria Macedoniaque* provinciæ Conſulibus *Antonio & Dolabellæ decretæ* ſunt, ſenatu quidem iniquiſſime id ferente. *Bruto* tamen *Caſſioque pro illis* provinciis *Cyrene & Creta* ſunt decretæ. Sed illi, his contemtis, ut exiguis, exercitum ac pecunias colligere inſtituerunt, in Syriam & Macedoniam invaſuri.

58. Hoc tunc erat eorum negotium, quum, in Aſia occiſo a Dolabella Trebonio, Antonio D. Brutum oppugnante in Gallia, *ſenatus* offenſus, tam *Antonium* quam *Dolabellam hoſtes judicavit*; *Brutum* vero *& Caſſium in provincias priſtinas reſtituit*, ac Bruto Illyricum etiam adjecit; & omnium trans Ionium mare provinciarum exercituumque præfectis, ut Caſſii Brutique juſſa facerent, imperavit. Poſt hæc *Caſſius*, ceſſante Dolabella, *præoccupata*

A. U. 711. ἐμβαλὼν, καὶ σημεῖα τῆς ἡγεμονίας ἀνέσχε, καὶ δυώδεκα τέλη στρατοῦ Γαΐῳ Καίσαρι ἐκ πολλοῦ στρατευόμενα καὶ γεγυμνασμένα, προσέλαβεν ἀθρόως· οὗ τὸ μὲν ἐν αὐτῶν ὁ Καῖσαρ ἐν Συρίᾳ καταλελοίπει, τὰ ἐς Παρθυαίους ἤδη διανοούμενος· τὴν δὲ ἐπιμέλειαν αὐτοῦ ἐπιτέτραπτο μὲν Καικίλιος Βάσσος, τὸ δὲ ἀξίωμα εἶχε νεανίας, αὐτοῦ Καίσαρος συγγενὴς, Σέξστος Ἰούλιος. ἐκδιαιτώμενος δὲ ὁ Ἰούλιος, τὸ τέλος ἐς τρυφὴν ἐπήγετο ἀσχημόνως, καὶ ἐπιμεμφομένῳ τῷ Βάσσῳ ποτὲ ἐνύβρισε· καὶ καλῶν ὕστερον, ἐπειδὴ βραδέως ὑπήκουεν, ἄγειν αὐτὸν ἐκέλευεν ἕλκοντας. θορύβου δὲ ἀσχήμονος καὶ πληγῶν ἐς τὸν Βάσσον γενομένων, οὐκ ἐνεγκοῦσα τὴν ὄψιν ἡ στρατιὰ, τὸν Ἰούλιον συνηκόντισε. καὶ εὐθὺς ἦν μετάνοια καὶ δέος ἐκ τοῦ Καίσαρος. συνομόσαντες οὖν ἀλλήλοις, εἰ μή τις αὐτοῖς συγγνώμη καὶ πίστις γένοιτο, διαγωνιεῖσθαι μέχρι θανάτου, τὸν Βάσσον ἐς ταῦτα συνηνάγκασαν. τέλος

Lin. 84. *An* καὶ τὸ μὲν? *L.* 87. Κεκίλιος *Regii & Aug. Correxit C. Steph. L.* 88 *sq.* ὁ *ad* Ἰούλιος *caret Reg. B. L.* 97. τὸν Βασσ. ἐνταῦθα *Edd. Rectius Aug. Ven. Forsan* ἐς ταῦτα.

Syria, imperatoria ſigna ibi ſumſit, & brevi *duodecim legiones* veteranas, ſuperioris Cæſaris militia exercitatos, *in fidem accepit*. Ex illis legionibus unam ipſe C. Cæſar, jam tum bellum cogitans Parthicum, in Syria reliquerat; cujus curam commiſerat *Cæcilio Baſſo*, imperii honos penes *Sex. Julium* fuerat adoleſcentem, gentilem ipſius Cæſaris: qui voluptatibus vacans, legionem indecenter ſecum circumducebat. Id reprehendentem aliquando *Baſſium* juvenis cum contumelia rejecerat; nec multo poſt, quum vocanti obediret tardius, attrahi eum juſſerat. Inde exorto incondito tumultu, in quo ne plagæ quidem abſtinebantur a Baſſo; *milites*, non ferentes eam inſolentiam, *jaculis confixerant Julium*. Mox autem ſecuta pœnitentia & metu a Cæſare, conjuraverant inter ſe, ni venia fideſque ſibi daretur, uſque ad mortem ſe decertaturos; *Baſſiumque*, ut ejus conjurationis fieret ſocius, coëgerant. Tum novo delectu alia legione confecta, & eiſdem quibus ipſi

δὲ σ]ρατεύσαντες ἕτερον, συνεγύμναζον ἄμφω· καὶ Στάτιον Μοῦρκον, ὑπὸ Καίσαρος αὐτοῖς σὺν τρισὶ τέλεσιν ἐπιπεμφθέντα, γενναίως ἀπεμάχοντο. Μούρκῳ δ᾽ ἧκεν ἐπίκουρος Μάρκιος Κρίσπος ἐκ Βιθυνίας μετὰ τριῶν τελῶν ἄλλων, καὶ τὸν Βάσσον ἐπολιόρκουν ὁμοῦ πάντες ἐξ τέλεσιν ἤδη. *A. U.* 711.

LIX. Κάσσιος οὖν τήνδε τὴν πολιορκίαν σπουδῇ καταλαβὼν, τόν τε τοῦ Βάσσου σ]ρατὸν αὐτίκα παρελάμβανεν ἑκόντα, καὶ ἐπ᾽ ἐκείνῳ τα Μούρκου τέλη καὶ Μαρκίου, κατά τε φιλίαν αὐτῷ παραδιδόντων, καὶ κατὰ τὸ δόγμα τῆς βουλῆς ἐς πάντα ὑπακουόντων. Ἄρτι δὲ καὶ Ἀλλιηνὸς, ὑπὸ Δολοβέλλα πεμφθεὶς ἐς Αἴγυπ]ον, ἐπανῆγεν ἐξ αὐτῆς τέσσαρα τέλη τῶν ἀπὸ τῆς ἥσσης Πομπηίου τε καὶ Κράσσου διαῤῥιφέντων, ἢ ὑπὸ Καίσαρος Κλεοπάτρᾳ καταλελειμμένων. καὶ αὐτὸν ὁ Κάσσιος ἐν τῇ Παλαισ]ίνῃ, τῶν ὄντων οὐ προπεπυσμένον, ἄφνω περιέλαβέ τε, καὶ ἠνάγκασε προσθέσθαι οἱ, καὶ παρα-

Lin. 98 *sq.* Σέξ]ιον Μοῦρκον *Edd. & MSS.* *L.* 2. ΜΙΝΟΥΚΙΟΣ Κρίσπος; *& mox* Μινουκίου *Edd. & MSSti nostri. Correxi ut supra.* *L.* 6. σ]ρατὸν *caret Aug. perperam.* *L.* 7. ἐκείνῳ τοῦ Μούρκου *Aug. Ven.* *L.* 10. Albinus *mend. Cand. ut supra.* *L.* 12. διαριφέντων *Aug.* διαριφθέντων *Reg. B.* *L.* 14. οὐδὲν προπεπυσμ. *Edd. invitis MSS.*

utebantur exercitiis adsuefacta, *Statio Murco*, cum tribus legionibus a Cæsare contra se misso, repugnaverant fortiter. Murco in auxilium e Bithynia venerat *Marcius Crispus* cum tribus legionibus aliis, atque ita *Bassus* a sex legionibus erat oppugnatus.

59. Ei tunc obsidioni propere intervenit *Cassius*: & *Bassi* statim *exercitum*, ultro sese dedentem, *moxque Murci etiam & Marcii legiones, in fidem accepit*; tradentibus eas amicitiæ causa ducibus, & ex Senatusconsulto omnibus in rebus imperio Cassii sese subjicientibus. Per idem tempus *Allienus*, quum a Dolabella missus fuisset in Ægyptum, reduxerat inde quatuor legiones, Pompejanæ Crassianæque cladis dilapsas reliquias, aut ex eorum numero quos Cæsar discedens reliquerat apud Cleopatram. Eumque Cassius in Palæstina, rerum omnium ignarum, subito circumvenit, coëgitque sibi quas duxerat

A. U. 711. δοῦναι τὸν στρατὸν, δείσαντα τέσσαρσι τέλεσι μάχεσθαι πρὸς ὀκτώ. Οὕτω μὲν ὁ Κάσσιος ἐκ παραδόξου δυώδεκα τελῶν ἀρίστων ἀθρόως ἐκράτει. καὶ αὐτῷ τινες καὶ Παρθυαίων ἱπποτοξόται συνεμάχουν, δόξαν ἔχοντι παρὰ τοῖς Παρθυαίοις, ἐξ οὗ Κράσσῳ ταμιεύων ἐμφρονέστερος ἔδοξε τοῦ Κράσσου γενέσθαι.

LX. Δολοβέλλας δὲ διέτριψε μὲν περὶ τὴν Ἰωνίαν, κτείνων Τρεβώνιον, καὶ ταῖς πόλεσιν ἐπιβάλλων ἐσφορὰς, καὶ ναυτικὸν ἀγείρων ἐπὶ μισθῷ διὰ Λευκίου Φίγλου, παρά τε Ῥοδίων καὶ Λυκίων καὶ Παμφύλων καὶ ἐκ Κιλικίας. ὡς δέ οἱ τάδε ἕτοιμα ἦν, ἐπῄει τῇ Συρίᾳ, κατὰ μὲν τὴν γῆν αὐτὸς μετὰ δύο τελῶν, διὰ δὲ τῆς θαλάσσης ὁ Φίγλος. πυθόμενος δὲ τῆς Κασσίου στρατιᾶς, ἐς Λαοδίκειαν οἰκείως ἔχουσάν οἱ παρῆλθεν, ἐπί τε χερρονήσου συνῳκισμένην, καὶ τὰ ἐκ τῆς γῆς ὠχυρωμένην, καὶ ἐς τὸ πέλαγος ἔχουσαν ὅρμον, ὅθεν ἔμελλεν εὐπορήσειν τε ἀγορᾶς ἀπὸ θαλάσσης, καὶ ἀδεῶς ὅτε βούλοιτο ἀποπλευσεῖσθαι. Ὧν αἰσθανόμενος ὁ Κάσσιος, καὶ δεδιὼς μὴ αὐτὸν

copias tradere, non ausum quatuor suas opponere octo legionibus. Atque ita præter opinionem *duodecim* in universum *legionibus Cassius potitus* est; auctus etiam nonnullis Parthorum equitibus sagittariis, apud quam gentem in præclara existimatione fuit, jam inde ex quo Crassi quæstor imperatore ipso visus eis erat prudentior.

60. *Dolabella* interim in Ionia hærens, Trebonium peremerat, tributaque exegerat a civitatibus, & classem mercede per *L. Figulum* a Rhodiis, Lyciis, Pamphyliis, Cilicibusque conduxerat. Quo adparatu confecto, *expeditionem adgressus est in Syriam*; ipse terrestri itinere cum duabus profectus legionibus, *Figulo* illuc navigante cum classe. Edoctus autem de Cassii copiis, *Laodiceam concessit*; urbem sibi amicam, sitam in peninsula, &, qua continentem spectat, bene munitam; ad mare vero stationem navium portumque habentem, ad commeatus abunde convehendos idoneum, nec minus ad securum abitum quandocumque navigare liberet. Id *Cassius* intelligens, & veritus ne Dolabella

μὴ αὐτὸν ὁ Δολοβέλλας διαφύγοι, τόν τε ἰσθμὸν ἔχου δισταδιαῖον ὄντα, λίθους καὶ πᾶσαν ὕλην ἐξ ἐπαύλεων καὶ προαστείων καὶ τάφων συμφέρων, καὶ ἐπὶ ναῦς περιέπεμπε ἔς τε Φοινίκην καὶ Λυκίαν καὶ Ῥόδον. A. U. 711.

LXI. Ὑπερορώμενος δὲ ὑπὸ τῶν ἄλλων πλὴν Σιδωνίων, ἐναυμάχει τῷ Δολοβέλλᾳ, καὶ κατέδυσαν μὲν ἑκατέρου νῆες ἱκαναί, πέντε δὲ αὐτοῖς ἀνδράσιν εἷλεν ὁ Δολοβέλλας. καὶ ὁ Κάσσιος αὖθις ἔπεμπεν ἐς τοὺς ὑπεριδόντας αὐτοῦ, καὶ ἐς Κλεοπάτραν τὴν Αἰγύπτου βασιλίδα, καὶ ἐς Σεραπίωνα τὸν ἐν Κύπρῳ τῇ Κλεοπάτρᾳ στρατηγοῦντα. Τύριοι μὲν δὴ καὶ Ἀράδιοι, καὶ Σεραπίων, οὐδὲν τῆς Κλεοπάτρας προμαθών, ἔπεμψαν αὐτῷ ναῦς ὅσας εἶχον· ἡ βασιλὶς δὲ Κασσίῳ μὲν προὔφερε λιμὸν ὁμοῦ καὶ λοιμὸν ἐνοχλοῦντα τότε Αἰγύπτῳ, διὰ δὲ οἰκειότητα τοῦ προτέρου Καίσαρος συνέπρασσε τῷ Δολοβέλλᾳ. καὶ ἀπὸ τῆσδε τῆς γνώμης αὐτῷ καὶ τὰ τέσσαρα τέλη

Lin. 34. Pro ἔχου dant ἔχων Edd. ἔχω Reg. B. & Aug. sed in Aug. super ω superscripta est litera υ. ἔχου recte Reg. A. Ven. L. 36. πέμψαν Edd. Cand. Recte Aug. Ven. L. 41. αὖθις caret Aug. male.

ne Dolabella evaderet, per transversum Isthmum duorum stadiorum spatio excitavit aggerem, saxis & omnis generis materie ex suburbanis villis sepulcrisque congesta: tum naves etiam e Phœnice ac Lycia Rhodoque per nuncios petiit.

61. Contemtus autem ab omnibus præter Sidonios, *navale prælium cum Dolabella iniit*; in quo, utrimque satis multis navibus demersis, quinque una cum navalibus sociis in Dolabellæ potestatem sunt redactæ. Tum *Cassius* rursus nuncios misit ad eos qui priora imperata contemserant, ad *Cleopatram*que Ægypti reginam, & ad *Serapionem*, qui in Cypro copiis Cleopatræ præerat. Ac Tyrii quidem Aradiique, & Serapio quoque, inconsulta regina, miserunt *Cassio* naves quotquot habebant: Cleopatra vero caussata est, Ægyptios fame simul & peste laborare; favebat autem magis Dolabellæ, propter consuetudinem quam cum superiore Cæsare habuerat. Quamobrem & quatuor legiones ei per Allienum præmiserat, &

A. U. 711. προσπεπόμφει δι' Ἀλλιηνοῦ, καὶ στόλον ἄλλον ἕτοιμον εἶχεν ἐπαμύνειν, ἄνεμοι δὲ ἐπεῖχον. Ῥόδιοι δὲ καὶ Λύκιοι οὔτε Κασσίῳ οὔτε Βρούτῳ συμμαχήσειν ἔφασκον ἐς ἐμφύλια· ἐπεὶ καὶ Δολοβέλλᾳ δοῦναι ναῦς προπομπούς, καὶ οὐκ εἰδέναι συμμαχούσας.

LXII. Ἑτοιμασάμενος οὖν ὁ Κάσσιος αὖθις ἐκ τῶν παρόντων, ἐπανήγετο δὶς τῷ Δολοβέλλᾳ· καὶ τὸ μὲν πρῶτον ἀγχώμαλοι διεκρίθησαν ἀπ' ἀλλήλων, τῇ δὲ ἑξῆς ναυμαχίᾳ ἡσσᾶτο ὁ Δολοβέλλας· καὶ ὁ Κάσσιος, αἰρομένου τοῦ χώματος, ἔκοπτεν αὐτοῦ τὸ τεῖχος ἤδη καὶ ἐσάλευε. τόν τε νυκτοφύλακα αὐτοῦ Μάρσον οὐ δυνηθεὶς διαφθεῖραι, διέφθειρε τοὺς ἡμεροφυλακοῦντας αὐτῷ λοχαγούς· καί, ἀναπαυομένου τοῦ Μάρσου, μεθ' ἡμέραν ἐσῆλθεν, ὑπανοιχθεισῶν αὐτῷ πυλίδων κατὰ μέρη πολλῶν. Ἁλούσης δὲ τῆς πόλεως, ὁ μὲν Δολοβέλλας προὔτεινε τὴν κεφαλὴν τῷ σωματοφύλακι αὐτοῦ, καὶ

Lin. 52. ἐς *abest ab Aug. neque admodum desiderari videtur.* *L. 53.* ἐπεὶ δὲ καὶ *edit. 1. ex Reg. A. unde* ἐπεί γε καὶ *factum in edit. 2. 3. Nec* δὲ *nec* γε *agnoscit Aug. & Reg. B.* *L. 54.* συμμαχήσας *ed. 1. mend. cum Regiis: unde* συμμαχησάσας *edit. 2. 3. ex emendat. H. Steph. Verum ded. Aug. Ven.* *L. 59.* αἰρουμένου *mend. Edd. Recte Aug.*

classem paratam habebat ad ferendum auxilium, quæ quidem tunc per adversas tempestates retinebatur, ut navigare non posset. Sed *Rhodii Lyciique* negaverunt, se vel Cassio vel Bruto ad Bella Civilia laturos opem: nam & Dolabellæ se naves in hoc solum dedisse, ut eum deducerent; neque scivisse, eum his ad belli operam usurum.

62. Itaque *Cassius*, reparatis pro facultate viribus, denuo bis *cum Dolabella conflixit navali certamine*; primum dubio Marte, iterum multo *superior*. Jamque, & a continenti, perfecto aggere, arietes admoti magna vi quatiebant mœnia. Et postquam nocturnarum excubiarum præfectum, cui Marso nomen erat, non potuit pecuniis corrumpere, corrupit centuriones qui sub ejus imperio diurnas agebant stationes: atque ita, Marso interdiu quiescente, per aliquot minores portas intro admissus est. Sic *capta a Cassio Laodicea*, *Dolabella custodi corporis cervicem feriendam præbuit*, jusso ut abscisso capite salutem

τεμόντα προσέταξε φέρειν Κασσίῳ σῶστρον ἴδιον· ὁ δὲ, τεμὼν, ἐπικατέσφαξεν ἑαυτόν. διεχρήσατο δὲ καὶ Μάρσος ἑαυτόν. Ὁ δὲ Κάσσιος τὴν μὲν τοῦ Δολοβέλλα στρατιὰν ἐς ἑαυτὸν μεθώρκου· Λαοδικέων δὲ τά τε ἱερὰ καὶ τὰ κοινὰ ἐσύλα, καὶ τοὺς ἐπιφανεῖς ἐκόλαζε, καὶ τοὺς λοιποὺς ἐσφοραῖς βαρυτάταις ἐξέτρυχε, μέχρι τὴν πόλιν περιήνεγκεν ἐς ἔσχατον κακοῦ. A. U. 711.

LXIII. Μετὰ δὲ Λαοδίκειαν ἐπ' Αἴγυπτον ὥρμα, πυνθανόμενος μὲν Κλεοπάτραν βαρεῖ στόλῳ διαπλευσεῖσθαι πρός τε Καίσαρα καὶ πρὸς Ἀντώνιον, ἐπινοῶν δὲ κωλῦσαί τε τὸν πλοῦν, καὶ τίσασθαι τῆς γνώμης τὴν βασιλίδα, καὶ πρὸ τῶνδε αὐτὴν Αἴγυπτον ἐνθυμιζόμενος μάλιστα ἐν καιρῷ, τετρυμένην τε ὑπὸ λιμοῦ, καὶ ξενικὸν στρατὸν οὐ πολὺν ἔχουσαν, ἄρτι τῶν Ἀλλιηνοῦ στρατιωτῶν ἀποστάντων. Οὕτω δὲ αὐτὸν ὁρμῆς καὶ ἐλπίδος ἔχοντα καὶ καιροῦ, ὁ Βροῦτος ἐκάλει κατὰ σπουδὴν, ὡς ἤδη Καίσαρος καὶ Ἀντωνίου τὸν Ἰόνιον περώντων. Ἄκων μὲν δὴ Κάσ-

Lin. 69. εἰς αὐτὸν μεθόρκου (*sic*) *Edd. ex Reg. B.* ἐς αὐτὸν μεθώρκου *Reg. A. Recte Aug. L.* 77. καὶ πρὸς τάδε *maluit Musgr. L.* 78. τετρυμμένην *Edd. & MSS. Delevi alteram* μ.

ſuam redimeret: fecit ille imperatum, ſed ſe ipſum jugulavit inſuper. Marſus quoque ſibi ipſe manus intulit. *Caſſius exercitum Dolabellæ juſſit ſibi ſacramentum dicere*: Laodicenſium & fana & ærarium diripuit, & nobiliſſimum quemque civium adfecit ſupplicio, a ceteris graviſſima tributa exegit, ita ut eam civitatem ad extremam redegerit miſeriam.

63. Inde *Ægyptum infeſtus petiit Caſſius*, quum Cleopatram cognoviſſet magna claſſe navigaturam ad Cæſarem & Antonium; cogitans, ſe hoc modo & profectionem claſſis impediturum, & a regina pœnas conſilii illius repetiturum; maxime vero ipſam Ægyptum, commodo tunc tempore, præripere cupiens, fame adflictam, & externo milite pæne vacuam, poſt recentem Allieni cum ſuis copiis diſceſſum. *Ab hoc conatu*, ſperantem ſe occaſione bene uſurum, *revocavit Brutus*; hortatus ut properaret, *quandoquidem Cæſar jam et Antonius Adriaticum trajicerent*. Sic invitus a ſperata Æ-

A. U. 711. σιος Αἴγυπτον ἐκ τῶν ἐλπίδων μεθίει· καὶ τοὺς Παρθυαίων ἱπποτοξότας ἀπέπεμπε τιμήσας, καὶ πρέσβεις πρὸς τὸν βασιλέα αὐτῶν ἔστελλε περὶ μείζονος συμμαχίας· ἣ μετὰ τὸ ἔργον ἀφικνουμένη, Συρίαν τε καὶ πολλὰ τῶν ἐγγὺς ἐθνῶν μέχρι Ἰωνίας ἐπέδραμε, καὶ ἀνεχώρησεν. Αὐτὸς δὲ ὁ Κάσσιος τὸν μὲν ἀδελφιδοῦν ἐν Συρίᾳ μεθ' ἑνὸς τέλους ἀπέλιπε, τοὺς δὲ ἱππέας προὔπεμψεν ἐς Καππαδοκίαν· οἳ Ἀριοβαρζάνην τε ἄφνω κατέκανον, ὡς ἐπιβουλεύοντα Κασσίῳ, καὶ χρήματα πολλὰ τὰ ἐκείνου καὶ τὴν ἄλλην κατασκευὴν ἐς τὸν Κάσσιον ἐπανήγαγον.

LXIV. Ταρσέων δ' ἐς στάσιν διῃρημένων, οἱ μὲν τὸν Κάσσιον ἐστεφανώκεσαν ἐλθόντα πρότερον, οἱ δὲ τὸν Δολοβέλλαν ἐπελθόντα· ἀμφότεροι δὲ τῷ τῆς πόλεως σχήματι ταῦτα ἔπρασσον. καὶ παραλλὰξ αὐτῶν προτιμώντων ἑκάτερον, ὡς εὐμεταβόλῳ πόλει χαλεπῶς ἐχρῶντο ἑκάτεροι· Κάσσιος δέ, νικήσας Δολοβέλλαν, καὶ ἐσφορὰν ἐπέθηκεν αὐτοῖς χίλια καὶ πεντακόσια τάλαντα. οἱ δέ,

Lin. 95. ἐστεφάνωσαν *Aug. Ven.* *L.* 96. ἐπανελθόντα *Aug.* *L.* 97 *sq.* προτιμῶντα *Aug.*

gypto distractus est: remissisque non sine muneribus ad *Parthorum regem* equitibus sagittariis, legatos etiam eis adjunxit, qui majora auxilia peterent. Quæ quidem, postquam deinde rebus demum perditis venere, Syriam & aliquot vicinas provincias usque ad Joniam incursarunt, atque ita rursus discesserunt. *Cassius* fratris filium cum una legione reliquit in Syria, equites præmisit in Cappadociam; qui *Ariobarzanem* repente invadentes interfecerunt, quod insidias Cassio struxisset: magnamque vim pecuniæ, aliumque belli adparatum, ad Cassium inde reportarunt.

64. *Tarsenses*, in factiones fuerant divisi, & pars Cassium coronaverant prius advenientem, pars Dolabellam qui venit posterior: utrumque autem publico nomine id fecerant; &, nunc hunc nunc illum præferentes, in causa fuere, ut civitatem tamquam levi momento mutabilem uterque adfligeret. Tandem *Cassius*, victo Dolabella, *mille quingentis talentis eos mulctaverat.* Et illi præ inopia, quum

ἀποροῦντές τε, καὶ ὑπὸ στρατιωτῶν ἐπειγόντων ἀπαιτούμενοι σὺν ὕβρει, τά τε κοινὰ ἀπεδίδοντο πάντα· καὶ τὰ ἱερὰ ἐπὶ τοῖς κοινοῖς, ὅσα εἶχον ἐς πομπὰς, ἢ ἀναθήματα, ἔκοπτον. οὐδενὸς δὲ μέρους οὐδ᾽ ὣς ἀνυομένου, ἐπώλουν αἱ ἀρχαὶ τὰ ἐλεύθερα· καὶ πρῶτα μὲν ἦν παρθένοι τε καὶ παῖδες· ἐπὶ δὲ, γυναῖκές τε καὶ γέροντες ἐλεεινοὶ, βραχυτάτου πάμπαν ὤνιοι· μετὰ δὲ, οἱ νέοι. καὶ διεχρῶντο οἱ πλέονες ἑαυτούς. ἕως ὧδε ἔχοντας ὁ Κάσσιος, ἐκ Συρίας ἐπανιὼν, ᾤκτειρέ τε, καὶ τοῦ λοιποῦ τῶν ἐσφορῶν ἀπέλυσε. Ταρσὸς μὲν δὴ καὶ Λαοδίκεια τοιάδε ἐπεπόνθεσαν. A. U. 711.

LXV. Κάσσιος δὲ καὶ Βροῦτος συμβολήσαντες ἀλλήλοιν, Βρούτῳ μὲν ἐδόκει τὴν στρατιὰν ἁλίσαντε, χωρεῖν ἐπὶ τὸ μεῖζον ἔργον ἐς Μακεδονίαν· τέλη τε γὰρ ἤδη τοῖς πολεμίοις ἐς τεσσαράκοντα εἶναι στρατοῦ, καὶ αὐτῶν διεληλυθέναι τὸν Ἰόνιον ὀκτώ. Κασσίῳ δὲ ἐδόκει, τῶν μὲν πολεμίων ἔτι περιορᾶν, ὡς τριβησομένων ἐν σφίσιν ἐξ ἀπορίας, διὰ τὸ πλῆθος· Ῥοδίους δὲ καὶ Λυκίους ἐξελεῖν,

Lin. 13. *συμβουλήσαντες Aug. mend.*

milites violenter pecuniam exigerent, publicis primum poſſeſſionibus cunctis venditis, fercula etiam templorum & donaria omnia in monetas excuderunt: & quum ne hæc quidem ſufficerent, venum magiſtratus dederunt ingenua corpora, primum virgines ac pueros, deinde mulieres & ſenes miſeros, minimo addictos, poſtea juvenes: & plerique mortem ſibi conſciverunt. Ad extremum *Caſſius*, e Syria revertens, ſic adfectos miſeratus, quod adhuc deerat imperatæ ſummæ eis remiſit. Eo calamitatum Tarſus & Laodicea devenere.

65. *Caſſius* autem *et Brutus* poſtquam convenere, *de rebus gerendis conſultarunt.* Brutus cenſebat, conjunctis copiis eundum in Macedoniam, ut de ſumma rerum decernerent: jam enim apud hoſtes eſſe legiones quadraginta: ex his octo jam Adriaticum tranſmiſiſſe. E diverſo Caſſius contemnendas adhuc cenſebat hoſtium copias; illas enim etiam abſque hoſte, ob nimiam multitudinem, fame iri adtritum: debellandos

A. U.

εὔνους τε ὄντας ἐκείνοις, καὶ ναυτικὸν ἔχοντας, ἵνα μὴ κατὰ νώτου σφίσιν γίγνωνται παρὰ τὸ ἔργον. Ἐπεὶ δὲ ἔδοξεν ὧδε, ἐχώρουν, Βροῦτος μὲν ἐπὶ Λυκίους, Κάσσιος δὲ ἐπὶ Ῥοδίους, τετραμμένος τε ἐν αὐτῇ καὶ πεπαιδευμένος τὰ Ἑλληνικά. ὡς δὲ κρατίστοις τὰ ναυτικὰ ἀνδράσι συνοισόμενος ἐς μάχην, τὰς ἰδίας ναῦς ἐπεσκεύαζε, καὶ ἀνεπλήρου, καὶ ἐγύμναζεν ἐν Μύνδῳ.

LXVI. Ῥοδίων δὲ οἱ μὲν ἐν λόγῳ μᾶλλον ὄντες ἐδεδοίκεσαν, Ῥωμαίοις μέλλοντες ἐς χεῖρας ἰέναι· ὁ δὲ λεὼς ἐμεγαλοφρονεῖτο, ἐπεί οἱ καὶ παλαιῶν ἔργων πρὸς οὐχ ὁμοίους ἄνδρας ἐμνημόνευον. ναῦς τε καθεῖλκον τὰς ἀρίστας σφῶν τρεῖς καὶ τριάκοντα. καὶ τάδε πράσσοντες ἔπεμπόν τινας ἐς Μύνδον ὅμως, οἳ τὸν Κάσσιον ἠξίουν μήτε Ῥόδου καταφρονεῖν, πόλεως ἀμυναμένης αἰεὶ τοὺς καταφρονήσαντας, μήτε συνθηκῶν, αἳ Ῥοδίοις εἰσὶ καὶ Ῥωμαίοις, ὅπλα μὴ φέρειν ἐπ' ἀλλήλους· εἰ δέ τι περὶ συμμαχίας ἐπιμέμφοιτο, ἐθέλειν παρὰ τῆς Ῥωμαίων βου-

Lin. 26. *Pro* Μύνδῳ Gnidum *posuit Cand. & sic mox iterum. L.* 29 *sq. Pro* οἱ *l.* 29. *legendum* σφίσι *vel* αὐτοῖς *videtur, nisi l.* 30. ἐμνημόνευε *malis pro* ἐμνημόνευον. *Quod si vero plane abesset pronomen, non magnopere desideraretur.*

autem prius fautores adversæ factionis, Rhodios ac Lycios, classibus potentes, ne se in hostem conversos a tergo invaderent. Et hæc sententia vicit. *Brutus Lycios adgressus est*: CASSIUS *Rhodios*; apud quos educatus olim & Græcis literis fuerat imbutus. *Cassius* itaque, quoniam cum rei navalis peritissimis res erat, refectam classem complevit milite, & apud Myndum exercuit.

66. *Rhodiorum* vero quotquot dignitate præstabant, timebant certaturi cum Romanis: at vulgus sibi placebat, memor veterum victoriarum de viris longe diversis reportatarum. Itaque naves deducunt selectas triginta tres: sed nihilominus interim Myndum mittunt, qui *Cassium* rogarent „ne vel *Rhodum* contemneret, quæ semper contumelias suas ulta sit, vel *fœdera inter Romanos Rhodiosque* icta, quibus diserte cautum sit, ne alter populus arma ferat contra alterum: quod si de negatis sibi auxiliis Cassius conqueratur, velle se Romam ad senatum legatio-

λῆς πυθέσθαι, καὶ κελευούσης ἔφασαν συμμαχήσειν. Οἱ μὲν δὴ τοιάδε μάλιστα ἔλεγον. Ὁ δέ, Τὰ μὲν ἄλλα τὸν πόλεμον ἀντὶ λόγων, ἔφη, κρινεῖν· τὰς δὲ συνθήκας κελεύειν, ὅπλα μὴ φέρειν ἐπ' ἀλλήλους· καὶ ἐπενηνοχέναι Ῥοδίους Κασσίῳ, Δολοβέλλᾳ συμμαχοῦντας. κελεύειν δέ, ἀλλήλοις συμμαχεῖν. Κασσίῳ δὲ δεομένῳ, εἰρωνεύεσθαί τε περὶ τῆς Ῥωμαίων βουλῆς, φευγούσης καὶ ἀλωμένης ἐν τῷ παρόντι διὰ τοὺς ἐν ἄστει τυράννους· οἳ δώσουσι μὲν αὐτοὶ δίκας, δώσουσι δὲ καὶ Ῥόδιοι, τὰ ἐκείνων προτιμῶντες, ἢν μὴ θᾶσσον ἀνέχωνται τῶν κελευομένων. Ὧδε μὲν ὁ Κάσσιος αὐτοὺς ἠμείψατο. καὶ οἱ εὖ φρονοῦντες Ῥοδίων μᾶλλον ἐδεδοίκεσαν· τὸ δὲ πλῆθος ἐδημαγώγουν Ἀλέξανδρός τε καὶ Μνασέας, ἀναμιμνήσκοντες, ὅτι καὶ Μιθριδάτης πλέοσι ναυσὶν ἐπιπλεύσειε τῇ Ῥόδῳ, καὶ Δημήτριος ἔτι πρὸ τοῦ Μιθριδάτου. Οἱ μὲν δὴ τὸν Ἀλέξανδρον ἐκ τούτων εἵλοντο σφίσι πρυτανεύειν, ἥπερ ἐστὶν ἀρχὴ παρ' αὐτοῖς μάλιστα αὐτοκράτωρ, καὶ ναυαρχεῖν Μνασέαν. *A. U.* 711.

Lin. 46. ἀντέχωνται *malebat Musgr.* *L.* 50 *sq. Verba* Μιθριδάτης πλέοσι *usque* ἔτι πρὸ τοῦ *per err. omissa in Aug.*

nem mittere; &, si jubeantur, laturos auxilium." Respondit *Cassius*: „de ceteris non verbis disceptandum; sed armis finiendam controversiam. Quod vero ad fœdus adtineat, quo cautum sit, ne arma alteri alteris inferant, id prius violatum esse a *Rhodiis*, arma contra *Cassium* ferentibus pro Dolabella. Adscriptum autem fœderi esse, auxilia deberi mutua; sed ipsos, a *Cassio* rogatos, illudere ei prætextu senatus, qui nunc vagus exulet, oppressa per tyrannos patria. Sed & hos ipsos pœnam daturos; & *Rhodios*, qui illorum partes præferant, nisi confestim imperata fecissent, male iri mulctatum." Hoc responsum magis etiam terruit prudentiores cives. Plebs vero agitabatur Alexandri Mnaseæque concionibus; memorantium, quanto pluribus navibus Mithridates Rhodum invasisset, & ante illum Demetrius. Quamobrem *Alexandrum Prytanin* crearunt, qui magistratus *apud Rhodios* plurimum pollet imperio: *Mnaseam* classi præfecerunt.

A. U. 711..

LXVII. Ἔπεμπον δ' ὅμως ἐς τὸν Κάσσιον ἔτι πρεσβευτὴν Ἀρχέλαον, ὃς ἐν Ῥόδῳ τὰ Ἑλληνικὰ διδάσκαλος γεγένητο τῷ Κασσίῳ, δεησόμενον ἤδη τοῖσδε τοῦ Κασσίου λιπαρέστερον. Καὶ ἐδεῖτο, τῆς δεξιᾶς λαβόμενος, ὡς γνωρίμου· ΜΗ` πόλιν ἀναστήσῃς Ἑλληνίδα, Φιλέλλην ἀνήρ· μὴ Ῥόδον, Φιλελεύθερος ἀνήρ· μηδὲ αἰσχύνῃς ἀξίωμα Δώριον, οὐχ ἡσσημένον ἐξ οὗ γεγόναμεν· μηδὲ ἐκλάθῃ καλῆς ἱστορίας, ἧς ἔμαθες ἐν Ῥόδῳ τε καὶ ἐν Ῥώμῃ· ἐν Ῥόδῳ μὲν, ὅσα Ῥόδιοι κατὰ πόλεις καὶ πρὸς βασιλέας, ἄλλους τε, καὶ τοὺς μάλιστα ἀμάχους δόξαντας εἶναι, Δημήτριον καὶ Μιθριδάτην, ὑπὲρ ἐλευθερίας ἔπραξαν, ὑπὲρ ἧς δὴ καὶ σὺ φῂς τάδε κάμνειν· ἐν Ῥώμῃ δὲ, ὅσα ὑμῖν αὐτοῖς καθ' ἑτέρων, καὶ κατὰ Ἀντιόχου τοῦ Μεγάλου συνεμαχήσαμεν, ὧν εἰσὶν ὑπὲρ ἡμῶν ἀνάγραπτοι στῆλαι παρ' ὑμῖν. Τάδε μὲν δὴ καὶ γένους ἕνεκα καὶ ἀξιώσεως ἡμῶν, καὶ τύχης ἐς τονῦν ἀδουλώτου, καὶ

Lin. 61. *An* Δωρικόν? *L.* 63. *An* καὶ πρὸς πόλεις? *L.* 70. εἰς τὸν νῦν ἀδουλ. *Edd. invit. MSS.* τον νυν *mend. Reg. B. Recte Aug. Reg. A.*

67. *Miserunt* tamen *ad Cassium* unum etiam *legatum*, ARCHELAUM, *quo ille in Græcis literis præceptore fuerat usus*, submissius jam rogaturum. Qui, pro familiaritate adprehensa dextra Cassii, in hunc modum eum precatus est: „ABSIT, ut Græcam urbem subvertas, Græcorum amicus; absit, ut Rhodum, libertatis studiosus; absit, ut ignominiæ notam inuras gloriæ invictæ hactenus nationis Doricæ. Cave vero, obliviscaris præclararum historiarum, quas vel Rhodi, vel Romæ didicisti; Rhodi, *quam multa Rhodii vel contra alias ci-„vitates, vel adversus reges, cum alios, tum* vero *omnium potentissimos, Mithridatem atque Demetrium, pro libertate gesserint*; pro qua tuenda tu quoque ais te hanc navare operam: Romæ vero, quam multa fuerint nostra erga populum Romanum merita, cum alia, tum eo potissimum bello, quod vos cum *Antiocho Magno*, nostris adjuti auxiliis, gessistis: quorum monumenta, testimonium nobis exhibentia, apud vos exstant æri incisa. Et hæc quidem de genere & dignitate nostra, de conditionisque ad hunc diem libertate, tum de

συμμαχίας, καὶ προαιρέσεως ἐς ὑμᾶς, ὦ Ῥωμαῖοι, λελέχθω. A. U. 711.

LXVIII. Πρὸς σὲ δὲ, ὦ Κάσσιε, καὶ αἰδώς τις ἐστὶν ἐξαίρετος ἔς τε τὴν πόλιν, καὶ τὴν ἐν αὐτῇ τροφήν τε σου καὶ παίδευσιν, καὶ ἰατρικὴν, καὶ ἑστίαν ἣν ᾤκησας, καὶ τοὐμὸν διδασκαλεῖον αὐτὸ, καὶ ἐμὲ, ἐλπίσαντα μὲν ἐς ἕτερα τούτοις ποτὲ ἐναβρυνεῖσθαι, νῦν δὲ ὑπὲρ τῆς πατρίδος αὐτὰ δαπανῶντα, ἵνα μηδ᾽ αὐτή σοι πολεμεῖν ἀναγκάζηται, πεπαιδευμένῳ τε ὑπ᾽ αὐτῆς καὶ τεθραμμένῳ, μηδὲ γένηται δυοῖν ὑπ᾽ ἀνάγκης θάτερον, ἢ Ῥοδίους ἀποθανεῖν πάντως, ἢ Κάσσιον ἡσσᾶσθαι. Συμβουλεύω δὲ ἐπὶ τῇ παρακλήσει, τοιῶνδέ σε ὑπὲρ τῆς Ῥωμαίων πολιτείας ἁπτόμενον ἔργων, θεοὺς ἡγεμόνας αἰεὶ ποιεῖσθαι παντὸς ἔργου. Θεοὺς δ᾽ ὠμόσατε, ὅτε ἡμῖν ἔναγχος διὰ Γαΐου Καίσαρος συνετίθεσθε, καὶ σπονδὰς ἐπὶ τοῖς ὅρκοις ἐσπένδετε, καὶ δεξιὰς ἐτίθεσθε, αἳ καὶ

Lin. 73. *πρὸ σὲ Aug.* Πρὸς σοῦ *videtur legendum.* *L.* 76. καὶ ἐμὲ ἐλπίσαν, τὰ μὲν *edit.* 1. *cum quatuor nostris MSStis. Emendavit H. Steph. cum quo facere videtur Codex Cand.* *L.* 77. ἐμβαρυνεῖσθαι *Edd. quod ex importuna emendatione dabat Reg. B.* ἐνβαρυνεῖσθαι *Reg. A. Verum, quod perspecte etiam vidit Musgravius, dederunt Aug. Ven. & Reg. B. a pr. manu.* *L.* 82. σε, *ad* τοιῶνδε, *adjeci cum Aug. & Reg. A.* *L.* 84. ὅτε ὑμῖν *Edd. Recte Aug. Cand.*

„meritis ac perpetua nostra erga vos, *Romani*, voluntate, dicta sint.

68. „Tu vero, *Cassi*, privatim quoque nonnullam huic civitati debes reverentiam; in qua educatus, in qua eruditus es; in qua ægrotans remedia valetudini invenisti; in qua tuum quondam focum, tuos lares, habuisti: & meam scholam quid taceam, meque ipsum? qui quidem alium in usum gloriari aliquando his rebus posse speraveram, quibus nunc pro ipsa patria utor, ne „illa cogatur cum discipulo & alumno suo gerere bellum, neve alterutrum sequatur necessario, ut aut omnes Rhodii pariter occumbant, aut Cassius bello superetur. Deprecationi addo consilium: ut, qui tanta negotia sustines pro republica, per omnia deos duces sequaris. Per deos jurastis, quum nuper ex auctoritate Cæsaris fœdus inter nos renovatum est, & juramenti religionem libatione confirmastis, & dextras fidei nobis dedistis, quæ apud hostes etiam valet,

A. U. 711. παρὰ πολεμίοις ἰσχύουσιν, οὐ παρὰ φίλοις καὶ τροφεῦσι. Φείδου δὲ, ἐπὶ τοῖς θεοῖς, καὶ δόξης τῆς κατὰ ἀνθρώπους· ὡς οὐδέν ἐστι συνθηκῶν παραβάσεως μᾶλλον, ὃ τοὺς ἁμαρτάνοντας ἀπίστους ἐς ἅπαντα ποιεῖ καὶ φίλοις καὶ πολεμίοις.

LXIX. Ταῦτ᾽ εἰπὼν ὁ πρεσβύτης, οὐ μεθίετο τῆς χειρὸς, ἀλλ᾽ ἐπεδάκρυεν αὐτῇ· ὡς ἐρυθριάσαι μὲν ἐπὶ τῷ σχήματι τὸν Κάσσιον, καὶ παθεῖν τι ὑπὸ αἰδοῦς, ὑφελόντα δὲ ὅμως εἰπεῖν· ΕΙ ΜΕΝ οὖν οὐ συνεβούλευσας Ῥοδίοις μὴ ἀδικεῖν με, σύ με ἠδίκεις· εἰ δὲ διδάσκων οὐκ ἔπεισας, ἀμυνῶ σοί. Ἠδικούμην δὲ δή που σαφῶς· τὸ μὲν πρῶτον ἀδίκημα, συμμαχίαν αἰτῶν, καὶ παρορώμενος ὑπὸ τῶν παιδευσάντων καὶ θρεψάντων· τὸ δὲ ἑξῆς, προτιμώντων μου Δολοβέλλαν, ὃν οὐκ ἐπαίδευσαν, οὐδὲ ἀνέθρεψαν· τὸ δὲ ἀνιαρώτερον, ἐμοῦ μὲν, καὶ Βρούτου, καὶ ὅσων ὁρᾶτε ἀπὸ τῆς βουλῆς ἀρίστων ἀνδρῶν, φευγόντων τυραννίδα, καὶ τὴν πατρίδα ἐλευθερούντων, ὦ

Lin. 89. οὐδὲν ἐστι συνθηκ. Edd. Recte Aug. L. 95. οὖν, post εἰ μὲν, abest ab Aug. neque admodum desideratur. L. 99. ἑξῆς cum spir. leni h. l. dabunt Edd. & MSS. quemadmodum & sæpe alias Aug.]

„nedum apud alumnos & amicos. Juxta deos vero immortales, hominum etiam existimationis habeas rationem; apud quos turpissimum ducitur, violare fœdera; quorum temeratoribus nulla fides porro apud amicos pariter hostesque reliqua est."

69. Hæc locutus senex, non dimisit Cassii manum, nec lacrimis eam perfundere cessavit; ut ad hanc speciem CASSIUS erubesceret, nonnihilque moveretur verecundia. Tandem, exemta manu, his verbis respondit: „Tu si non „suasisti *Rhodiis*, ut injuriam a me abstineant, ipse mihi facis injuriam. Quod si persuadere non potuisti; pœnas mihi dabunt, qui te contemserunt. Passum autem me injuriam, manifestum est. Primum, quia non impetravi auxilium, despectus a meis eruditoribus & educatoribus: deinde, quia Dolabellam mihi prætulerunt, nec eruditum a se nec educatum. Et, quod gravius est, hæc ego Brutusque, & quotquot alios nobiscum videtis ex senatu optimates, a vobis, *Rhodii*, *liber-*

Ῥόδιοι φιλελεύθεροι, Δολοβέλλα δὲ αὐτὴν καταδουλοῦντος ὑπέρεις· οἷς δὴ καὶ ὑμεῖς εὔνως ἔχοντες, ὑποκρίνεσθε ἐξίστασθαι τοῖς ἐμφυλίοις ἡμῶν. ἔστι δὲ ἐμφύλια μὲν, εἰ καὶ ἡμεῖς δυναστείας ὠρεγόμεθα. πόλεμος δὲ σαφὴς τὸ γιγνόμενόν ἐστι δημοκρατίας πρὸς μοναρχίαν. καὶ δημοκρατίαν ἀβοήθητον καταλείπετε, οἱ παρακαλοῦντες ὑπὲρ αὐτονομίας· φιλίαν τε Ῥωμαίοις προφέροντες, οὐκ ἐλεεῖτε ἀκρίτους ἐπὶ θανάτῳ καὶ δημεύσει προγραφομένους· ἀλλ᾽ ὑποκρίνεσθε πεύσεσθαι τῆς βουλῆς, τῆς ταῦτα πασχούσης, καὶ οὐδὲ ἀμύνειν ἑαυτῇ πω δυναμένης. ἡ δ᾽ ὑμῖν ἤδη προαπεκρίνατο, ἐν οἷς ἐψηφίσατο, τοὺς ἀμφὶ τὴν ἕω πάντας ἀμύνειν ἐμοί τε καὶ Βρούτῳ. A. U. 711.

LXX. Σὺ δὲ, εἰ μέν ποτε ἡμῖν περικτωμένοις τι συνεπράξατε, ὧν εὐεργεσίας καὶ μισθοὺς ἀντικεκόμισθέ που, καταλογίζῃ· ὅτι δὲ ἡμῖν ἐς τὴν ἐλευθερίαν καὶ σωτηρίαν ἀδικουμένοις οὐ συμμαχεῖτε, ἐπιλανθάνῃ· οὓς εἰκὸς ἦν,

Lin. 6. ὑμεῖς νῦν εὔνως *Edd. Delevi* νῦν *cum Aug. & Cand. Ib.* εὔνως ἔχετε *Edd. mend. Recte Aug. L.* 10. καταλείπετε *Aug.*

„*tatis adsertores*! passi sumus, dum tyrannidem fugimus, & patriam conamur in libertatem vindicare, quam Dolabella prodidit in aliorum servitutem: quibus nimirum ipsis vos faventes, fingitis a civilibus nostris conflictationibus velle abstinere. Essent autem civiles hæ contentiones, si & nos pariter adfectaremus potentiam: nunc apertum *bellum* est *reipublicæ adversus tyrannos*. Et rempublicam vos nullo auxilio dignamini, qui deprecatores pro vestra mittitis libertate; &, qui vestram cum populo Romano societatem amicitiamque jactatis, eosdem vos non miseret tot civium Romanorum, indicta causa proscriptorum, & bonis suis exutorum: sed fingitis vos exspectare jussa Senatus, oppressi hunc ad modum, nec valentis seipsum jam defendere. Atqui jam dudum responsum a senatu habetis, quum Orientales omnes provincias opem ferre mihi Brutoque jussit.

70. „Tu vero, si quid umquam operæ nobis, imperium augentibus, contulistis, (pro quo abunde recepistis præmia,) id nunc imputas: quod vero pro libertate ac salute pugnantibus non adsitis, id obliviisceris: quum debueritis,

A. U. 711. εἰ καὶ μηδὲν ἡμῖν ἐς ἀλλήλους ὑπῆρχεν, ἀλλὰ νῦν ἄρχειν ἐθέλοντας ὑπερμαχῆσαι τῆς Ῥωμαίων δημοκρατίας, Δωριέας ὄντας. οἱ δ', ἀντὶ τοιούτων ἔργων καὶ λογισμῶν, συνθήκας ἡμῖν προφέρετε, (γενομένας μὲν ὑμῖν καὶ τάσδε πρὸς Γάϊον Καίσαρα, τὸν τῆσδε τῆς μοναρχίας ἡγεμόνα· λέγουσι δ' ὅμως αἱ συνθῆκαι, Ῥωμαίους καὶ Ῥοδίους ἐν ταῖς χρείαις ἀλλήλοις ἀμύνειν·) ἀμύνατε οὖν ἐς τὰ μέγιστα κινδυνεύουσι Ῥωμαίοις. Κάσσιος ὑμῖν ἐστι ὁ τὰς συνθήκας τάσδε προφέρων, καὶ ἐπὶ συμμαχίαν καλῶν, Ῥωμαῖος ἀνὴρ, καὶ Ῥωμαίων στρατηγὸς, ὥς φησι τὸ ψήφισμα τῆς βουλῆς, ἐν ᾧ πάντας ὑπακούειν ἡμῖν ἔταξε τοὺς τοῦ Ἰονίου πέραν. Τὰ δ' αὐτὰ καὶ Βροῦτος ὑμῖν προτείνει ψηφίσματα, καὶ Πομπήϊος, τὴν θάλασσαν ὑπὸ τῆς βουλῆς ἐπιτετραμμένος· τὰς δ' ἱκετείας, ἐπὶ τοῖς ψηφίσμασι, καὶ οἵδε πάντες, ὅσοι φεύγουσιν ἀπὸ τῆς βουλῆς, οἱ μὲν ἐς ἐμὲ καὶ Βροῦτον, οἱ

Lin. 21 ſq. ἄρχειν ἐθέλοντας. ὑπερμαχῆσαι Edd. & MSS. noſtri. Tollendam diſtinctionem duxi, & mutandum accentum. L. 23. οἱ δ' edit. 2. 3. οἱ δ' repoſui cum edit. 1. & Aug. ac paulo poſt adjeci Parentheſeos ſigna. Ibid. ἄν τι τοιούτων edit. 1. perperam. L. 28 ſq. ὁ, ante τὰς, abeſt vulgo. Deder. Aug. & Ven. L. 34. Verbis ὑπὸ τῆς βουλῆς caret Aug.

etiam ſi nihil vobis antea nobiſcum commercii fuiſſet, nunc ſaltem ultro initium facere pro Romanorum republica propugnandi, Dorici præſertim quum generis ſitis. At quoniam, hujuſmodi quidem rationibus parum commoti, fœdera nobis objicitis; (icta quidem illa cum Cæſare quoque, qui princeps fuerat hujus tyrannidis; ſed quibus tamen ipſis hoc continetur, *debere populum Romanum Rhodiumque, ut cuivis opus eſſet, invicem auxiliari*;) ferte igitur opem Romanis, ſummo in periculo verſantibus! En *Caſſius ego*, *civis Romanus*, & (ſi fides eſt Senatuſconſulto, quo in omnes trans mare provincias imperium nobis decretum eſt,) *Romanus imperator*, ipſum illud fœdus teſtor, & ex fœdere auxilia a vobis poſtulo. Eademque ſenatuſconſulta & *Brutus* vobis ingerit, & *Pompejus*, rei maritimæ a ſenatu præfectus. Ad ſenatuſconſulta accedunt preces horum ſenatorum omnium, qui partim ad me Brutumque,

δὲ ἐς Πομπήιον. Ἔστι δὲ δή που τὸ συγκείμενον, Ῥωμαίοις Ῥοδίους βοηθεῖν, κἂν καθ᾽ ἕνα χρήζωσιν. Εἰ δὲ οὔτε στρατηγοὺς ἡμᾶς, οὔτε Ῥωμαίους ἔτι, ἀλλὰ φυγάδας ἢ ξένους ἢ κατακρίτους, ὡς οἱ προγράψαντες λέγουσιν, ἡγεῖσθε· οὐ πρὸς ἡμᾶς ἐστιν ὑμῖν ἔτι, ἀλλὰ πρὸς Ῥωμαίους, ὦ Ῥόδιοι, τὰ συγκείμενα· ἡμεῖς δὲ, ξένοι καὶ ἀλλότριοι τῶν συνθηκῶν ὄντες, πολεμήσομεν ὑμῖν, ἢν μὴ ἐς πάντα κατακούητε. Τοιαῦτα μὲν ὁ Κάσσιος ἐπειρωνευσάμενος, τὸν Ἀρχέλαον ἀπέλυεν. A. U. 711.

LXXI. Ἀλέξανδρος δὲ καὶ Μνασέας, οἱ Ῥοδίων ἡγούμενοι, ταῖς τριάκοντα καὶ τρισὶ ναυσὶν ἀνήγοντο ἐπὶ Κάσσιον ἐς Μύνδον, ὡς προκαταπλήξοντες τῷ ἐπίπλῳ· καί τι που καὶ κούφως εἶχον ἐλπίδος, ὅτι καὶ Μιθριδάτῃ ἐς Μύνδον ἐπιπλεύσαντες ἐδόκουν ἐς τὸ τοῦ πολέμου τέλος εὐτυχῆσαι. εἰρεσίᾳ δὲ ἐς ἐπίδειξιν χρώμενοι, τήν τε πρώτην ἡμέραν ηὐλίσαντο ἐν Κνίδῳ· καὶ τῆς ἐπι-

Lin. 37. ἔστι δὲ δήπου *Edd. mend. ex Reg. A.* δή που *ded. Aug. Reg. B. Cand. Et sic corrigendum viderat Musgravius.* *L.* 38. χρήζουσι *Edd. Subjunctivum modum recte dedit Aug.* *L.* 47. ναυσὶν *caret Aug.* *L.* 49. κούφης *maluit Musgr.*

partim ad Pompejum profugere. Atqui ex pacti profecto formula *Rhodiorum populus ad succurrendum vel singulis Romanis civibus, si vestra ope indigeant, tenetur.* Quod si vero nec pro Imperatoribus, nec pro civibus Romanis, sed pro exsulibus, atque exteris, & (ut proscriptores ajunt) damnatis, nos habetis; ergo non jam nobiscum vobis, *Rhodii*! sed cum populo Romano sunt fœdera: nos vero, exteri & alieni a fœdere, tam diu vos bello persequemur, donec imperata omnia feceritis." Tali modo cavillatus in Rhodios *Cassius*, *dimisit Archelaum.*

71. Ceterum *Alexander et Mnesias*, *Rhodiorum ductores*, cum illis triginta tribus navibus *Myndum petierunt*, subito incursu *Cassium territuri.* Ac spei quoque nonnihil temere eis suberat ex eo, quod Mithridatem circa idem oppidum adsecuti, visi sibi erant ad felicem belli exitum haud parum momenti contulisse. Itaque ostentata remigandi peritia, primo die Gnidum diverterunt: sequenti vero ubi

A. U. 711.

οὔσης ἐπεφαίνοντο τοῖς ἀμφὶ τὸν Κάσσιον ἐκ τοῦ πελάγους. οἱ δὲ, θαυμάσαντες, ἀντανήγοντο, καὶ τὸ ἔργον ἦν ἑκατέρωθεν ἰσχύος τε καὶ δυνάμεως. Ῥόδιοι μὲν γὰρ ναυσὶ κούφαις διέπλεόν τε τοὺς πολεμίους ὀξέως, καὶ περιέπλεον, καὶ ἐπανόδοις ἐχρῶντο· Ῥωμαῖοι δὲ, ἐπὶ νεῶν βαρυτέρων, ὅτε συμπλακεῖεν, ἀπὸ βαρυτέρας ῥύμης ἐπεβάρουν, ὥσπερ ἐν πεζομαχίᾳ. τοῦ δὲ Κασσίου πλήθει νεῶν τὰς πολεμίας περιλαβόντος, οἱ μὲν Ῥόδιοι περιπλεῖν ἔτι καὶ διεκπλεῖν οὐκ ἐδύναντο· ἐμβάλλουσι δ᾽ αὐτοῖς μόνον ἐκ τοῦ μετώπου, καὶ ἀναχωροῦσιν, ἡ μὲν ἐμπειρία διέφθαρτο ὑπὸ τῆς στενοχωρίας κεκυκλευμένοις· αἱ δὲ ἐμβολαὶ καὶ ἀποσιμώσεις ἐς βαρυτέρας τὰς Ῥωμαίων ναῦς ἀσθενεῖς ἐγίγνοντο, Ῥωμαίοις δ᾽ ἦσαν ἐς κουφοτέρας εὔτονοι· μέχρι Ῥόδιαι μὲν τρεῖς αὐτοῖς ἀνδράσιν ἐλήφθησαν, καὶ δύο ἀνερράγησάν τε καὶ κατέδυσαν,

Lin. 53. ἐπιμαίνοντο *Edd. Recte Aug. L. 55.* τε τοῦ δυνάμεως *mend. edit. 1. L. 60 ſq. Pro* περιπλεῖν, *in Appendice edit. 1. eſt* ἐπιπλεῖν, *ex conjectura Editoris, aut ex Cand. qui dat* adnavigare. *L. 61. Tria verba* ἔτι καὶ διεκπλεῖν *deſunt Auguſtano. L. 63.* κεκυκλωμένοις *Edd. ex emend. C. Steph. pro vitioſo* κεκλυκευμένοις *quod erat in Reg. A. Fratuli Aug. Ven. cum quibus facere debuit Reg. B. a pr. manu; ubi, omiſſa una litera, eſt* κεκυλευμένοις.

ex alto adparuerunt Caſſianis, mirantes illi contra ſolverunt a littore: pugnatumque eſt utrimque acerrime. *Rhodii* navigiis agilibus modo a fronte per adverſos ordines penetrabant, modo converſis rurſus navibus a tergo per eosdem perrumpebant. Romani contra, gravioribus navibus utentes, quoties ad manus venire poterant, majore vi prævalebant, ut in terreſtri prælio. Sed *Caſſianis* multitudine navium circumvenientibus naves hoſtium; jam Rhodii non amplius converſionibus uti aut perrumpere ordines poterant: & quum nihil eis ſupereſſet, niſi ut a fronte impetus facerent, moxque ſeſe reciperent, nihil eos juvabat peritia, in arctum coactos ab hoſtibus. Atque ipſi roſtrorum ictus, & ex alto facti incurſus contra graviores Romanorum naves, parum erant validi: ſed tanto majori impetu Romanæ adverſarias leviores percutiebant. Quo factum eſt, ut tribus navibus Rhodiorum cum ſociis navalibus captis, duabus fractis demerſiſque, reliquæ muti-

καὶ αἱ λοιπαὶ βεβλαμμέναι διέφυγον ἐς τὴν Ῥόδον· αἱ δὲ Ῥωμαίων ἅπασαι μὲν ἐπανῆλθον ἐς Μύνδον, ἐπεσκευάζοντο δὲ καὶ τούτων αἱ πλέονες βλαβεῖσαι. A. U. 711.

LXXII. Τοῦτο μὲν δὴ τῆς ἐν Μύνδῳ Ῥωμαίων τε καὶ Ῥοδίων ναυμαχίας τέλος ἦν· καὶ αὐτὴν γιγνομένην ὁ Κάσσιος ἀπὸ ὄρους καθεώρα. ὡς δὲ ἐπεσκεύασε τὰ σκάφη, διέπλευσεν ἐς Λώρυμα, Ῥοδίων τι φρούριον ἐν τῇ περαίᾳ, καὶ τὸ πεζὸν ἐς τὴν Ῥόδον διεβίβαζεν ἐπὶ ὁλκάδων ὑπὸ Φαννίῳ τε καὶ Λέντλῳ. αὐτὸς δὲ ἐπέπλει, ταῖς ὀγδοήκοντα ναυσὶν ἐσκευασμέναις ἐς τὸ φοβερώτατον· καὶ περιστήσας τῇ Ῥόδῳ τὸ πεζὸν ὁμοῦ καὶ τὸ ναυτικὸν, ἡσύχαζεν, ὡς ἐνδωσόντων τι τῶν πολεμίων. Οἱ δὲ ἐπανήχθησαν μὲν αὖθις εὐθαρσῶς· δύο δὲ καὶ τότε ναῦς ἀποβαλόντες, συνεκλείσθησαν. καὶ ἀναδραμόντες ἐπὶ τὰ τείχη, πάντα τε ὅπλων ἐπλήρουν, καὶ ἀπεμάχοντο ὁμοῦ τοὺς περὶ τὸν Φάννιον, ἀπὸ τῆς γῆς ἐνοχλοῦντας, καὶ τὸν Κάσσιον, τοῖς πρὸς θαλάσσῃ τείχεσι τὸ ναυτικὸν οὐκ ἀνέτοιμον εἰς τειχομαχίαν ἐπαγαγόντα. ἐλπίζων γάρ τι τοιοῦτον,

Lin. 75. Φανίῳ *Edd. & sic porro, invitis Aug. Reg. A. & mox etiam Reg. B. L. 85.* τειχομαχείαν *Edd. mend. ex Reg. B.*

litatæ Rhodum se receperint. Romanæ omnes quidem, sed vulneratæ pleræque, Myndum redierunt, ibique refectæ sunt.

72. Hoc eventu *ad Myndum Romana classis cum Rhodia conflixit.* Eam pugnam quum e proximo monte spectasset *Cassius*, mox refectis navibus *Loryma petiit*, quod est *Rhodiorum* in adversa continente *castellum*. Inde onerariis terrestres copias transvexit in insulam, ductu *Fannii Lentulique*. Ipse cum octoginta longis navibus, ad incutiendum maxime terrorem ornatis accessit. Sed tam pedestribus copiis quam navalibus urbe circumdata, continuit se paulisper, exspectans, si forte hostes remissuri essent ferociam. At illi audenter occurrerunt denuo: sed tunc quoque duabus navibus amissis, *clausi* sunt *undique*. Jamque muros occupant, & armis omnia complent, simulque *Fannio*, a terra oppugnanti, simul *Cassio* repugnant, admoventi a mari classem non imparatam infestandis mœnibus: præcogitans enim tale aliquid, adtulerat secum *Cas-*

A. U. 711. ἐπεφέρετο πύργους ἐπτυγμένους, οἳ τότε ἀνίσταντο. Ῥόδος μὲν δὴ δύο πείραις καμοῦσα, ἔκ τε γῆς καὶ θαλάσσης ἐπολιορκεῖτο· καὶ οὐδὲν, ὡς ἐν ἔργῳ ταχεῖ καὶ ἀδοκήτῳ, παρεσκεύαστο αὐτοῖς ἐς πολιορκίαν. ὅθεν ἦν εὔδηλον, ἁλώσεσθαι τάχιστα τὴν πόλιν ἢ χερσὶν ἢ λιμῷ· καὶ τάδε Ῥοδίων οἱ συνετώτεροι καθεώρων, καὶ Φάννιος αὐτοῖς καὶ Λέντλος διελέγοντο.

LXXIII. Γιγνομένων δ' ἔτι τούτων, ἄφνω Κάσσιος ἦν ἐν μέσῃ τῇ πόλει μετ' ἐπιλέκτου στρατοῦ, βίας μὲν οὐδεμιᾶς φανείσης, οὐδὲ κλιμάκων ἔργου. εἴκαζον δὲ οἱ πολλοὶ, καὶ ἐδόκει γενέσθαι, τοὺς χαρίεντας αὐτῷ τῶν πολιτῶν ὑπανοῖξαι πυλίδας, ἐλέῳ τῆς πόλεως καὶ προμηθείᾳ τροφῶν. Ὧδε μὲν ἑαλώκει Ῥόδος· καὶ Κάσσιος ἐν αὐτῇ προὐκάθητο ἐπὶ βήματος, καὶ δόρυ τῷ βήματι παρεστήσατο, ὡς ἐπὶ δοριαλώτῳ. ἀτρεμεῖν τε κελεύσας τὸν στρατὸν ἀκριβῶς, καὶ θάνατον ἐπικηρύξας, εἴ τις ἁρπάσειεν

Lin. 38. ὡς ἐν ἔργῳ τάχει Edd. & Aug. Rectius cod. Cand. L. 90. ἔνδηλον Edd. ex Reg. A. in quo tamen & ipso εὔδηλον legere possis, quod exhibet Aug. & Reg. B. L. 95. ἔργον Edd. Rectius Reg. B. Aug. L. 97. καὶ ἐλέῳ Edd. Delevi καὶ cum Reg. B. & Aug. L. 1. δορυαλώτῳ Edd. Secus Reg. B. Aug. Ven.

sius plicatiles turres, quæ tum excitatæ ſunt. Ita *Rhodus*, bis infeliciter tentato navali prælio, *terra marique oppugnabatur*; imparata, ut in ſubito caſu & inopinato, ad ſuſtinendam oppugnationem. Unde adparebat, brevi venturam in poteſtatem hoſtium, vel armis, vel fame victam. Nec latuit hoc prudentiores Rhodiorum; quibus etiam cum Fannio & Lentulo colloquia intercedebant.

73. Quæ dum fiunt, ſubito *Caſſius in media urbe* cum lectiſſima manu conſpectus eſt, nec ſcalis (quod quidem adparebat) uſus, nec ulla externa vi admota. Creditumque eſt a plerisque, nec a veri ſpecie abludit, clam apertas ei minores portulas ab eminentioribus inter cives, miſerantibus ſortem urbis, & de imminente fame ſolicitis. Sic *capta Rhodo*, *Caſſius* in tribunali conſedit, *haſta pro tribunali propoſita*, non ſecus ac ſi armorum vi capta urbs fuiſſet: juſſoque quieſcere exercitu, & per præcones mortem

ἁρπάσειεν ἢ βιάσαιτό τι, αὐτὸς ἐξ ὀνόματος ἐκάλει Ῥοδίων ἐς πεντήκοντα ἄνδρας, καὶ ἀχθέντας ἐκόλαζε θανάτῳ· ἑτέρους δέ, ἀμφὶ τοὺς πέντε καὶ εἴκοσιν, οὐχ εὑρεθεῖσι φυγὴν ἐπέταξε. Χρήματα δὲ ὅσα ἦν, ἢ χρυσὸς ἢ ἄργυρος, ἐν ἱεροῖς τε καὶ δημοσίοις, πάντα συλήσας, ἐκέλευε καὶ τὸν ἰδιωτικὸν ἐκφέρειν τοὺς κεκτημένους ἐς ἡμέραν ῥητήν· καὶ ἐπεκήρυξε τοῖς μὲν ἐπικρύψασι θάνατον, τοῖς δὲ μηνύσασι δεκάτην, δούλοις δὲ καὶ ἐλευθερίαν. Οἱ δ' ἐν μὲν ἀρχῇ πολλοὶ συνέκρυψαν, οὐκ ἐς τέλος ἐλπίζοντες ἀφίξεσθαι τὴν ἀπειλήν. διδομένων δὲ τῶν γερῶν, καὶ τῶν μηνυομένων, ἔδεισάν τε· καὶ προθεσμίαν ἑτέραν λαβόντες, οἱ μὲν ἐκ γῆς ἀνώρυσσον, οἱ δὲ ἐκ φρεάτων ἀνίμων, οἱ δὲ ἐξέφερον ἐκ τάφων, πολὺ πλείονα τῶν προτέρων.

LXXIV. Αἱ μὲν δὴ Ῥοδίων συμφοραὶ τοιαίδε ἦσαν·

Lin. 9. μὲν *abest ab Aug. & Ven.* *Ibid.* ἔτι κρύψασι *Edd. mend. Recte Aug. Ven. & Reg. B. ex emend.* *L.* 13. *Ante* τῶν μηνυομένων, *insertum verbum* κτεινομένων *voluit Musgravius. Ac sane tale quidpiam desiderari videtur : forsan* κολαζομένων. *L.* 15. τάφρων *edit.* 1. *Emendationem H. Stephani confirmat Aug. & Cand. ac, ni fallor, etiam Reg. A.*

mortem interminatus, si quis cui vim faceret aut raperet quidquam; ipse nominatim citatos circiter *quinquaginta cives Rhodios duci ad supplicium jussit*: aliosque quinque fere & viginti, nusquam comparentes, mulctavit exsilio. Tum vero *quidquid pecuniarum aut auri argentique* in templis aut in ærario fuit, *id omne corrasit*: nec hoc contentus, edixit, ut, quod quisque privatim auri argentive possideret, id intra dictum diem proferret; denunciato per præconem supplicio, si quis aliquid occultaret; indicibus vero in præmium propositis decimis, & servis insuper libertate. Illi primum celabant plerique, sperantes fore ut intra verba minæ consisterent: deinde, postquam indicibus repræsentari præmia, mulctarique deprehensos, viderunt, petierunt prorogari sibi terminum. Quo impetrato, alii ex terra effodiebant condita, alii hauriebant e puteis, alii e sepulcris proferebant, multo plura quam antea.

74. Hæ fuerunt calamita-

A. U. 711. καὶ Λεύκιος Οὔαρος αὐτοῖς μετὰ φρουρᾶς ὑπελέλειπτο. Ὁ δὲ Κάσσιος, ἡδόμενος τῇ ταχυεργίᾳ τῆς ἁλώσεως, καὶ τῷ πλήθει τῶν χρημάτων, ἐπέταττεν ὅμως καὶ τοῖς ἄλλοις ἔθνεσι τῆς Ἀσίας ἅπασι, φόρους ἐτῶν δέκα συμφέρειν. καὶ οἱ μὲν ἐπράσσοντο συντόνως. Ἐξαγγέλλεται δ' αὐτῷ Κλεοπάτρα μέλλουσα διαπλεῖν μεγάλῳ στόλῳ καὶ παρασκευῇ βαρυτάτῃ πρὸς Καίσαρά τε καὶ Ἀντώνιον. τὰ γὰρ ἐκείνων αἱρουμένη καὶ τέως διὰ τὸν πρότερον Καίσαρα, τότε μᾶλλον ᾑρεῖτο διὰ τὸν ἐκ Κασσίου φόβον. Ὁ δὲ Μοῦρκον, μετά τε ὁπλιτῶν ἀρίστου τέλους καὶ τοξοτῶν τινων, ἐπὶ νεῶν ἑξήκοντα καταφράκτων, ἐς Πελοπόννησον ἔπεμπε ναυλοχεῖν περὶ Ταίναρον, περισυράμενος ἐκ τῆς Πελοποννήσου λείαν ὅσην ἔφθασε.

LXXV. Τὰ δ' ἀμφὶ Λυκίαν καὶ Βροῦτον, μικρὰ καὶ τῶν ἀμφὶ τοῦτον ἐς ὑπόμνησιν ἀναλαβόντι ἄνωθεν, ἦν τοιάδε· Ἐπειδὴ παρὰ Ἀπουληίου στρατιάν τε τινὰ εἰ-

Lin. 29 & 30. *Aut* περισυράμενον *legendum*, & *mox* φθάσειε, *quæ expreſſit Candidus: aut verba quædam paulo ante inſerenda, legendumque* ἔπεμπε ναυλοχεῖν Κλεοπάτραν· καὶ ἐναυλόχει περὶ Ταίναρον &c.

tes Rhodiorum: quibus *L. Varus* relictus eſt præſidio. *Caſſius*, lætus & expugnatione celeri & pecuniarum copia, tamen reliquis etiam *omnibus Aſiæ populis decem annorum imperavit tributa*, eaque ſine mora & abſque ulla remiſſione exegit. Jamque nunciatur illi, *Cleopatram* in eo eſſe, ut ingenti claſſe & magno adparatu naviget ad Cæſarem & Antonium. Quum enim partes illas jam ante elegiſſet propter ſuperiorem Cæſarem; tunc longe propenſior in eas facta erat propter formidinem, qua ſibi a Caſſio metuebat. Ad eum nuncium *Caſſius Murcum*, una cum fortiſſima legione ſagittariiſque nonnullis, & ſexaginta tectis navibus, *in Peloponneſum miſit*; ut ſtationem haberet circa Tænarum promontorium, ſimulque ex Peloponneſo prædam, quantam poſſet, abſtraheret.

75. Sequitur, ut *res in Lycia a* BRUTO *geſtas*, exponam: quas res pariter, renovandæ memoriæ cauſa, paulo altius juvabit repetere. *Brutus*, acceptis ab *Apulejo* co-

λήζει, ὅσην Ἀπουλήϊος εἶχε, καὶ χρήματα ἐς ἑξακισχίλια καὶ μύρια τάλαντα, ὅσα ἐκ τῶν φόρων τῆς Ἀσίας συνείλεκτο, παρῆλθεν ἐς Βοιωτίαν. ψηφισαμένης δὲ αὐτῷ τῆς βουλῆς, τοῖς τε χρήμασιν ἐς τὰ παρόντα χρῆσθαι, καὶ Μακεδονίας ἄρχειν, καὶ τῆς Ἰλλυρίδος ἐπὶ τῇ Μακεδονίᾳ, τὰ μὲν ἐν τοῖς Ἰλλυριοῖς τρία τέλη τοῦ στρατοῦ παραλαμβάνει, Οὐατινίου τοῦ πρότερον ἄρχοντος Ἰλλυριῶν παραδόντος· ἓν δὲ ἐκ Μακεδονίας ἀφείλετο Γάϊον, τὸν ἀδελφὸν Ἀντωνίου. τέσσαρα δ᾽ ἐπὶ τούτοις ἄλλα συναγαγὼν, ὀκτὼ τὰ πάντα εἶχε, Γαΐῳ Καίσαρι τὰ πολλὰ αὐτῶν ἐστρατευμένα. εἶχε δὲ καὶ ἱππέων πλῆθος, καὶ ψιλοὺς, καὶ τοξότας· καὶ τοὺς Μακεδόνας ἐπαινῶν, ἐς τὸν Ἰταλικὸν ἤσκει τρόπον. Ἀγείροντι δὲ αὐτῷ στρατὸν ἔτι καὶ χρήματα, συντυχία Θρᾴκιος τοιάδε γίγνεται. Πολεμοκρατία, γυνή τινος τῶν βασιλικῶν, ἀναιρεθέντος αὐτῇ τοῦ ἀνδρὸς ὑπ᾽ ἐχθρῶν, δείσασα περὶ τῷ παιδὶ, ἔτι ὄντι παιδὶ, ἧκεν αὐτὸν φέρουσα, καὶ ἐνεχείρισε Βρούτῳ· ἐνεχείρισε δὲ καὶ τοὺς τοῦ ἀνδρὸς θησαυ- A. U. 711.

Lin. 39. τοῖς *ad* Ἰλλυρ. *adjeci ex Reg. B. & Aug. Ibid. Malim* τῶν στρατοῦ, *deleto artic.* τοῦ. *L.*40. Οὐατεννίου *Aug. Reg. B. L.*48. βασιλίσκων *videtur legendum.*

piis, quantas ille habuerat, & pecuniæ ex Asiæ tributis collectæ ad sedecim talentorum millibus, transivit in Bœotiam. Et Senatusconsulto jussus ea pecunia ad præsentem necessitatem uti, præesseque cum imperio tum Macedoniæ tum Illyrico, tres *legiones Illyricas* accepit, tradente *Vatinio*, qui ante illum ei provinciæ præfuerat: unam vero in Macedonia *Cajo Antonio*, Marci fratri, abstulit. Deinde habitis delectibus, quatuor alias *confecit*, ut in universum *octo legiones* haberet, & in eis plerosque ex veteranis Cæsaris. Adhæc multitudo equitum aderat; tum velites quoque & sagittarii: delectatusque etiam Macedonibus, Romano more hos exercuit. Ad hunc modum colligenti milites ac pecunias *Bruto* casus quidam e Thracia oblatus est hujusmodi. *Polemocratia, reguli* cujusdam *Thracici uxor*, cæso ab inimicis marito, filio puero metuens, ad *Brutum* profecta, filium ei commendavit, & mariti thesauros tra-

A. U. ρους. Ὁ δὲ τὸν μὲν παῖδα Κυζικηνοῖς ἀνατρέφειν παρέδωκε, μέχρι σχολάσειεν ἐπὶ τὴν βασιλείαν καταγαγεῖν. ἐν δὲ τοῖς θησαυροῖς εὗρε παράδοξον χρυσίου τι πλῆθος καὶ ἀργύρου· καὶ τοῦτο μὲν ἔκοπτε, καὶ νόμισμα ἐποίει.

712. LXXVI. Ὡς δὲ ἦλθέ τε ὁ Κάσσιος, καὶ ἔδοξε Λυκίους καὶ Ροδίους προεξαιρεῖν, ἐτράπετο Λυκίων ἐπὶ Ξανθίους πρώτους. Οἱ δὲ τά τε προάστεια σφῶν καθεῖλον, ἵνα μὴ ἐς κατάλυσιν αὐτοῖς ὁ Βροῦτος, μηδ' ἐς ὕλην, ἔχῃ χρῆσθαι· καὶ τὴν πόλιν περιταφρεύσαντες, ἀπεμάχοντο ἀπὸ τῆς τάφρου, τὸ μὲν βάθος οὔσης πεντήκοντα ποδῶν βαθυτέρας, τὸ δὲ πλάτος κατὰ λόγον τοῦ βάθους· ὥστε παρ' αὐτὴν ἑστῶτες ἠκόντιζόν τε καὶ ἐτόξευον, ὥσπερ ἐν μέσῳ ποταμὸν ἔχοντες ἀπέραντον. Ὁ δὲ Βροῦτος αὐτὴν ἔχου βιαζόμενος, καὶ σκεπαστήρια τῶν ἐργαζομένων προυτίθει, καὶ τὸν στρατὸν ἐς ἡμέραν καὶ νύκτα ἐμέριζε, καὶ τὴν ὕλην μακρόθεν, ὥσπερ ἐν τοῖς ἀγῶσι, σὺν δρό-

Lin. 54. χρυσίου τε πλῆθος *Reg. B.* χρυσίου πλῆθος *Aug.* *L.* 55. ἀργυρίου *Aug.* *L.* 58. *Pro* τά τε *dat mend.* τάδε *edit.* 1. *L.* 65. ἔχων *Edd. vitiose, ut ſæpius alias, ex Reg. A. Recte Aug. Reg. B.* *L.* 67 *ſq. Verba* ὥσπερ ἐν τοῖς ἀγῶσιν *mallim poſt* βοῆς *repoſita.*

didit. Ille puerum Cyzicenis alendum commiſit, donec plus otii haberet ad reducendum in regnum paternum. In theſauris autem illis quum miram inveniſſet auri argentique copiam; excudendum illud curavit, ſignatamque pecuniam inde confecit.

76. Deinde poſt adventum Caſſii quum placuiſſet ante omnia Lycios expugnare ac Rhodios; primos Lyciorum *Xanthios Brutus bello adortus* eſt. Illi, ſolo æquatis ſuburbiis, ne Bruto aut receptaculum præberent aut materiem, & circa urbem foſſa circumducta, amplius quinquaginta pedes alta, lata vero pro ratione altitudinis, poſt eam ſtantes jaculis ſagittiſque arcebant hoſtem, haud ſecus ac ſi flumine dirimerentur nuſquam vadis pervio. Sed *Brutus* vi oppugnare urbem adgreſſus, exercitu in diurnas nocturnaſque vices diviſo, foſſam aggere complere vineaſque agere inſtitu t: & materia e longinquo qu dem, ſed magna celeritate clamoreque, ut fit in certaminibus, comportatur; ſummoque ſtudio &

μῷ καὶ βοῇ μετέφερεν, οὐδὲν ἐκλείπων σπουδῆς καὶ πόνου. ὅθεν αὐτῷ τὸ ἔργον, ἐλπισθὲν ἢ οὐκ ἔσεσθαι, κωλυόντων πολεμίων, ἢ πολλοῖς μησὶ μόλις ἔσεσθαι, ὀλίγαις ἡμέραις ἐξείργαστο. A. U. 712.

LXXVII. Καὶ οἱ Ξάνθιοι κατακλεισθέντες ἐπολιορκοῦντο. καὶ αὐτοῖς ὁ Βροῦτος τοὺς μὲν ἐκ μηχανημάτων εἰς τὰ τείχη, τοὺς δὲ ἐκ ποδὸς ἐπῆγεν ἐπὶ τὰς πύλας, καὶ πάντας ἐνήλλασσε συνεχῶς. οἱ δὲ, ἀκμῆσιν αἰεὶ κεκμηκότες συμφερόμενοι, καὶ τετρωμένοι πάντες, ὅμως ὑπέμενον, ἕως σφίσιν αἱ ἐπάλξεις διέμενον. ὡς δὲ καὶ αὗται κατεσύρησαν, καὶ οἱ πύργοι διερρώγεσαν, ὑποτοπήσας τὸ ἐσόμενον ὁ Βροῦτος, ἐκέλευσε τὰς ἐφέδρους τῶν πυλῶν τάξεις ἀποστῆναι· καὶ οἱ Ξάνθιοι, νομίσαντες ἀφυλαξίαν καὶ ἀμέλειαν εἶναι, νυκτὸς ἐξέδραμον μετὰ λαμπάδων ἐπὶ τὰ μηχανήματα. ταχὺ δὲ ἐκ συνθήματος αὐτοῖς τῶν Ῥωμαίων ἐπιδραμόντων, συνέφευγον αὖθις ἐς τὰς πύλας· καὶ τῶν φυλάκων αὐτὰς προαποκλεισάντων ὑπὸ δέους, μὴ συνεσπέσοιεν οἱ πολέμιοι,

Lin. 73. καὶ αὐτὶς ὁ Βροῦτος *Aug. mend.*

contentione omnia peraguntur. Itaque quamquam primum aut nihil effecturus visus erat *Brutus*, prohibentibus hostibus, aut vix post multos menses perfecturus opus, tamen intra paucos dies absolvit.

77. Jamque *inclusos Xanthios*, & e mœnibus pugnantes, partim machinis *Brutus oppugnavit*, partim admotis ad portas cohortibus, & omnes ubique frequenter cum aliis mutavit. Oppidani recentibus semper fessi ac saucii resistentes, durabant tamen, quamdiu non destituebantur murorum propugnaculis. Ut vero & illa corruerunt, & turres machinis perfractæ sunt; *Brutus*, id quod futurum erat animo præcipiens, jussit portarum obsessores abscedere. Quod *Xanthii* rati factum custodum negligentia, noctu cum facibus eruptionem fecerunt in machinas: adcurrentibus autem ex composito Romanis cohortibus, illi confestim ad portam refugiebant. Quam quum custodes jam præclusissent, timentes ne hostis simul cum fugientibus

A. U. 712. φθόρος ἦν Ξανθίων πολλὸς ἀμφὶ ταῖς πύλαις ἀποκεκλειμένων.

LXXVIII. Οὐ πολὺ δὲ ὕστερον ἐξέδραμον αὖθις οἱ λοιποὶ περὶ μεσημβρίαν, ἀναχωρούσης πάλιν τῆς τάξεως, καὶ ἐνέπρησαν τὰ μηχανήματα ἅπαντα ἀθρόως. πεπετασμένων δὴ αὐτοῖς τῶν πυλῶν διὰ τὸ πρότερον πάθος, συνεισέπεσον ἀμφὶ δισχιλίους μάλιστα Ῥωμαίων. καὶ ἑτέροις δὲ εἰσωθιζομένοις ἀμφὶ τὴν εἴσοδον, ἐπέπεσον αἰφνίδιον αἱ πύλαι, εἴθ᾽ ὑπό του Ξανθίων εἴτε καὶ αὐτομάτως τῶν χαλαστηρίων διαῤῥαγέντων· ὥστε τῶν ἐσβιασαμένων Ῥωμαίων τοὺς μὲν ἀπολέσθαι, τοὺς δὲ ἔνδον ἀποληφθῆναι, τὰς πύλας οὐ δυναμένους ἔτι ἀνασπάσαι, χωρὶς ἀνασπαστηρίων γενομένας. βαλλόμενοι δὴ ἐν τοῖς στενωποῖς ἄνωθεν ὑπὸ τῶν Ξανθίων, βιασάμενοί ποτε, μόλις ἐς τὴν ἀγορὰν ἐγγὺς οὖσαν διέδραμον· κἀνταῦθα τῶν μὲν συμπλεκομένων σφίσι κρατοῦντες, τοξευόμενοι δὲ χαλεπῶς, καὶ οὐδὲν ἔχοντες αὐτοὶ τόξον

Lin. 86. πολὺς *Edd. ex Reg. A. invitis Reg. B. Aug. Ven. Ibid. sq.* ἀποκεκλεισμένων *Edd. non male. Prætuli Aug. & Reg. B. L.* 92. δισχιλίους καὶ μάλιστα *Aug. L.* 97. ἀπολειφθῆναι *mend. Edd. ex Reg. B. Recte Aug. Reg. A. Ibid. sq. Pro* ἀνασπάσαι *dat* ἀναπαῦσαι *Aug. mend. L.* 2. *Sex verba,* κἀνταῦθα *usque* κρατοῦντες, *desiderantur in Edd. & Cand. Dedit Aug. & Ven.*

irrumperet, magna exclusorum strages ad ipsam portam est edita.

78. Sed non multo post, regressis iterum stationariis, rursum eruperunt reliqui circa meridiem, & universas machinas incenderunt. Porta autem nunc propter priorem calamitatem aperta, cum oppidanis irruperunt Romanorum circiter duo millia: irruentibusque confertim aliis, repente cataracta decidit, sive *Xanthiorum* opera sive sponte abruptis per quos demittebatur funibus. Itaque *Romani* quotquot irruperant, partim oppressi sunt, partim *interclusi*, quum non valerent eam absque funibus subducere: petitique ex ædibus a *Xanthiis*, vix tandem per angustiores urbis vicos in propinquum forum evaserunt. Ibi his quidem, qui cominus eos adgrediebantur, fuerunt superiores; sed graviter infestati a sagittariis, quum ipsi nec arcus ullos haberent nec jacula, in

A. U. 712.

ἢ ἀκόντιον, παρὰ τὸ Σαρπηδόνειον, ἵνα μὴ κυκλωθεῖεν, διέδραμον. Οἱ δ᾽ ἔξω τείχους Ῥωμαῖοι, περὶ τῶν ἔνδον ἀγανακτοῦντές τε καὶ δεδιότες, Βρούτου περιθέοντος αὐτοὺς, ἐς πᾶσαν ἐμερίζοντο πεῖραν, οὔτε τὰς πύλας δυνάμενοι ῥῆξαι, σιδήρῳ περιβεβλημένας· οὔτε κλιμάκων ἢ πύργων, ἐμπεπρησμένων, εὐποροῦντες. ἀλλ᾽ οἱ μὲν ἐσχεδίαζον κλίμακας· οἱ δὲ κεραίας τοῖς τείχεσι προσ]ιθέντες, ὡς διὰ κλιμάκων ἐπεχείρουν· οἱ δὲ καὶ σιδήρια ὀξέα καλωδίοις περιτιθέντες, ἐσφενδόνων τὰ σιδήρια ἐς τὸ τεῖχος ἄνω, καὶ, ὅτε καταπαγείη τινὰ αὐτῶν, ἑαυτοὺς ἀνίμων.

LXXIX. Οἰνανδεῖς δὲ, γείτονες, διὰ τὴν ἐς τοὺς Ξανθίους ἔχθραν τῷ Βρούτῳ συμμαχοῦντες, διὰ τῶν κρημνῶν ἐπετροβάτουν ἄνω· καὶ αὐτοὺς ἰδόντες οἱ Ῥωμαῖοι, ἐμιμοῦντο ἐπιμόχθως. καὶ πολλοὶ μὲν ἐξέπιπ]ον· εἰσὶ δ᾽ οἱ τὸ τεῖχος ὑπερβάντες, καὶ πυλίδα ἀνέῳξαν, ἣ προεσ]αύρωτο πυκνοτάτοις σ]αυροῖς, καὶ τοὺς εὐτολμοτάτους αἰωρουμένους ὑπὲρ τὰ σ]αυρώματα ἐσεδέχοντο.

Lin. 4. Σαρπηδόνιον *h. l. Aug.* *L.* 6. τε, *ante* καὶ, *inserui ex Aug. Ven. Reg. A.* *L.* 13 *sq.* ἐς αὐτοὺς ἀνίμων *mend. Edd. ex Reg. B. Recte Aug. Reg. A.* *L.* 18. ὑπομόχθως *Edd. corrupte. Recte Aug.* *L.* 21. ἐπεδέχοντο *Aug.*

Sarpedonis ſacratam ædem, ne circumvenirentur, refugerunt. Interea Romani qui extra urbem erant, irati ſolicitique de interceptis, *Bruto* locis omnibus circumcurſante, nihil non tentabant, quum nec portam ferratam quirent diffringere, & ſcalas turreſque amiſiſſent incendio. Attamen alii ſcalas faciebant ex tempore; alii *cervos* admoventes mœnibus, *pro ſcalis* eis utebantur; nonnulli uncos addentes reſtibus ejaculabantur in mœnia, &, quoties unus aliquis infixus hæreret, adminiculo reſtium ſubrepebant.

79. *Oenandenſes* autem, *vicini Xanthiorum*, tunc ob illorum odium *ſocii Bruti*, per abrupta ſaxorum ſcandebant: quos mox Romani, laborioſe quidem, ſunt æmulati. Multiſque prolapſis fallente veſtigio, nonnulli ſuperatis mœnibus aperuerunt portulam, ante quam vallum ex denſis ſudibus præacutis erat exſtructum. Illiſque adjuvantibus, audaciſſimus quiſque vallum transſcendebat; donec

A. U. 712. καὶ πλείους γενόμενοι, τὰς πύλας ἔκοπτον, οὐ περιβεβλημένας ἔτι τῷ σιδήρῳ τὰ ἐντὸς, ἀντικοπτόντων αὐτοῖς ἅμα ἔξωθεν ἑτέρων ἐς τὸ αὐτὸ καὶ συνεργούντων. Ξανθίων δὲ σὺν μεγάλῃ πάνυ βοῇ τοῖς ἀμφὶ τὸ Σαρπηδόνειον οὖσι Ῥωμαίοις ἐπιθεόντων, δείσαντες ὑπὲρ αὐτῶν ὅσοι περὶ τὰς πύλας ἔνδοθέν τε καὶ ἔξωθεν αὐτὰς ἔκοπτον, ὑπὸ μανιώδους ὁρμῆς ἐβιάζοντο· καὶ διαῤῥήξαντες ἐσέδραμον ἀθρόοι, δύνοντος ἄρτι τοῦ θεοῦ, μετ᾽ ἀλαλαγῆς, ἵνα σύμβολον εἴη τοῖς ἐντὸς οὖσιν.

LXXX. Ἁλούσης δὲ τῆς πόλεως, οἱ Ξάνθιοι ἐς τὰς οἰκίας συνέτρεχον, καὶ τὰ φίλτατα σφῶν κατέκανον, ἑκόντα τὴν σφαγὴν ὑπέχοντα. οἰμωγῆς δὲ γιγνομένης, ὁ Βροῦτος νομίσας ἁρπαγὴν εἶναι, τὸν στρατὸν ἀνεῖργε διὰ κηρύκων· ὡς δὲ ἔγνω τὸ γιγνόμενον, ᾤκτειρεν ἀνδρῶν φρόνημα φιλελεύθερον, καὶ σπονδὰς περιέπεμπεν. οἱ δὲ καὶ τοὺς φέροντας ἔβαλλον, καὶ τὰ σφέτερα πάντα ἀνελόντες, ἐς πυρὰς προνενησμένας ἐν ταῖς οἰκίαις ἐπέ-

Lin. 25 sq. Σαρπηδόνιον *h. l. Reg. B.* *L. 29 sq.* μετὰ ἀλλαγῆς *vitiose Edd. Recte Aug.* *L. 36.* περιέπεμπον *Edd. male ex Reg. A.* *L. 37.* ἔβαλον *Aug.*

jam aucti numero, majorem portam, ferro jam intus nudatam, ferire cœperunt; foris simul ferientibus aliis, & operam suam conferentibus. Quumque tunc maxime *Xanthii* magno clamore eos, qui ad Sarpedonis refugerant, invaderent; hi, qui intus & foris portam feriebant, metuentes commilitonibus, tanto majore impetu furoreque egerunt. Diffractaque porta, uno agmine, occidente jam sole, irruperunt, ingenti conclamatione signum dantes his qui interclusi fuerant.

80. *Capta urbe*, *Xanthii*, se intra privatas ædes suas recipientes, *suos* quisque *carissimos*, ultro præbentes jugulum, *necarunt*. Exortoque ejulatu maximo, direptionem putans fieri Brutus militem per præcones cohibuit. Ut vero exactius rem cognovit, miseratus virorum ad libertatem natorum generosam indolem, ad pacem eos invitavit per nuncios: quos illi telis immissis repulerunt; & contrucidatis prius suis omnibus, atque in rogos compositis, quos jam ante in ædibus exstruxe-

θεσαν, καὶ τὸ πῦρ ἅψαντες, ἑαυτοὺς ἐπικατέσφαξαν. Βροῦτος δὲ, τῶν ἱερῶν περισώσας ὅσα ἐδύνατο, μόνους θεράποντας εἶχε Ξανθίων, καὶ ἐκ τῶν ἀνδρῶν γύναια ὀλίγα ἐλεύθερα, καὶ ἄνδρας οὐδὲ ἐς ἑκατὸν καὶ πεντήκοντα πάντας. Ξάνθιοι μὲν δὴ τρίτον ὑπὸ σφῶν αὐτῶν ἀπώλλυντο, ἐλευθερίας οὕνεκα. καὶ γὰρ ἐπὶ Ἁρπάγου τοῦ Μήδου, Κύρῳ τῷ μεγάλῳ στρατηγοῦντος, ὧδε σφᾶς ἀντὶ δουλοσύνης διέφθειραν, καὶ τάφος Ξανθίοις ἡ πόλις ἀμεληθεῖσα ὑπὸ Ἁρπάγου τότε ἐγένετο· καὶ ἐπὶ Ἀλεξάνδρου τοῦ Φιλίππου φασὶν ὅμοια παθεῖν, οὐχ ὑποστάντας οὐδὲ Ἀλεξάνδρῳ μετὰ τοσῆσδε γῆς ἀρχὴν ὑπακοῦσαι. A. U. 713.

LXXXI. Βροῦτος δὲ ἐς Πάταρα ἀπὸ Ξάνθου κατῄει, πόλιν ἐοικυῖαν ἐπινείῳ Ξανθίων· καὶ περιστήσας αὐτοῖς τὸν στρατὸν, ἐκέλευσεν ἐς πάντα ὑπακούειν, ἢ τὰς Ξανθίων συμφορὰς προσδέχεσθαι· προσήγοντό τε αὐτοῖς οἱ

Lin. 40. μόνος *edit. 2. 3. oper. err.* *L. 41. Pro* εἶχε *Cand. expressit* εἷλε, cepit. *Ibid. Pro* ἐκ τῶν ἀνδρῶν *malim* ἐκ τῶν ἄλλων *vel* ἀστῶν. *L. 42.* ἐλεύθερα καὶ ἄνανδρα *Edd. Cand.* καὶ ἄνδρας *dedit Aug.* *L. 44. & 47.* Ἀστάγου *utrobique dabant Edd. & MSSti nostri & Cand. quod corrigere non dubitavi.* *L. 48 sq.* ὑποστάντας δὲ οὐδὲ *Edd. Incommodam partic. delevi cum Aug.* *L. 51.* Ξανθείων *Edd. h. l. ex Reg. B. Recte Aug. Reg. A.* *L. 53.* προσήγαγον τότε αὐτοῖς *Reg. B: mend.*

rant, *ſubjecto igne*, *ſe ipſos una cum illis peremerunt.* Sacras ædes *Brutus*, quotquot potuit, ab incendio ſervavit: Xanthiorum vero mancipiis tantum potitus eſt; ex ingenuis non niſi paucæ mulieres, & viri vix C L ſupererant. Atque ita *tertio tunc Xanthii*, *libertatis amore*, *ſuis manibus perierunt.* Nam & ab *Harpago* Medo, Cyri Magni duce, oppugnati, eodem modo vitam maluerunt quam libertatem amittere: & pro ſepulcro eis tunc urbs patria fuerat, non ſuccurrente Harpago. Et ſub *Alexandro*, Philippi filio, ſimilis caſus eos abſumſiſſe proditur, non ſuſtinentes ne illius quidem tot terrarum domini imperata facere.

81. Capta Xantho, *Brutus ad Patara* oppidum deſcendit, quod veluti *navale* fuerat *Xanthiorum.* Exercituque circa oppidum diſpoſito, denunciavit incolis, ut imperata omnia facerent, aut cladem qualis Xanthiorum fuit exſpectarent: adductis et-

A. U. 712.

Ξάνθιοι ὀδυρόμενοι τὰ σφέτερα, καὶ παραινοῦντες ἀμείνονα βουλεύσασθαι. Ξανθίοις δὲ οὐδὲν ἀποκριναμένων πω τῶν Παταρέων, ἐδίδου τὸ λοιπὸν αὐτοῖς τῆς ἡμέρας ἐς σκέψιν, καὶ ἀνεχώρει. ἅμα δὲ ἡμέρᾳ προσῆγεν. οἱ δὲ ἀπό τε τῶν τειχῶν ἐβόων, ὑπακούειν ἐς ὅ τι βούλοιτο, καὶ τὰς πύλας ἀνεῴγνυον. Ὁ δ᾽ ἐσελθὼν, ἔκτεινε μὲν οὐδένα, οὐδ᾽ ἐξήλασε· χρυσὸν δὲ καὶ ἄργυρον ὅσον ἡ πόλις εἶχε συνεισενεγκὼν, ἐκέλευε καὶ τὸν ἰδιωτικὸν ἑκάστους ἐσφέρειν ὑπὸ ζημίαις καὶ μηνύμασιν, οἵοις καὶ Κάσσιος ἐκήρυξεν ἐν Ῥόδῳ. καὶ οἱ μὲν ἐσέφερον. Θεράπων δὲ τὸν δεσπότην ἐμήνυσε χρυσίον κρύψαι, καὶ πεμφθέντι λοχαγῷ τὸ χρυσίον ἔδειξεν. ἀγομένων δὲ ἁπάντων, ὁ μὲν δεσπότης ἐσιώπα· ἡ δὲ ἐκείνου μήτηρ, περισώζουσα τὸν υἱὸν, εἵπετο, βοῶσα αὐτὴ τὸ χρυσίον κρύψαι. ὁ δὲ οἰκέτης, οὐδὲ ἀνερωτώμενος, τὴν μὲν ἤλεγ-

Lin. 61. εἶχε συναγαγὼν *Edd. ex Reg. A. quod nescio an præferendum. Expressi tamen lectionem Aug. & Ven. cum quibus fere convenit corruptum* συνεισεγκὼν *Reg. B. Ibid.* τῶν ἰδιωτικῶν *Aug. Ven. Ibid. sq.* ἑκάστου *Reg. B.*

iam Xanthiis captivis, qui deplorata sua fortuna hortarentur eos ad meliora consilia. Quibus quum nemo *Patarensium* responderet; *Brutus* ejus diei reliquum ad deliberandum eis concessit, atque ita abiit. Sequenti mane reduxit eodem copias. Tum vero oppidani e mœnibus adclamabant, facturos se quidquid imperasset: simulque porta aperta est. Ille introgressus, nec supplicio quemquam adfecit, nec egit in exilium: sed aurum omne argentumque, publicum primo, ad se deferri jussit; tum, privatim quod quisque haberet, exegit a singulis, pœna proposita (quemadmodum Cassius Rhodi fecit) contra facientibus, & invitatis indicibus præmio. Illi, ita ut jussit, fecerunt. Servus autem quidam dominum suum indicavit, quod aurum abdidisset; & centurioni ad id misso aurum ostendit. Hinc, quum omnes domestici ducerentur, tacitus incessit herus; mater vero illius, ut eum servaret, sequebatur clamans, a se aurum absconditum. Tum servus, super ea re non interrogatus, alteram mentiri, al-

χε, ψευδομένην, τὸν δὲ, κρύψαντα. καὶ ὁ Βροῦτος τὸν μὲν νεανίαν ἀπεδέξατο τῆς σιωπῆς, καὶ τὴν μητέρα τοῦ πάθους, καὶ μεθῆκεν ἀμφοτέρους ἀπαθεῖς ἀπιέναι, τὸ χρυσίον φερομένους· τὸν δὲ οἰκέτην, ὡς πέρα τοῦ πράγματος ἐπιβουλεύσαντα τοῖς δεσπόταις, ἐκρέμασε. A. U. 712.

LXXXII. Τῷ δ' αὐτῷ χρόνῳ καὶ Λέντλος, ἐπιπεμφθεὶς Ἀνδριάκῃ, Μυρέων ἐπινείῳ, τήν τε ἄλυσιν ἔρρηξε τοῦ λιμένος, καὶ ἐς Μύρα ἀνῄει. Μυρέων δὲ ἃ προσέτασσε δεχομένων, χρηματισάμενος ὁμοίως, ἐς Βροῦτον ἐπανῄει. Καὶ τὸ κοινὸν τὸ Λυκίων ἐς Βροῦτον ἐπρέσβευε, συμμαχήσειν τε ὑπισχνούμενοι καὶ ἐσοίσειν ὅσα δύναιντο. ὁ δὲ αὐτοῖς ἐσφορὰς τε ἐπέβαλε, καὶ Ξανθίων τοὺς ἐλευθέρους ἀπεδίδου τῇ πόλει, καὶ τὸ ναυτικὸν τὸ Λυκίων ἅμα ταῖς ἄλλαις ναυσὶν ἐκέλευε περιπλεῖν ἐς Ἄβυδον, ἔνθα καὶ τὸ πεζὸν αὐτὸς ἦγε, καὶ Κάσσιον ἐξ Ἰωνίας ἀνέμενεν, ὡς ἐς Σηστὸν ὁμοῦ διαβαλοῦντες. Μοῦρκος δὲ, ἐν Πελοποννήσῳ ναυλοχῶν Κλεοπάτραν, ἐπειδὴ ἔμαθεν αὐτὴν ὑπὸ χειμῶνος ἀμφὶ τῇ Λιβύῃ βλαβεῖσαν, καὶ τὰ ναυά-

Lin. 79. καὶ ἐπείσειν *Aug.* *L.* 86. *Pro* Λιβύῃ *dant* Εὐβοίᾳ *Aug. Ven.*

terum celasse aurum coarguit. *Brutus*, laudata cum juvenis patientia, tum matris pietate, ambos cum ipso auro dimisit incolumes: servum, ut qui ultra quam fas erat perniciem intentasset heris, in crucem egit.

82. Eodem tempore & *Lentulus*, *Andriacam missus*, quod *Myrensium navale* est, perrupta catena qua ostium portus claudebatur, ad *Myra* ascendit: & oppidanis imperata facientibus, post exactam similiter pecuniam, ad Brutum est reversus. Tum *universa Lyciorum natio*, legatis ad *Brutum* missis, auxilium & pecunias ei pro facultatibus pollicita est. Ille, tributo eis indicto, Xanthiorum ingenua corpora domum remisit, Lyciorum classem universam cum reliquis navibus *Abydum* navigare jussit; quo ipse terrestres etiam *ducebat copias*; *Cassium ibi*, venientem ex Jonia, *praestolaturus*, *ut simul* trajecto freto *Sestum peterent*. Interim *Murcus*, cum classe circa Peloponnesum Cleopatrae insidiatus; postquam cognovit, classem ejus ad Africae litora tempestatibus fuisse adflictam,

A. U. 712. για εἶδε μέχρι τῆς Λακωνικῆς ἐκφερόμενα, καὶ σὺν ἀῤῥωστίᾳ μόλις αὐτὴν ἐς τὰ ἑαυτῆς ἐπανιοῦσαν· ἵνα μὴ δι' ἀπραξίας εἴη μετὰ τοσοῦδε στόλου, διέπλευσεν ἐπὶ Βρεντεσίου, καὶ ἐς τὴν ἐπικειμένην τῷ λιμένι νῆσον ὁρμισάμενος, ἐκώλυε τὴν ὑπόλοιπον τῶν πολεμίων στρατιὰν ἢ ἀγορὰν ἐς Μακεδονίαν περαιοῦσθαι. Καὶ αὐτὸν ὁ Ἀντώνιος ἀπεμάχετο ναυσὶ μακραῖς, ὅσαις εἶχεν, ὀλίγαις· ἀπεμάχετο δὲ καὶ πύργοις οὓς ἐπῆγεν ἐπὶ σχεδιῶν, ὅτε τὸν στρατὸν ὁλκάσιν ἐκπέμποι κατὰ μέρη, πνεῦμα ἀπὸ τῆς γῆς πολὺ φυλάσσων, ἵνα μὴ καταλαμβάνοιντο ὑπὸ τοῦ Μούρκου. κακοπαθῶν δὲ, ἐκάλει Καίσαρα, Πομπηίῳ Σέξτῳ κατὰ Σικελίαν περὶ αὐτῆς Σικελίας ναυμαχοῦντα.

709. LXXXIII. Ὧδε δὲ εἶχε καὶ τὰ περὶ Πομπήιον. Νεώτερος ὢν ὅδε τῶν Μάγνου Πομπηίου παίδων, ὑπερώφθη μὲν τὰ πρῶτα ὑπὸ Γαίου Καίσαρος περὶ Ἰβηρίαν, ὡς οὐδὲν μέγα διὰ νεότητα καὶ ἀπειρίαν ἐργασόμενος· καὶ ἠλᾶτο

Lin. 95. ἐκπέμπει *Edd. ex Reg. B. Prætuli Aug. Reg. A.* *L.* 1. καὶ τάδε περὶ *Edd. ex Reg. A. Rectius Reg. B. cum Aug. & Ven.*

(cujus naufragii etiam signa ad Laconiam usque undis vidit delatas,) ipsam autem reginam, cum adversa etiam valetudine colluctantem, ægre domum esse reversam; ne cum tanta classe otium ageret, *trajecit Brundusium*: &, occupata insula quæ portui est opposita, prohibere conatus est, ne in Macedoniam transveheretur reliquus hostium exercitus, neve commeatus eo deportarentur. Huic *Antonius*, quoties onerariis navibus alias copias, ventis observatis secundis, quo minus a *Murco* deprehenderentur, evehebat, rostratas naves, quas quidem paucas habuit, turresque ratibus impositas opponebat. Quum vero ægre ea res procederet, auxilio vocavit *Cæsarem*, circa Siciliam cum *Sexto Pompejo* de illius insulæ imperio navalibus præliis contendentem.

83. Cujus POMPEJI *res* ita se habuerunt. Hic, Magni filius natu minor, primum contemtus est a C. Cæsare in Hispania, ut adolescens rerum imperitus, & proinde nihil moliturus arduum: vaga-

περὶ τὸν Ὠκεανὸν λῃστεύων σὺν ὀλίγοις, καὶ λανθάνων ὅτι εἴη Πομπήϊος. πλεόνων δὲ ἐς τὸ λῃστεύειν αὐτῷ συνιόντων, χείρ τε ἦν ἤδη καρτερά, καὶ ἐξεφαίνετο Πομπήϊος ὤν. καὶ αὐτίκα ὅσοι τοῦ πατρὸς ἢ τοῦ ἀδελφοῦ στρατιῶται γεγονότες ἠλῶντο, ὡς ἐς οἰκεῖον ἡγεμόνα συνέτρεχον, καὶ Ἀραβίων ἐκ Λιβύης ἀφίκετο αὐτῷ, ἀφῃρημένος τὰ πατρῷα, ὥς μοι προείρηται. Ὧδε δὲ αὐτῷ πλήθους γενομένου, ἔργα τε ἦν ἤδη λῃστηρίου δυνατώτερα, καὶ ὄνομα τοῦ Πομπηΐου, ἀνὰ ὅλην τὴν Ἰβηρίαν, εὐρυτάτην ἐθνῶν οὖσαν, περιθέοντός τε καὶ μεθιπταμένου, καὶ ἐς χεῖρας οὐχ ὑπομένοντος ἐλθεῖν τοῖς ἡγουμένοις αὐτῆς ὑπὸ Γαΐῳ Καίσαρι. Ὧν ὁ Γάϊος πυνθανόμενος, ἔπεμπε σὺν στρατῷ πλέονι Καρρίναν, ἐκπολεμήσοντα Πομπήϊον. ὁ δὲ καὶ τούτῳ, κουφότερος ὤν, ἐπεφαίνετο ἄφνω, καὶ ἀφιπτάμενος ἠνώχλει, καὶ πόλεις ἤδη τινὰς ᾕρει βραχυτέρας τε καὶ μείζους.

A. U. 709.

Lin. 15. οὐχ ὑπομεν. *Edd. errore ex edit.* 1. *propagato.* οὐχ ἐπιμεν. *Reg. B.* *L.* 19. ἀφιπτάμενος *Aug. mend.* ἐφιπτάμενος *expressit Cand.* advolans. *Malim paulo ante,* ἐπιφαινόμενός τε. *Ib.* ᾕρει *caret Aug.*

baturque circa Oceanum cum paucis, latrocinia exercens, ignotus adhuc, nec pro *Pompejo* habitus. Deinde postquam plures ad ejusdem latrocinii societatem sese adjunxerunt, validam jam manum circa se habens, *Pompejum* se esse declaravit. Moxque quotquot antea patris fratrisque militiam secuti tunc vagabantur, ad eum, quasi ad proprium ducem, confluebant: & *Arabio* quoque ad eumdem venit ex Africa, ditione paterna exutus, sicut antea docuimus. Ad hunc modum copiis auctus *Pompejus*, non jam pro latrocinio rem gerebat; & celebrabatur nomen ejus per totam *Hispaniam*, provinciarum omnium amplissimam: quam magna celeritate percurrit, huc illuc volitans, sed cavens congredi cum his qui a Cæsare Hispaniæ erant præfecti. De quibus rebus edoctus Cæsar, ad eum debellandum misit *Carinatem* cum majoribus copiis. Quem *Pompejus*, quoniam expeditioribus erat copiis instructus, subito sæpe impetum faciendo, protinusque avolando, fatigavit. Jamque etiam oppidis nonnullis, minoribus majoribusque, est potitus.

A. U. 710. LXXXIV. Καὶ ὁ Γάϊος ἔπεμψε τῷ Καρρίνᾳ διάδοχον Ἀσίνιον Πολλίωνα, πολεμεῖν Πομπηΐῳ. ὃν τινα πόλεμον αὐτῶν ὁμοίως διαφερόντων, ὅ τε Γάϊος Καῖσαρ ἀνῃρέθη, καὶ ἡ βουλὴ κατεκάλει Πομπήϊον. ὁ δὲ ἐν Μασσαλίᾳ γενόμενος, περιεσκόπει ἔτι τὰ ἐν Ῥώμῃ. αἱρεθεὶς δὲ καὶ τῆς θαλάσσης ἄρχειν, καθὰ ἦρχεν αὐτοῦ καὶ ὁ πατὴρ, ἐς μὲν τὴν πόλιν οὐδ᾽ ὣς ἀνῆλθεν· ὅσαι δὲ νῆες ἐν τοῖς λιμέσιν ἦσαν λαβὼν, ἐξέπλευσε, σὺν αἷς εἶχεν ἀπὸ τῆς

711. Ἰβηρίας. Ἐπιγενομένης δὲ τῆς τῶν τριῶν ἀρχῆς, ἐς Σικελίαν διέπλευσε, καὶ Βιθυνικὸν ἄρχοντα αὐτῆς, οὐ παριέντα οἱ τὴν νῆσον, ἐπολιόρκει· μέχρι προγραφέντες ἐπὶ θανάτῳ καὶ φυγόντες ἐκ Ῥώμης Ἵρτιός τε καὶ Φάννιος, ἔπεισαν ἐκστῆναι Πομπηΐῳ Βιθυνικὸν Σικελίας.

712. LXXXV. Ὧδε μὲν ὁ Πομπήϊος Σικελίας ἐκράτησε, καὶ ναῦς ἔχων, καὶ νῆσον ἐπικειμένην τῇ Ἰταλίᾳ, καὶ στρατὸν ἤδη πολὺν, ὅσον τε πρότερον εἶχε, καὶ ὅσον οἱ φεύγοντες ἐκ Ῥώμης ἐλεύθερον ἢ δοῦλον ἦγον, ἢ αἱ πόλεις ἐξ Ἰταλίας ἔπεμπον αὐτῷ, αἳ ἐς ἐπινίκια τοῖς στρα-

84. Tunc Cæſar ſucceſſorem Carinati *contra Pompejum* miſit *Aſinium Pollionem.* Inter quos dum ſimili tenore continuatur bellum; interim Cæſar interficitur, & *Pompejus a Senatu revocatur.* Ille Maſſiliam profectus, etiamnum, quid in Urbe fieret, ſpeculabatur. Decreto autem maris ei etiam imperio cum eadem poteſtate quam olim pater ipſius habuerat, non rediit quidem in patriam, ſed cum navibus quas ex Hiſpania adduxerat, adjunctis quotquot in diverſis portubus invenit, mari ſe commiſit. Hinc, exorto mox Triumviratu, claſſe ad *Siciliam* adpulſa, *Bithynicum* proprætorem, nolentem ſibi decedere inſula, oppugnavit; donec proſcripti *Hirtius et Fannius*, in Siciliam profugi, perſuaſerunt *Bithynico*, ut Pompejo cederet Sicilia.

85. Sic SEXTUS POMPEJUS *Sicilia potitus*, opportunitate utebatur inſulæ imminentis toti Italiæ, claſſeque valebat & numeroſo jam exercitu; quem partim prius habuerat, partim ex proſcriptis civibus eorumque mancipiis collegerat, partim ab Italiæ urbibus acceperat illis, quæ militibus in victoriæ præmium fuerant promiſ-

τοῖς ἐπηγγελμέναι. ταῖς γὰρ δὴ γνώμαις αἵδε μάλιστα τὴν νίκην τῶν τριῶν ἀνδρῶν ἀπεύχοντο, καὶ ὅσα δύναιντο κοῦφα ἀντέπρασσον· ἀποδιδράσκοντές τε τῶν πατρίδων, ὡς οὐκέτι πατρίδων, οἱ δυνάμενοι, συνέφευγον ἐς Πομπήϊον, ἀγχοτάτω τε ὄντα καὶ περιφίλητον ἅπασιν ἐν τῷ τότε. Παρῆσαν δ' αὐτῷ καὶ ναυτικοὶ ἄνδρες ἐκ Λιβύης καὶ Ἰβηρίας, ἔμπειροι θαλάσσης· ὥστε καὶ ἡγεμόσι καὶ ναυσὶ καὶ πεζῷ καὶ χρήμασιν ὁ Πομπήϊος ἐπῆρτο. Καὶ τούτων ὁ Καῖσαρ ἐπήκοος ὤν, ἔπεμπε Σαλουϊδιηνὸν ἐπὶ νεῶν στόλου, Πομπήϊον (ὡς εὐχερὲς ἔργον) ἐξελεῖν παραπλέοντα· καὶ αὐτὸς ᾔει διὰ τῆς Ἰταλίας, ὡς αὐτῷ Σαλουϊδιηνῷ συμβαλήσων περὶ Ῥήγιον. Σαλουϊδιηνῷ δ' ὁ Πομπήϊος ἀπαντᾷ μεγάλῳ στόλῳ, καὶ πρὸ τοῦ πορθμοῦ ναυμαχίας ἀμφὶ τὸ Σκύλλαιον αὐτοῖς γενομένης, αἱ μὲν τοῦ Πομπηΐου νῆες, κουφότεραί τε οὖσαι καὶ ναυτικωτέρων ἀνδρῶν, ταχυτῆτι καὶ ἐμπειρίᾳ προῦχον· αἱ δὲ Ῥωμαίων, ἅτε βαρύτεραι καὶ μείζους, ἐμόχ- A. U. 712.

Lin. 40. καὶ ἐς ὅσα *Edd. ex Reg. A. Rectius Reg. B. Aug. Ven. L. 43.* ἀγχιτάτω *Aug.* ἀγχυτάτω *Reg. A. L. 47 sq.* Σαλουιδηνὸν *Edd. MSS. & Cand. & sic constanter in hac parte historiæ, omissa litera Jota. L. 52.* Σκύλαιον *h. l. Edd. & MSSti.*

sæ. His enim nihil erat abominatius, quam Triumvirorum victoria; quare eam, quoquo modo poterant, impedire nitebantur; & opulentiores, ex patriis profugi, quas jam non pro patriis habebant, ad *Pompejum* se recipiebant, qui in vicinia erat, & omnibus eo tempore exoptatissimus. Aderantque eidem nautæ rei maritimæ peritissimi, cum ex Africa, tum ex Hispania; ut jam & ducibus & navibus & milite & pecuniis polleret. Quibus rebus fama cognitis, *Cæsar Salvidienum cum classe misit adversus Pompejum*, sperans, facili negotio & veluti obiter everti illum posse: ipse per Italiam iter fecit, occursurus Salvidieno ad Rhegium. Sed Salvidieno *Pompejus* magna cum classe obviam proficiscitur: & in ipso aditu freti *circa Scyllæum committitur prælium navale*; in quo *Pompejanæ* naves, leviores quum essent & melioribus nautis instructæ, celeritate eminebant atque peritia; *Romanæ*, graviores, ipsa

A. U. 712. θουν. ὡς δ᾽ ὁ συνήθης τοῦ πορθμοῦ κλύδων ἐπεγίγνετο, καὶ διεσπᾶτο ἡ θάλασσα ἐφ᾽ ἑκάτερα ὑπὸ τοῦ ῥοῦ· οἱ μὲν ἧσσον ἐμόχθουν, ὑπὸ ἔθους τοῦ κλύδωνος· οἱ δ᾽ ἀμφὶ τὸν Σαλουϊδιηνὸν, οὔτε ἑστῶτες βεβαίως ὑπὸ ἀηθείας, οὔτε τὰς κώπας ἔτι ἀναφέρειν δυνάμενοι, οὔτε τὰ πη- 6
δάλια ἔχοντες εὐπειθῆ, συνεταράσσοντο. ὥστε, κλίνοντος ἐς δείλην ἑσπέραν ἤδη τοῦ θεοῦ, πρότερος ὁ Σαλουϊδιηνὸς ἀνεκάλει· ὑπεχώρει δὲ καὶ ὁ Πομπήϊος. νῆες δ᾽ ἑκατέρων ἴσαι διεφθάρατο, καὶ τὰς λοιπὰς λελωβημένας τε καὶ πεπονημένας ὁ Σαλουϊδιηνὸς ἐπεσκεύαζεν, 6
ὑποχωρήσας ἐς λιμένα πρὸ τοῦ πορθμοῦ Βαλαρόν.

LXXXVI. Ὁ δὲ Καῖσαρ ἐπελθὼν, Ῥηγίνοις μὲν καὶ Ἱππωνεῦσι μεγάλας πίστεις αὐτὸς ἔδωκεν, ἀναλύσειν αὐτοὺς ἐκ τῶν ἐπινικίων· ἐδεδίει γὰρ ὄντας ἐπὶ τοῦ πορθμοῦ μάλιστα. Καλοῦντος δ᾽ αὐτὸν Ἀντωνίου κατὰ σπου- 7
δὴν, διέπλει πρὸς αὐτὸν ἐς τὸ Βρεντέσιον, ἐν ἀριστερᾷ ἔχων

Lin. 58. ὑπὸ ἔθους τε καὶ κλύδωνος Edd. corrupte ex Reg. A. ὑπὸ ἔθους τε κλύδωνος Reg. B. Verum dedit Aug. L. 66. ὑποχωρίσας Edd. Recte Aug. Reg. A. neque aliter a pr. manu dediſſe videtur Reg. B. L. 69. ἐδίδει mend. Edd. Recte Aug.

mole laborabant. Quo poſtquam acceſſit ſolita freti illius fluctuatio & reciprocatio undarum; minus laborabant *Pompejani*, adſueti mari fluctibus agitato; *Cæſariani*, ut in re inſolita, multum turbati, nec in veſtigio firmiter hærere, nec remos adtollere, nec clavos moderari ſatis poterant. Itaque, ſub ſolis occaſum, prior *Salvidienus* ſignum receptui dedit; ac tum demum ſuas *Pompeius* reduxit. Par autem utrimque navium numerus periit. Reliquas ex ſuis laceras peſſimeque adfectas reparaturus *Salvidienus*, in *Balarum* portum, qui ante fretum eſt, ſeſe recepit.

86. *Cæſar*, poſtquam in eam oram venit, Rheginis ac Vibonenſibus fidem ipſe dedit ſanctiſſimam, fore ut civitates illorum eximantur e numero deſtinatarum in victoriæ præmium: hos enim maxime timebat, ut freto vicinos. Sed propere tunc accitus ab Antonio, *Brunduſium* ad illum *navigavit*, relicta ad ſiniſtram

A. U. 712.

ἔχων Σικελίαν καὶ Πομπήϊον, καὶ Σικελίαν ὑπερθέμενος ἐν τῷ τότε. Μοῦρκος δέ, ἐπιόντος τοῦ Καίσαρος, ἵνα μὴ ἐν μέσῳ γένηται Ἀντωνίου τε καὶ Καίσαρος, μικρὸν ἀναχωρήσας τοῦ Βρεντεσίου, τὰς ὁλκάδας ἐφύλασσεν ἐν τῷ πόρῳ, τὸν στρατὸν ἐς Μακεδονίαν ἐκ τοῦ Βρεντεσίου διαφερούσας. αἱ δὲ προεπέμποντο μὲν ὑπὸ τριήρων· πνεύματος δὲ πολλοῦ κατὰ θεὸν οἰκείου γενομένου, διέπτησαν ἀδεῶς, οὐδὲν τῶν προπομπῶν δεηθεῖσαι. Καὶ ὁ Μοῦρκος ἀχθόμενος, ὅμως ἐφήδρευεν ἐπανιούσαις κεναῖς. αἱ δὲ καὶ τότε, καὶ αὖθις ἕτερον στρατὸν ἄγουσαι, διέπλεον ἱστίοις στρογγύλοις, μέχρι πᾶς ὁ στρατὸς καὶ ἐπ' αὐτῷ Καῖσάρ τε καὶ Ἀντώνιος διέπλευσαν. Καὶ ὁ Μοῦρκος, ὑπὸ τοῦ δαιμόνων βεβλάφθαι νομίζων, ὑπέμενεν ὅμως τὰς ἐκ τῆς Ἰταλίας αὐτοῖς διαπλεούσας παρασκευάς, ἢ τροφάς, ἢ τὸν ἐπισυλλεγόμενον στρατόν, βλάπτων ὅσα δύ-

Lin. 72. ἔχων Σικελίαν, Πομπήϊον *Edd. & carent* καὶ. *Rectius utique Aug.* *L. 75.* ἐφύλασσον *Regius uterque, vitiose.* *L. 78 sq.* διεπτήσαν ἀδεῶς *Edd. &* arripuere cursum *Cand.* διέπλευσαν *dedit Aug.* *L. 80.* ἐφήδρευσε *Edd. Praetuli Aug.* *L. 81.* καὶ τότε αὖθις *Aug. & caret altera* καὶ, *male.* *L. 86.* ἐπιλεγόμενον *Edd. Praetuli Aug. Ven.*

ad finistram Sicilia; quam, cum Pompejo, in aliud tempus differebat. Cujus adventum *Murcus* ubi cognovit; ne circumveniretur Antonianis cum Cæfarianis fe conjungentibus, paulum a Brundufio digreffus, in tranfitu obfervabat onerarias hoftium, quæ exercitum Brundufio tranfportabant in Macedoniam, & a paucis triremibus deducebantur. Sed illæ, valido tunc maxime profperoque vento adjutæ, ita fecure tranfvolarunt, ut fupervacaneum fuerit deducentium officium. *Murcus*, fruftratum fe dolens, nihilominus conatus eft in reditu intercipere vacuas. Sed illæ & tunc, & mox rurfus alio milite oneratæ, plenis velis evaferunt, donec *univerfus exercitus cum ipfo Cæfare Antonioque tranfvectus* eft. *Murcus*, quamvis iratam fibi fortunam putaret, nihilominus *perfeveravit*, dum commeatus, aut adparatus, aut militum fupplementa trajicerentur; incommodaturus his, quantum fieri poffet. Jamque

A. U. 712. ναιτο. καὶ αὐτῷ Δομίτιος Ἀηνόβαρβος ὑπὸ τῶν ἀμφὶ τὸν Κάσσιον ἐς τὸ αὐτὸ ἔργον, ὡς χρησιμώτατον δὴ, μετὰ νεῶν ἄλλων πεντήκοντα καὶ τέλους ἑτέρου καὶ τοξοτῶν ἐπέμφθη. ὡς γὰρ οὐκ ἔχουσι τοῖς ἀμφὶ τὸν Καίσαρα τροφὰς δαψιλεῖς ἑτέρωθεν, ἐδόκει τὰ ἐκ τῆς Ἰταλίας διακλείσειν. Οἱ μὲν δὴ ναυσί τε μακραῖς ἑκατὸν καὶ τριάκοντα, καὶ ὑπηρετικαῖς πλέοσι, καὶ στρατῷ πολλῷ, διαπλέοντες ἠνώχλουν.

LXXXVII. Δεκίδιος δὲ καὶ Νωρβανὸς, οὓς ὁ Καῖσαρ καὶ Ἀντώνιος μετὰ ὀκτὼ τελῶν ἐς Μακεδονίαν προεπεπόμφεσαν, ἐκ Μακεδονίας ἐχώρουν ἐπὶ Θράκης τῆς ὀρείου, χιλίους καὶ πεντακοσίους σταδίους· μέχρι, πόλιν ὑπερβάντες Φιλίππους, τὰ στενὰ τῶν Κορπίλων καὶ Σαπαίων, τῆς Ῥασκουπόλιδος ὄντα ἀρχῆς, κατέλαβον, ᾗ μόνη διελθεῖν ἐστιν ἐς τὴν Εὐρώπην ἐκ τῆς Ἀσίας τὴν γνώριμον ὁδόν. Καὶ τοῦτο τοῖς ἀμφὶ τὸν Κάσσιον, ἐς Ση-

Lin. 87. Δομίτιος δι' ὧν ὁ βάρβαρος *Reg. A. B.* Δομίτιος Ἀνηνοβάρβαρος *Aug.* *Emendavit C. Steph.* *L.* 89 *sq.* [illegible] *Edd.* *Recte* ἐπέμφθη *Aug.* - *L.* 94. διαπλέοντα *Edd.* διαπλέοντας *Aug. Ven.* *corruptum ex* διαπλέοντες, *quod h. l. expressit Cand. & quod alibi in eadem re dant Edd. & MSSti.* *L.* 95. Κεδίκιος *Edd. Cand.* Κεκίδιος *Aug.* *Correxi mendam.* *L.* 99. στενὰ τὰ *Edd.* τὰν ded. *Aug. Ven.* *Ib. sq.* Τερπιδῶν καὶ Σαλαπαίων *h. l. Edd. & MSS. corrupte.*

ei ad idem negotium, tamquam sane utilissimum, *Domitius* quoque *Ahenobarbus a Bruto Cassioque* cum aliis navibus quinquaginta, & legione una, sagittariorumque præsidio, *submissus* est. Nam quoniam commeatus Cæsarianis aliunde non admodum suppetebant; placuit prohibere, quominus subveherentur ex Italia. Hi itaque longis CL navibus, & pluribus minoribus, numerosoque exercitu, trajectum eum ultro citroque navigantes infestarunt.

87. Interim *Decidius et Norbanus*, qui a *Cæsare et Antonio cum octo legionibus in Macedoniam* fuerant *præmissi*, inde per montana versus Thraciam stadia mille quingenta emensi sunt; donec *ultra urbem Philippos* profecti, *fauces Corpilorum et Sapæorum*, quæ *in Rhascupolidis ditione* sunt, *occuparunt*: per quas solas ex Europa Asiam petentibus notum iter patet. Et hoc *Cassiani*, postquam

στὸν ἐξ Ἀβύδου περάσασι, πρῶτον ἀντεκεκρούκει. Ρασκούπολις δὲ καὶ Ράσκος ἤστην ἀδελφὼ Θρακίω βασιλικῶ, μιᾶς ἄρχοντε χώρας, οἱ τότε τῇ γνώμῃ περὶ τῆς συμμαχίας διεφέροντο· καὶ Ράσκος μὲν τοῖς ἀμφὶ τὸν Ἀντώνιον συνεμάχει, Ρασκούπολις δὲ τοῖς ἀμφὶ τὸν Κάσσιον, τρισχιλίους ἱππέας ἔχων ἑκάτερος. Πυνθανομένοις δὲ τοῖς ἀμφὶ τὸν Κάσσιον περὶ τῶν ὁδῶν, ὁ Ρασκούπολις ἔφη· Τὴν μὲν δι' Αἴνου καὶ Μαρωνείας, ἐπίτομόν τε καὶ συνήθη καὶ λεωφόρον οὖσαν, ἐπὶ τὰ Σαπαίων στενὰ ἄγειν· κατεχόντων δὲ αὐτὰ τῶν πολεμίων, ἀμήχανα ἐς δίοδον εἶναι· τὴν δὲ περίοδον τριπλασίονά τε καὶ χαλεπήν.

LXXXVIII. Οἱ δὲ, τοὺς πολεμίους ὑπολαβόντες οὐκ ἐς κώλυσιν μὲν σφῶν αὐτοῖς ἀπαντᾶν, τροφῶν δὲ ἀπορίᾳ ἐς Θρᾴκην ἀντὶ Μακεδονίας ὑπερβῆναι, ἐβάδιζον ἐπὶ Αἰ-

Lin. 5 sq. An βασιλίσκω? L. 6. ἐπέτε τῇ γνώμῃ *Edd. Recte Aug. Ven. L. 9 sq. Verba* τρισχιλίους [illegible] τὸν Κάσσιον *absunt ab Aug. male. Ibid.* ἔχων ἑκάτερος συνεμάχει. πυνθανομένοις *&c. Edd. Delevi verbum importune repetitum. L. 12 sq.* τὰ Σαπαίων *invitis h. l. Aug. & Cand. qui jam & paulo ante dederat* Sapeorum. *L. 15 sq.* χαλεπὴν οὐδέ· τοὺς δὲ πολεμίους *Edd. mend. Recte Aug. Ven. L. 17.* κώλυσιν ἰδῶν μὲν *Edd. Prætuli seriem verb. Aug. L. 18.* ἐβάδιζον οὖν ἐπὶ Αἰν. *Edd. & ante hæc verba majorem ponunt distinctionem. Prætuli Aug. Ven.*

Abydo Sestum trajecerant, primum impedimentum sibi objectum invenerunt *Rhascupolis* & *Rhascus* fratres erant *ex regio Thracum genere*, unius ditionis principes, qui tùm sententiis de societate variabant; & *Rhascus Antonianas*, *Rhascupolis Cassianas partes fovebat*, singuli cum ter millenis equitibus. Ceterum Cassianis *de ratione viarum* percontantibus, *Rhascupolis* ait „ eam quæ *per Ænum ac Maroneam* fert, compendiariam, publicam, & consuetam esse; sed inde eamdem pergere per *fauces Sapæorum*, ab hoste tunc occupatas, ac proinde nullo modo pervias: circuitum vero triplum esse, eumque difficilem."

88. *Cassius Brutusque*, rati, non tam præcludendi itineris causa occurrere sibi hostem, quam ob commeatuum inopiam ex Macedonia usque in Thraciam esse progressum,

A. U. 712. νου καὶ Μαρωνείας, ὅθεν ἐπὶ Λυσιμαχείας τε καὶ Καρδίας, αἳ τὸν ἰσθμὸν τῆς Θρᾳκίου χεῤῥονήσου διαλαμβάνουσιν ὥσπερ πύλαι· μετὰ δὲ ἄλλην ἡμέραν ἐς τὸν Μέλανα κόλπον ἀφίκοντο. Καὶ τὸν στρατὸν ἐξετάζουσιν αὐτοῖς ἐγένοντο πάντες ὁπλιτῶν ἐννεακαίδεκα τέλη, Βρούτου μὲν ὀκτὼ, Κασσίου δὲ ἐννέα, ἐντελὲς οὐδὲν, ἀλλ᾽ ἐς δύο που τέλη μάλιστα ἀναπληρούμενα, ὡς γίγνεσθαι μυριάδας ὁπλιτῶν ἀμφὶ τὰς ὀκτώ. ἱππεῖς δὲ ἦσαν, Βρούτῳ μὲν, Κελτοὶ καὶ Λυσιτανοὶ τετρακισχίλιοι, καὶ Θρᾷκες καὶ Ἰλλυριοὶ, Παρθηνοὶ καὶ Θεσσαλοὶ δισχίλιοι· Κασσίῳ δὲ Ἴβηρές τε καὶ Κελτοὶ δισχίλιοι, καὶ ἱπποτοξόται Ἄραβές τε καὶ Μῆδοι καὶ Παρθυαῖοι τετρακισχίλιοι. σύμμαχοι δὲ εἵποντο βασιλεῖς καὶ τετράρχαι Γαλατῶν τῶν ἐν Ἀσίᾳ, πεζόν τε ἄγοντες πολὺν ἄλλον, καὶ ἱππέας ὑπὲρ πεντακισχιλίους.

Lin. 19. *Forsan* ἕωθεν ἀπὸ Λυσιμ. *aut*, ἐβάδιζον τὴν ἐπὶ Αἴνου καὶ Μαρωνείας ὁδὸν ἀπὸ Λυσιμαχ. *Ibid.* Λυσιμαχίας *h. l. Edd. Prætuli Aug. & Reg. A.* *L.* 20. χεῤῥονήσου *Aug. ut alibi.* *L.* 28. Ἰλλύριοι *Edd. Mutavi accentum.* Ἰλλυριοὶ *h. l. Aug. Ven. Post hoc nomen autem videtur intercidisse numerus* τρισχίλιοι *vel* δισχίλιοι, *cum seq. particula* καὶ. *Ibid. Pro* Παρθηνοὶ *dant mend.* Παρθυαῖοι *Edd. ex Reg. A. Recte Aug. Ven. Duas lineas h. l. omisit Reg. B.* *L.* 30. Ἄῤῥαβές τε *Edd. Prætuli Aug.* *L.* 32. πεζῶν τε *Aug. Ven. & mox* πολὴν (*sic*) *Aug.*

versus Ænum & Maroneam moverunt. Itaque mane a *Lysimachia* & *Cardia* profecti, quæ urbes cervicem Chersonesi Thracicæ veluti portæ intercipiunt, altero inde die ad *Melanem sinum* pervenerunt. Ibi percensentibus copias præsto erant *legiones undeviginti*; *Cassii* novem, *Bruti* vero octo, quarum quidem nulla integra erat, sed illis accedebant duæ suis fere numeris completæ: ita ut in universum essent *circiter octoginta legionariorum millia.* Equitum vero *Brutus* habebat Gallorum Lusitanorumque quatuor millia; tum Thracum, Illyriorum, Parthenorumque & Thessalorum duo millia: *Cassius* Hispanorum & Gallorum duo millia, sagittariorum equestrium ex Arabia, Media, Parthia, quatuor millia. Sequebantur & socii Reges ac Tetrarchæ ex Gallogræcia, qui & pedestres alias copias ducebant, & equitum quinque millia.

LXXXIX. Τοσήδε μὲν στρατιὰ τοῖς ἀμφὶ τὸν Κάσσιον ἐπὶ τοῦ Μέλανος κόλπου διεκρίθη, καὶ τοσῆδε ἐχώρουν ἐπὶ τὸ ἔργον, τὴν λοιπὴν ἔχοντες ἐπὶ τῶν ἀλλαχόθι χρειῶν. Καθήραντες δὲ αὐτὴν τοῖς νομιζομένοις, ἀνεπλήρουν τὰς ἐκ τῶν ἐπηγγελμένων τισὶν ὀφειλομένας ἔτι δωρεάς· πολλῆς μὲν περιουσίας χρημάτων πεφροντικότες, οἰκειούμενοι δὲ ταῖς δόσεσιν αὐτοὺς, Γαΐῳ μάλιστα Καίσαρι τοὺς πλέονας ἐστρατευμένους, μή τις ἐς τὴν ὄψιν ἢ ὁμωνυμίαν τοῦ νέου Καίσαρος νεωτερίσειεν ἐλθόντος. Καὶ αὖθις ἔδοξε τούτου χάριν καὶ δημηγορῆσαι. βῆμά τε οὖν ἐπήχθη μέγα· καὶ οἱ στρατηγοὶ, μετὰ τῶν ἀπὸ τῆς βουλῆς μόνων ἐς αὐτὸ ἀναβάντες, ὁ δὲ στρατὸς αὐτῶν, ὅ τε ἴδιος καὶ συμμαχικὸς, κάτω περιστάντες, ἥδοντο εὐθὺς ἐπὶ τῇ ὄψει τοῦ πλήθους ἀλλήλων ἑκάτεροι, ἰσχυροτάτῃ σφίσι φανείσῃ· καὶ θάρσος ἦν ἀμφοτέροις αὐτίκα καὶ ἐλπὶς ἰσχυρὰ, τοσῶνδε στρατηγοῦσιν. Αὐτὰ

A. U. 712.

Lin. 42. *ὄψιν ἢ ὁμωνυμίαν τοῦ Edd. & MSS. nostri. Sed Cand.* ad conspectum aut appellationem*: ex quo correxi cum Gelen. & Musgrav. Ibid. sq.* ἐλθόντος καὶ αὖθις, *Edd. Recte distinxit Aug.*

89. Hæ fuere *copiæ Cassii Brutique*, ad Melanem sinum ab illis explicatæ discretæque: & hoc numero illi ad instans certamen sunt progressi; reliquis alibi, ubi eorum opera opus erat, relictis. Lustrato deinde ex more exercitu, promissum donativum militibus, quibus debebatur, repræsentatum est. Nam & abunde curatum fuerat, ut suppeterent pecuniæ, & opus erat favorem largitionibus quærere, præsertim veteranorum, qui plerique militarant sub Cæsare; ne ad conspectum aut nomen advenientis junioris Cæsaris mutarentur eorum animi. Qua de re etiam visum est rursus pro concione verba ad milites facere. Moxque suggestum in tribunalis speciem exstructum est: quod postquam imperatores conscenderunt cum solis senatoribus, & copiæ cum propriæ tum auxiliares inferiore loco circumsteterunt; lætissimus statim utrisque fuit mutuus conspectus, quod nihil firmius videretur aut validius; & utrumque imperatorem statim fiducia subiit & spes concepta ex amplitudine exercitus. Atque hoc ipsum maxime omni-

A. U. 712. τε πρῶτα πάντων τάδε τοῖς στρατηγοῖς τὸν στρατὸν ἐς πίστιν συνῆγε· τίκτουσι γὰρ εὔνοιαν ἐλπίδες κοιναί. Θροῦ δὲ ὡς ἐν τοσούτοις ὄντος, οἵ τε κήρυκες καὶ οἱ σαλπιγκταὶ σιωπὴν ἐποίουν· καὶ γενομένης ποτὲ, ὁ Κάσσιος (προὔχε γὰρ ἡλικίᾳ) προελθὼν μικρὸν ἐκ τῆς τάξεως ἐς τὸ μέσον, ἔλεξεν ὧδε·

XC. Ὁ ΜΕΝ ἀγὼν πρῶτον ὑμᾶς, ὦ Συστρατιῶται, κοινὸς ὤν, ἐς πίστιν ἀλλήλοις συνάγει· συνάπτει δὲ καὶ ὅσα ὑμῖν ὑποσχόμενοι πάντα ἔδομεν, ὃ μεγίστη πίστις ἐστὶ καὶ περὶ ὧν ἐς τὸ μέλλον ὑπισχνούμεθα. Αἱ δὲ ἐλπίδες εἰσὶν ἐν τῇ ἀρετῇ, ὑμῶν τε τῶν στρατευομένων, καὶ ἡμῶν, οὓς ἐπὶ τοῦ βήματος τοῦδε ὁρᾶτε, τοσούσδε καὶ τοιούσδε ἄνδρας ἀπὸ τῆς βουλῆς. ἔστι δὲ καὶ πλῆθος παρασκευῆς, ὅσον ἴστε, σίτου τε καὶ ὅπλων, καὶ χρημάτων, καὶ νεῶν, καὶ συμμάχων κατά τε ἔθνη καὶ βασιλέας. ὥστε τί χρὴ τῷ λόγῳ παρακαλεῖν ἐς προ-

Lin. 52. θορύβου *Eld. ex Reg. A.* θροῦ *dedit Aug. & Reg. B. neque aliter in Cod. Cand. fuisse videtur.* *L.* 55. διὰ τὸ μέσον *Aug. Ven.* *L.* 56. *Forsan* ὑμᾶς: *quod cum Gelenio maluit Musgrav.* *L.* 62. δὲ, *post* ἐστι, *adjeci ex Aug.* *L.* 64. καὶ τά τε ἔθνη *Aug. Ven. mend.*

um fidem firmam militum conciliavit imperatoribus: *solent* enim *spes communes mutuam parere benevolentiam.* Quum vero magnus esset, ut in tanta multitudine, strepitus; per præcones & tubicines indictum est silentium: & postquam tandem consiluerunt, CASSIUS (erat enim natu grandior) paululum extra ordinem progressus in medium, sic exorsus est:

90. „COMMUNE periculum, *COMMILITONES*, primus nobis ad *mutuam fidem* gradus est. Conciliant „nos & præstita a nobis omnia quæ polliciti eramus; quod certissimum pignus est eorum quoque, quæ in posterum vobis pollicemur. *Spes* autem omnis in virtute sita est, cum vestra, *Commilitones*, tum horum tot ac talium ex amplissimo Ordine virorum, quos in hoc suggesto conspicitis. Adest vero & adparatus (ut scitis) plurimus, commeatus, arma, pecuniæ, classes, auxilia, cum a provinciis, tum ab regibus. Itaque quorsum adtinet, verbis vos hortari ad *alacritatem et concordiam*,

θυμίαν τε καὶ ὁμόνοιαν, οὓς ἥ τε παρασκευὴ καὶ τὰ ἔργα κοινὰ εἶτα συνάγει. Περὶ δὲ ὧν διαβάλλουσιν ἡμᾶς A. U. 712. δύο ἄνδρες ἐχθροὶ, ἴστε μὲν αὐτὰ ἀκριβέστατα, καὶ δι' αὐτὸ συστρατεύεσθε ἡμῖν ἑτοίμως. δοκεῖ δὲ καὶ νῦν ἐπεξελθεῖν ἐπὶ τὴν αἰτίαν, ἣ μάλιστα ἐπιδείκνυσι τοῦ πολέμου καλλίστην τε οὖσαν ἡμῖν καὶ δικαιοτάτην τὴν πρόφασιν.

XCI. Ἡμεῖς γὰρ Καίσαρα, ἐν μὲν τοῖς πολέμοις συστρατευόμενοί τε αὐτῷ μεθ' ὑμῶν καὶ στρατηγοῦντες, ἐπὶ μέγα ἤρομεν, καὶ φίλοι διετελοῦμεν ὄντες, ὡς μὴ δοκεῖν αὐτὸν δι' ἔχθραν ὑφ' ἡμῶν ἐπιβεβουλεῦσθαι. Τὰ δὲ ἐς τὴν εἰρήνην ἐπίμεμπτος ἦν, οὐχ ἡμῖν τοῖς φίλοις, (ἐπεὶ κἀν τούτοις προυτιμώμεθα·) ἀλλὰ τοῖς νόμοις καὶ τῷ κόσμῳ τῆς πολιτείας· ὧν οὐδεὶς νόμος, οὔτε ἀριστοκρατικὸς, κύριος, οὔτε δημοτικὸς, ἔτι ἦν· ἅπερ ἅπαντα οἱ πατέρες ἡμῶν ὤμοσαν, ὅτε τοὺς βασιλέας ἐκβαλόντες ἐπώμοσαν, καὶ ἐπηράσαντο, οὐκ ἀνέξεσθαι βασι-

Lin. 70. ἐπὶ τὴν αἰτίαν *Aug.* *L.* 73 *sq.* συστρατευόμενόν τε *Aug. Ven. male.* *L.* 74. καὶ συστρατηγοῦντες *maluerat H. Steph.*

„ quos & communis adparatus & res consociatæ conciliant? Quod autem ad calumnias adtinet, quas contra nos jactant duo illi viri, quos hostes habemus; intelligitis eas quidem exactissime, & idcirco nobis promtam navatis operam: sed visum est tamen etiam nunc *caussam nostram exponere*, quo magis adpareat *honestissimum ac justissimum hoc nostrum belli gerendi propositum.*

91. „ Nos enim *Cæsarem*, nostris vestrisque armis & nostro ductu bella gerentem, multum eveximus, & ita constantes in ejusdem fuimus amicitia, ut *nemini videri possimus inimicitiæ caussa mortem ejus quæsivisse.* Sed in eis rebus, quas togatus Cæsar gessit, in crimen incurrit, non injuriæ alicujus nobis amicis ipsius illatæ, (quippe etiam tunc in honore præ ceteris apud eum fuimus;) sed oppressarum legum, & eversæ totius reipublicæ; sublata & senatus auctoritate omni, & populi potestate. Quæ omnia majores nostri constituerant, quum fugatis regibus jurejurando & devotionibus se obstrinxerunt, numquam posthac regiam la-

A. U. 711.

λέων ἐς τὸ μέλλον ἑτέρων. ᾧ τινι ὅρκῳ βοηθοῦντες, οἱ τῶν ὀμωμοκότων ἔκγονοι, καὶ τὰς ἀρὰς ἀπευχόμενοι ἀφ᾽ ἑαυτῶν, οὐχ᾽ ὑπεμείναμεν ἐς πολὺ περιιδεῖν ἕνα ἄνδρα (εἰ δὲ καὶ φίλος ἦν ἡμῖν καὶ χρήσιμος) τά τε κοινὰ χρήματα καὶ στρατόπεδα καὶ χειροτονίας ἀρχῶν, ἀπὸ τοῦ δήμου, καὶ ἡγεμονίας ἐθνῶν, ἀπὸ τῆς βουλῆς, ἐς ἑαυτὸν περιφέροντα, καὶ νόμον ἀντὶ τῶν νόμων, καὶ κύριον ἀντὶ τοῦ δήμου, καὶ αὐτοκράτορα ἀντὶ τῆς βουλῆς γιγνόμενον ἐς ἅπαντα.

XCII. Ὧν ἴσως ὑμεῖς οὐκ ἀκριβῶς ᾐσθάνεσθε, ἀλλὰ μόνην αὐτοῦ τὴν ἐν τοῖς πολέμοις ἀρετὴν ἑωρᾶτε. νῦν δὲ ῥᾳδίως τε ἂν καὶ ἐκ μόνου τοῦ περὶ ὑμᾶς μέρους καταμάθοιτε. Ὁ γὰρ δῆμος ὑμεῖς ἐν μὲν τοῖς πολέμοις ὑπακούετε ἐς πάντα, ὡς κυρίοις, τοῖς στρατηγοῖς. τὸ δὲ κῦρος τόδε ἐν τοῖς εἰρηνικοῖς ἐφ᾽ ἡμῖν ἀντιλαμβάνετε αὐτοί· προβουλευούσης μὲν τῆς βουλῆς, ἵνα μὴ σφαλείητε, κρίνοντες δ᾽ αὐτοὶ καὶ ψηφιζόμενοι κατὰ φυλὰς ἢ λό-

Lin. 85. ὑπέμειναν ἐς πολὺ *Edd. Prætuli Aug. Ven.* *L.* 89. καὶ νόμους *Edd. invitis Reg. A. Aug. Ven. In Reg. B. duæ lineæ a pr. manu omissæ, & ab alia manu margini adscriptæ sunt: & ibi νόμους pro νόμον.* *L.* 97. ἐφ᾽ ὑμῖν *voluit Musgr.*

„turos potentiam. Id jusjurandum ne violaretur, nos, illorum posteri, vetuimus, & diras a nobis ipsis averruncavimus: non sustinentes committere diutius, ut unus homo, quamvis nobis amicus atque commodus, pecunias publicas, exercitus, creationes magistratuum, a populo, jus conferendi provincias, a senatu, in sese transferret; ut, pro legibus, hujus voluntas; pro potestate populi, hujus dominatio; pro senatus auctoritate, hujus imperium unice valeret.

92. „Et illa quidem vos fortasse non satis persensistis; sed solam ejus virtutem bellicam estis admirati. Nunc vero facile, vel ex ea parte quæ ad vos proxime pertinet, intelligetis. *Vos* enim, qui *de Populo* estis, *in bello quidem ducibus vestris paretis, veluti dominis. Sed in pace vicissim eamdem potestatem vos ipsi in nos accipitis.* Et senatus quidem de eis rebus, quæ ad vos referuntur, ante deliberat, quo minus vos fallamini: sed ipsi vos judicatis; vestrisque comitiis, sive tributis,

χους, καὶ ἀποφαίνοντες ὑπάτους τε καὶ δημάρχους καὶ στρατηγούς. ἐπὶ δὲ ταῖς χειροτονίαις καὶ τὰ μέγιστα δικάζετε, κολάζοντες ἢ τιμῶντες, ὅτε κολάσεως ἢ τιμῆς ἀξίως ἄρξαιμεν ὑμῶν. Ἡ δὲ ἀντίδοσις ἥδε τήν τε ἡγεμονίαν, ὦ πολῖται, ἐς εὐδαιμονίαν ἄκραν ὑπερήγαγε, καὶ τοὺς ἀξίους ἐτίμησε· καὶ οἱ τετιμημένοι χάριν εἶχον ὑμῖν. Ἀπὸ ταύτης τῆς ἐξουσίας ὕπατον ἐποιήσασθε Σκιπίωνα, ὅτε αὐτῷ περὶ Λιβύην ἐμαρτυρήσατε· καὶ δημάρχους ἐποιεῖσθε ἀνὰ ἔτος ἕκαστον, οὓς ἐβούλεσθε, διοισομένους ἡμῖν ὑπὲρ ὑμῶν εἰ δέοι. καὶ τί μοι καταλέγειν τὰ πολλά, ὅσα ἴστε; A. U. 712.

XCIII. Ἀλλ᾽ οὐκ, ἀφ᾽ οὗ Καῖσαρ ἐδυνάστευσεν, οὐκ ἀρχήν τινα, οὐ στρατηγόν, οὐχ ὕπατον, οὐ δήμαρχον ἐχειροτονήσατε ἔτι, οὐκ ἐμαρτυρήσατε οὐδενί, οὐκ ἀμοιβὴν εἴχετε δοῦναι μαρτυροῦντες. ἐν κεφαλαίῳ δὲ εἰπεῖν,

Lin. 8 *sq.* δημάρχους ἐποιήσατε *Edd. Prætuli Aug. Reg. B.* *L.* 9. οὓς ἐβουλεύσεσθαι *Aug. mend.* *L.* 10. διοισ. ὑμῖν *Edd. Rectius Aug. & Reg. B, quod jam viderat H. Steph.*

„ sive centuriatis, creantur consules, tribuni plebis, prætores. Tum quos vestris suffragiis ad honores promovistis, in eos deinceps iidem vos de rebus maximi momenti exercetis judicium: pœnasque aut præmia decernitis, prout in gerendis magistratibus vel reprehensionem vel laudem commeruimus. Atque hæc *potestatis reciprocatio*, QUIRITES, imperium nostrum ad summam felicitatem evexit. Sic honores dignis sunt collati: & hi, qui a vobis ornati sunt, vobis gratiam retulerunt. Pro hac vestra potestate Scipionem fecistis consulem, „quum ei rerum in Africa præclare gestarum exhibuistis testimonium: & tribunos plebis quotannis creastis vestro arbitratu, qui, si ita vestra utilitas postularet, nobis intercederent. Et quid opus est plura, quæ vobis non incognita sunt, enumerare!

93. „ Ex quo autem *Cæsar* dominationem ad se rapuit, nullum amplius magistratum, non prætorem, non consulem, non tribunum plebis creastis vestris suffragiis, nullius virtuti tulistis testimonium; aut, si tulistis, nullo præmio potuistis remunerari. Et, verbo ut dicam, nemo vobis ullam

A. U. 712. οὐδεὶς ὑμῖν χάριν ὤφειλεν, οὐκ ἀρχῆς, οὐχ ἡγεμονίας, οὐκ εὐθυνῶν, οὐ δίκης. Ὃ δὲ οἴκτιστον ἁπάντων ἐγένετο, οὐδ' αὐτοῖς ἐδυνήθητε ἐπικουρῆσαι τοῖς δημάρχοις ὑμῶν ὑβριζομένοις, ἥν τινα ἀΐδιον ὑμῶν αὐτῶν ἀρχὴν ἐστήσασθε εἶναι, καὶ ἱερὰν καὶ ἄσυλον ἀπεφήνατε. ἀλλὰ καὶ τοὺς ἀσύλους εἴδετε τὴν ἀρχὴν τὴν ἄσυλον καὶ τὴν ἐσθῆτα τὴν ἱερὰν ἐς ὕβριν ἀφαιρουμένους, ἀκρίτους, ἀπὸ μόνου προστάγματος, ὅτι ἔδοξαν ὑπὲρ ὑμῶν χαλεπῆναι τοῖς καὶ βασιλέα αὐτὸν ἐθέλουσι προσαγορεῦσαι. ὃ καὶ μάλιστα ἐπαχθῶς ἤνεγκεν ἡ βουλὴ δι' ὑμᾶς· ὑμετέρα γάρ, καὶ οὐ τῆς βουλῆς, ἐστὶν ἡ τῶν δημάρχων ἀρχή. ἐπιμέμψασθαι δὲ σαφῶς οὐ δυναμένη τὸν ἄνδρα, οὐδ' ἐς κρίσιν ἐπαγαγεῖν, διὰ ἰσχὺν στρατοπέδων· ἃ καὶ αὐτά, τέως ὄντα τῆς πόλεως, ἑαυτοῦ ἐπεποίητο ἴδια· τὸν ἔτι λοιπὸν τρόπον ἀμύνασθαι τὴν τυραννίδα ἐπενόησεν, ἐς τὸ σῶμα ἐπιβουλεύσασα.

Lin. 16. οὐδὲ εἰς (*sic*, *pro* οὐδὲ εἷς) *Aug.* *L.* 19. *Pro* ἀΐδιον *puto* ἴδιον *legendum cum Gelenio.*

„ amplius gratiam habuit, five ob acceptum in Urbe magistratum, five ob collatam provinciam exercitumve; nemo de repetundis aut alio crimine postulatus, ob favorem in judicio exhibitum. Quod vero omnium fuit miserrimum, ne *tribunos* quidem *vestros* ab injuria potuistis defendere; quem *proprium vestrum* ac peculiarem vobis *magistratum* constituistis, & *sacrosanctum et inviolatum* esse volueratis. Sed hos ipsos sacrosanctos viros vidistis sacrosancto magistratu & sacrata veste spoliari per injuriam, indemnatos, & ad solum unius viri „ mandatum, quia vestram vicem dolentes visi erant obstare quibusdam eo progressis ut *Regem* quoque illum vellent adpellari. Quod & senatus, propter vos maxime, tulit ægerrime: non enim illorum, sed vester, magistratus tribunitia dignitas est. Sed quum non possent aperte accusare hominem & judicio sistere, propter robur exercituum qui illi præsto erant; (quos eosdem quoque, quum fuissent reipublicæ, sibi ipse proprios fecerat;) quo solo modo poterant, statuerunt reprimere tyrannidem, in vitam ejus conspiratione facta.

XCIV. Ἔδει δὲ τὴν μὲν γνώμην γενέσθαι τῶν ἀρίστων· τὸ δὲ ἔργον, ὀλίγων. ἐπεὶ δὲ ἐγένετο, αὐτίκα ἡ βουλὴ τὴν κοινὴν γνώμην ἐξέφηνε, σαφῶς μὲν, ὅτε καὶ γέρα τυραννοκτονικὰ ἐψηφίζοντο εἶναι. ἐπισχόντος δὲ αὐτοὺς Ἀντωνίου, καὶ ὑποκρισιν ἀταραξίας, καὶ οὐδ' ἡμῶν ἀξιούντων διὰ γέρα τῇ πόλει μᾶλλον, ἢ δι' αὐτὴν τὴν πατρίδα, βοηθεῖν· τοῦδε μὲν ἀπέσχοντο, οὐκ ἐθέλοντες ἐξυβρίζειν τῷ Καίσαρι, ἀλλὰ μόνης τῆς τυραννίδος ἀπηλλάχθαι· ἀμνηστίαν δὲ ἁπάντων ἐψηφίσαντο εἶναι, καὶ σαφέστερον ἔτι, φόνου μὴ εἶναι δίκας. καὶ μετὰ μικρὸν, Ἀντωνίου τὸ πλῆθος ἐφ' ἡμῖν δημοκοπήσαντος, ἡ βουλὴ καὶ ἀρχὰς ἐθνῶν τῶν μεγίστων καὶ ἡγεμονίας ἔδοσαν ἡμῖν, καὶ γῆς ἀπέφηναν ἡγεῖσθαι πάσης ἀπὸ τοῦ Ἰονίου μέχρι Συρίας· πότερον ὡς ἐναγεῖς κολάζοντες, ἢ ὡς ἀνδροφόνους πορφύρᾳ τε ἱερᾷ καὶ ῥάβδοις καὶ πε- A. U. 712.

Lin. 35 sq. δὲ αὐτοῖς *Edd. Recte Aug. L. 36.* ὑποκρ. ἀταραξίας *Reg. A.* cavendi tumultus (ut videri volebat) gratia. *Gelen. L. 44.* ἁπάσης *Edd. ex Reg. A. Prætuli Aug. & Reg. B. a prim. man. L. 45.* Ἰωνίου *edit. 2. 3. male & invitis MSS. L. 46. Post* ἀνδροφόνους *hypostigmen ponit Aug. Sed pro* ἀνδροφόνους, *nisi ibi interci-*

94. „Sic autem necesse fuit, ut *consilium* esset, *optimi cujusque*; *factum* ipsum, *paucorum.* Quod postquam perfectum est, continuo senatus communem sententiam aperuit, & clarissime quidem, quoniam *præmia* etiam censuit *tyrannicidis decernenda.* Sed revocati ab eo consilio patres per *Antonium*, astute dissimulantem quas excitaturus esset turbas; quum nos ipsi quoque nullum honestius præmium duceremus, quam utilitatem patriæ; omiserunt illud, nolueruntque ignominia notari Cæsarem, libertate contenti restituta. Tantum *oblivio* „*præteritorum decreta* est; ac disertioribus etiam verbis adjectum decreto est, *quæstionem de Cæsaris nece non esse habendam.* Nec multo post, Antonio plebem contra nos exasperante concionibus, *senatus et provincias maximas et exercitus nobis dedit*: jussitque, ut quidquid terrarum a mari Adriatico patet usque Syriam, nostra imperata faceret. Quo decreto patrum, utrum tamquam *nefarii homicidæ* pœna adfecti vobis videmur? an tamquam *tyrannicidæ* sacrata purpura virgisque ac securibus insigniti?

A. U. 712. λέκεσι περικοσμοῦντες; ᾧ λόγῳ καὶ Πομπήιον τὸν νέον, οὐδὲν μὲν ἐς ταῦτα συνειργασμένον, ὅτι δὲ μόνον Πομπηίου Μάγνου τοῦ πρώτου περὶ τῆς δημοκρατίας ἀγωνισαμένου παῖς, καὶ ὅτι μικρὰ τὴν τυραννίδα ἠνώχλει λανθάνων περὶ Ἰβηρίαν, κατεκάλεσέ τε ἐκ τῆς φυγῆς, καὶ τὸ τίμημα αὐτῷ τῶν πατρῴων ἐκ τῶν κοινῶν ἔκριναν ἀποδοῦναι χρημάτων, καὶ θαλασσοκράτορα ἀπέφηναν· ἵνα κἀκεῖνος ἀρχήν τινα ἔχοι, δημοκρατικὸς ὤν. Τί δὴ πλέον ἔργον ἔτι τῆς βουλῆς ἢ σύμβολον ἐπιζητεῖτε, τοῦ κατὰ γνώμην αὐτῆς πάντα πεπρᾶχθαι, πλὴν ἢ λόγῳ μόνον ὑμῖν ἔτι ὁμολογῆσαι; ὃ καὶ αὐτὸ πράξουσι, καὶ ἐροῦσι· καὶ λέγοντες ἅμα ὑμᾶς ἀμείψονται μεγάλαις δωρεαῖς, ὅταν εἰπεῖν καὶ ἀμείψασθαι δύνωνται.

XCV. Νῦν μὲν γὰρ ὡς ἔχουσιν, ἴστε. προγράφονται χωρὶς δίκης, καὶ τὰ ὄντα αὐτοῖς δημεύεται, καὶ κτείνονται χωρὶς καταδίκης ἐν οἰκίαις, ἐν στενωποῖς, ἐν ἱεροῖς, ὑπὸ στρατιωτῶν, ὑπὸ θεραπόντων, ὑπὸ ἐχθρῶν, ἐκ μυχῶν ἀνασπώμενοι, καὶ διωκόμενοι πανταχῇ, τῶν

dit aliquid, utique videtur ἐγκαινεκῶνται legendum, quod expressit Cand. & probavit H. Stephan.

„ Quemadmodum & *juvenem Pompejum*, quamvis conſpirationis illius expertem, tantum quia *Magni*, qui primus arma pro republica ſumſerat, eſſet filius, & quia paululum tyrannidi obſtiterat latitans in Hiſpania, revocarunt ab exilio; decretumque eſt ei paternorum bonorum pretium ex ærario reſtituendum, & maris imperium inſuper, ne & hic fautor reipublicæ ſine magiſtratu eſſet. Quodnam igitur efficacius ſignum, aut quod luculentius *documentum voluntatis ſenatus adprobatique* „ *hujus facti* requiritis? niſi forte, ut verbis etiam id vobis patres profiteantur? Atqui id ipſum quoque facient, dicentque, ſimulque referent vobis ampliſſima præmia, quum primum eis integrum fuerit.

95. „ Nunc enim quo ſtatu ſint res eorum, ſcitis. *Proſcribuntur indicta cauſa*, bona eorum publicantur; indemnati *occiduntur* in domibus, in viis, in templis, a militibus, a mancipiis, ab inimicis; e penitiſſimis latebris extrahuntur, perquiruntur ubique a perſecutoribus; quum leges

νόμων τὸν ἐθέλοντα φεύγειν ἑαυτῶν. Ἐς δὲ τὴν ἀγοράν, ἐς ἣν οὐδενὸς πολεμίου κεφαλήν, ἀλλὰ ὅπλα μόνα καὶ ἔμβολα νεῶν ἐφέρομεν, ὑπάτων ἀντὶ καὶ στρατηγῶν καὶ δημάρχων καὶ ἀγορανόμων καὶ ἱππέων κεφαλαὶ πρόκεινται· καὶ γέρα τούτων ἐστὶ τῶν κακῶν ὡρισμένα. τοῦτο γὰρ ἐπανάστασίς τις ἐστὶ πάντων, ὅσα τέως ἦν ὕπουλα· καὶ ἀνδρολήψια αἰφνίδια, καὶ μύση ποικίλα γυναικῶν τε καὶ υἱῶν, καὶ ἀπελευθέρων καὶ οἰκετῶν. ἐς τοσοῦτον ἤδη καὶ τοὺς τρόπους ἡ πόλις ἐπιτέτριπται. Καὶ τῶνδε τοῖς πονηροῖς ἡγεμόνες εἰσὶν οἱ τρεῖς ἄνδρες, αὐτοὶ πρὸ τῶν ἄλλων ἀδελφοὺς καὶ θείους καὶ ἐπιτρόπους προγράψαντες. Λέγεταί ποτε πρὸς τῶν ἀγριωτάτων βαρβάρων ἡ πόλις ἁλῶναι. καὶ οὐδενὸς ἀπέτεμνον οἱ Κελτοὶ κεφαλάς, οὐδὲ ἐνύβριζον ἀνῃρημένοις, οὐδὲ πολεμοῦσιν ἔτι λαθεῖν ἢ φυγεῖν ἐφθόνουν. οὐδ᾽ αὐτοί πω πόλιν οὐδεμίαν, ὧν δορὶ ἐλάβομεν, τοιαῦτα διεθήκαμεν, οὐδὲ ἑτέρους ἐπυθόμεθα διαθεῖναι, οἷα νῦν οὐκ ἰδιῶτις

A. U. 712.

Lin. 70. τις *caret Aug. non male.* *Ibid.* ἐστὶ καὶ πάντων *Edd. Delevi* καὶ *cum Aug. & Reg. A.* *L.* 71. μίση *Edd. Recte Aug.* μύση *Reg. B. a pr. man. ex* μίση *deflexum.*

„ fugam saltem & ultro quæsitum exilium indulgeant volentibus. In foro, quo numquam hostis ullius caput, sed arma tantum & rostra navium referebantur, hodie consularium, prætorum, tribunorum plebis, ædilium, equitum Romanorum capita spectantur proposita; & ibidem horum maleficiorum repræsentantur præmia. Commota sunt enim omnia, & eruperunt quæcumque prius suppurata latebant: neque quisquam tutus est quin subito abripiatur ad supplicium, proditus uxoris quoque aut filiorum, libertorum, servorumve flagitio: tanta etiam morum pestis Urbem invasit. Ad eaque flagitia perditis hominibus exemplo præivere *Tres illi*, qui a propriis fratribus, ab avunculis, a tutoribus suis, proscriptionis fecerunt initium. Fertur olim Urbs nostra capta a ferissimâ ex barbaris nationibus: at nullius tamen caput absciderunt Galli, nec illuserunt occisis, nec inviderunt latebras aut fugam hostibus. Neque nos umquam in ullam bello captam urbem ita sæviimus, aut alios sævisse auditu cognovimus, sicut nunc *Urbs* non

A. U. 712.

πόλις, ἀλλ᾽ ἡγεμονὶς, ἀδικεῖται πρὸς τῶν αὐτὴν ἁρμόσαι καὶ διορθῶσαι τὰ κοινὰ κεχειροτονημένων. Τί τοιοῦτον εἰργάσατο Ταρκύνιος; ὃν διὰ μιᾶς γυναικὸς ὕβριν, ἐξ ἔρωτος γενομένην, βασιλέα τε ὄντα ἐξέβαλον, καὶ βα- 8
σιλεύεσθαι διὰ ἓν ἔργον οὐκέτι ὑπέστησαν.

XCVI. Καὶ τάδε, ὦ πολῖται, πράσσοντες οἱ τρεῖς, ἡμᾶς ἐναγεῖς λέγουσι· καὶ φασὶ μὲν ἀμύνειν Καίσαρι, προγράφουσι δὲ τοὺς οὐδ᾽ ἐπιδημοῦντας ὅτε ἀνῄρητο. ὧν καὶ οἵδε εἰσὶν οἱ πλέονες, οὓς ὁρᾶτε, διὰ πλοῦτον ἢ 9
γένος ἢ γνώμην δημοκρατικῆς διανοίας προγεγραμμένοι. ᾯ λόγῳ καὶ Πομπήϊος μεθ᾽ ἡμῶν προεγράφη· πόῤῥω μὲν ὢν περὶ Ἰβηρίαν, ὅτε ἡμεῖς ἐδρῶμεν. ὅτι δὲ ἐστὶ δημοκρατικοῦ πατρὸς, διὰ τὴν αὐτὴν αἰτίαν ὑπὸ μὲν τῆς βουλῆς κατεκλήθη τε καὶ θαλασσοκράτωρ ἐγένετο, ὑπὸ δὲ τῶν 9
τριῶν προεγράφη. Τί δὲ γυναῖκες ἐπὶ Καίσαρι συνέγνωσαν, αἱ ἐς φόρας προγεγραμμέναι; Τί δὲ ὁ δῆμος, ὁ

„ vulgaris, sed *rerum domina*, *tractatur indignissime a magistratu creato ad constituendam et corrigendam rempublicam.* Quid tale fecit *Tarquinius*? quem propter unam mulierem, vim ab amatore passam, nostri majores, rex quum esset, regno expulerunt? & ob unum illud facinus non sustinuerunt sub regibus degere in posterum?

96. „ Ac talia, *o CIVES*, dum perpetrant Triumviri, *impios nos homicidasque* vocant; & cædem ulcisci dicentes Cæsaris, viros proscribunt, qui ne in Urbe quidem fuerant quum ille occisus est. Quorum e numero plerique ex his „ sunt, quos hoc loco conspicitis, propter divitias, aut genus, aut mentem reipublicæ amantem, proscriptos. Quemadmodum & Pompejus nobiscum proscriptus est, qui, quo tempore gestum a nobis illud factum est, procul abfuit in Hispania: sed nimirum, quoniam patre prognatus est amante reipublicæ, idcirco & a senatu revocatus marisque imperio præfectus est, & a Triumviris proscriptione dignus judicatus. Quid, mulieres etiamne conspirationis in Cæsarem fuere participes? quarum bona proscripta sunt. Quid plebeji homines? qui, novis tributis exactionibusque

μέχρι δέκα μυριάδων τιμᾶσθαι τὰ ὄντα κεκελευσμένος ὑπὸ μηνύμασι καὶ ζημίαις, ᾧ τέλη καινὰ καὶ ἐσφορὰς ἐπιγράφουσι; Καὶ τάδε πράσσοντες, οὐδ᾽ ὣς ἀνεπλήρωσαν τοῖς στρατευομένοις σφίσι τὰς δωρεάς. Ἡμεῖς δέ, οἷς ἀσεβὲς οὐδὲν εἴργασται, καὶ τὰ ἐπηγγελμένα δεδώκαμεν, καὶ ἕτερα ἕτοιμα ἔχομεν ἐς ἀμοιβὰς μείζονας. Οὕτως ἡμῖν καὶ τὸ δαιμόνιον, ὡς δίκαια πράσσουσιν, ἐπιλαμβάνει. A. U. 712.

XCVII. Ἐπὶ δέ γε τῷ δαιμονίῳ καὶ τὰ τῶν ἀνθρώπων ὁρᾶν ἔχετε, ἐς τοὺς ὑμῶν πολίτας ἀποβλέποντες· οὓς εἴδετε μὲν στρατηγοῦντας ὑμῶν πολλάκις, καὶ ὑπατεύοντας, καὶ ἐπαινουμένους, ὁρᾶτε δὲ πρὸς ἡμᾶς ὡς εὐαγεῖς καὶ δημοκρατικοὺς καταπεφευγότας, καὶ τὰ ἡμέτερα ᾑρημένους, καὶ συνευχομένους ἡμῖν ἐς τὰ λοιπὰ καὶ συναιρομένους. πολὺ γὰρ δικαιότερα ἡμεῖς γέρα τοῖς περισώσασιν αὐτοὺς ἐκηρύξαμεν, ὧν ἐκεῖνοι τοῖς ἀναιροῦ-

Lin. 4. ἔχομεν, ἐπαμοιβὰς μείζονας *Aug.* *L.* 8. *Malim* ἐς τούσδε τοὺς. *L.* 10. καί, *ante* ἐπαινουμένους, *abeſt ab Edd. invitis MSStis. Verba nonnulla h. l. inſerit Cand.* Conſules, & ad ſummum dignitatis elatos gradum laudatos viros. *L.* 14. περισώσασι *maluit H. Steph.*

„ vexati, quidquid ſupra quadringenta millia HS. in bonis habent, juſſi ſunt profiteri, mulcta indicta ni faciant, mercede indicibus propoſita. At illi, talibus licet artibus uſi, ne ſic quidem militibus ſuis debita donativa perſolverunt. Nos vero, qui nihil contra jus ac fas egimus, promiſſa vobis reddidimus præmia, & alia ad majores remunerationes parata habemus: adeo *dii* quoque *noſtris favent partibus*, *ut juſtioribus.*

97. „ Sed præter deorum judicium, quæ ſint etiam *hominum de noſtra cauſa ſententiæ*, pariter cognoſcere vobis licet; hos eoſdem cives veſtros intuentibus: quos ſæpe in bellis duces veſtros, in pace conſules vidiſtis, utrobique laudatos; nunc videtis ad *nos*, tamquam *juſtiſſima in cauſa verſantes et partes tuentes reipublicæ*, confugiſſe; conſilia, vota, arma, pro felici rerum noſtrarum exitu, nobiſcum conſociantes. Nos enim multo juſtiora præmia horum ſervatoribus, quam Triumviri percuſſoribus, ſumus polliciti. Videntque iidem, nos neque

A. U. 712.

σιν. οὐδὲ ὁρῶσιν ἡμᾶς Γάϊον μὲν, ὅτι ἠξίου μόνος ἄρχειν, ἀνῃρηκότας· τοὺς δὲ τὴν ἐκείνου περιποιουμένους ἀρχὴν ὑπερορᾷν μέλλοντας, καὶ μὴ δὲ ἐς ἑαυτοὺς, ἀλλ' ἐς τὸ μέσον τῷ δήμῳ, προτιθέντας τὴν πολιτείαν κατὰ τὰ πάτρια. Ὡς οὖν οὐκ ἀπὸ τῆς αὐτῆς γνώμης αἱρουμένων πολεμεῖν ἑκατέρων, ἀλλὰ τῶν μὲν ὑπὲρ δυναστείας καὶ τυραννίδος, ἣν ἐν ταῖς προγραφαῖς ἐπέδειξαν ἤδη· ἡμῶν δὲ οὐδὲν ἀλλ' ἢ μόνον, ἵνα, τῆς πατρίδος ἐλευθερωθείσης, ἰδιωτεύοιμεν ὑπὸ τοῖς νόμοις· εἰκότως οἵδε τε οἱ ἄνδρες, καὶ πρὸ τούτων οἱ θεοὶ, τὰ ἡμέτερα κρίνουσι. Μεγίστη δὲ ἐλπὶς ἐν πολέμοις ἐστὶ τὸ δίκαιον.

XCVIII. Μὴ δέ τῳ, εἰ Καίσαρος ἐγένετο στρατιώτης, ἐπὶ νοῦν ἔτι ἴτω. οὐ γὰρ ἐκείνου γε ἦμεν οὐδὲ τότε, ἀλλὰ τῆς πατρίδος· οὐδ' οἱ διδόμενοι μισθοὶ καὶ δωρεαὶ Καίσαρος ἦσαν,

Lin. 17. καὶ μὴ ἐς αὐτοὺς *Edd. Expressi lectionem Aug. Post* ἑαυτοὺς *autem non spernam* περισπῶντας, *aut aliud simile participium, quod h. l. intercidisse H. Stephano etiam visum erat. L.* 18 *sq.* κατὰ τὰ πάτρια προγράφεται *edit.* 1. conscripta est *Cand.* προγράφεσθαι *edit.* 2. 3. *ex H. Steph. ingenio. Delevi omnino verbum cum MS. Aug. L.* 24. κρινοῦσι *Edd. & MSS. nostri. Mutavi accentum. L.* 26. μὴ δὲ τῶν εἰς Καίσ. *mend. Aug. L.* 28. δόμενοι *Edd. Recte Aug. Ven.*

„ nunc, postquam Cæsarem eo quod solus dominari voluit sustulimus, hos esse laturos, qui illius ad se rapere imperium conantur; neque vero id nos agere, ut ipsi potiamur rerum, sed ut populo in commune restituamus acceptam a majoribus rempublicam. Atque ita merito de causa nostra sic judicant dii hominesque: *longe diversum esse nostrum bellandi consilium ab hostium proposito: illos pro dominatione pugnare et pro tyrannide, cujus specimen ista proscriptione dederunt; nos nil aliud sequi, nisi ut, patria in libertatem vindicata, privati sub legibus vivere queamus.* Neque vero quidquam est, quod in bellis majorem facere spem debeat, quam *causæ justitia.*

98. „ Neque vero, *si qui vestrum sub Cæsare olim stipendia fecerunt*, ea nunc cogitatio movere vos debet. Etenim ne tunc quidem *Cæsari*, sed *patriæ*, militavimus: neque a *Cæsare* stipendia aut donativa accepimus, sed a republica:

σαρος ἦσαν, ἀλλὰ τοῦ κοινοῦ. ἐπεὶ οὐδὲ νῦν ἐστε Κασσίου στρατὸς, οὐδὲ Βρούτου μᾶλλον, ἢ Ῥωμαίων· ἡμεῖς δὲ ἐσμὲν ὑμῖν συστρατιῶται, Ῥωμαίων στρατηγοί. Καὶ εἰ τόδε καὶ οἱ πολεμοῦντες ἡμῖν ἐφρόνουν, εἶη ἂν ἀκινδύνως ἅπασι τὰ ὅπλα καταθέσθαι, καὶ τοὺς στρατοὺς πάντας ἀποδοῦναι τῇ πόλει, κἀκείνην ἑλέσθαι τὰ συνοίσοντα· καὶ, εἰ δέχονται ταῦτα, προκαλούμεθα. ἐπεὶ δὲ οὐ δέχονται, (οὐδ᾽ ἂν δέξαιντο ἔτι, διὰ τὰς προγραφὰς καὶ ὅσα ἄλλα ἔδρασαν·) ἴωμεν, ὦ συστρατιῶται, μετά τε πίστεως ὑγιοῦς καὶ προθυμίας ἀδόλου στρατευόμενοι Ῥωμαίων τῇ τε βουλῇ καὶ τῷ δήμῳ μόνοις, ὑπὲρ ἐλευθερίας. A. U. 712.

XCIX. Ἀναβοησάντων δὲ πάντων; Ἴωμεν, καὶ εὐθὺς ἄγειν ἀξιούντων, ἡσθεὶς ὁ Κάσσιος τῇ προθυμίᾳ, κατεκήρυξεν αὖθις σιωπὴν, καὶ αὖθις ἔλεγε· Θεοὶ μὲν, ὅσοι πολέμων δικαίων δεσπόται, τῆς πίστεως ὑμᾶς, ὦ συστρατιῶται, καὶ προθυμίας ἀμείβοιντο. Τὰ δ᾽ ἐς ἀνθρωπίνην στρατηγῶν πρόνοιαν, καὶ, ὅτι πλέονα καὶ ἀμεί-

Lin. 31 *sq.* καὶ εἰδότες οἱ πολεμ. *Reg. B. mend.* *L.* 38. στρατευσόμενοι *Edd. Praetuli Aug. Cand.*

„*republica* : quemadmodum nec nunc *Cassii Brutive exercitus* estis magis, quam *populi Romani*; *nos* vero *commilitones vestri* sumus, Romani populi imperatores. Quod si in hoc hostibus eadem, quæ nobis, mens esset; liceret omnibus tuto arma deponere, & exercitus suos reddere reipublicæ, ut illa in commune consulat. Quæ si eis placet conditio, a nobis in eam invitati sunto! Sed quoniam non placet; (nam ne integrum quidem illis jam amplius est eam admittere, propter proscriptiones istas aliaque eorum facinora;) *eamus*, COMMILITONES! & bona fide sinceroque studio, nullius nisi Senatus Populique Romani auspicia sequentes, *pugnemus pro libertate!*"

99. Ad eam vocem omnes, *Eamus*! conclamarunt; &, ut protinus adversus hostem ducerentur, postularunt. Qua alacritate lætus CASSIUS, silentio per præcones rursus facto, sic exorsus est denuo: „DII, quibus justa bella curæ sunt, pro hac fide vobis, *COMMILITONES*, faxint bene. Quod vero ad humanam imperatorum providentiam adtinet, quanto *adpa-*

A. U. 712. νενά ἐστιν ἡμῖν ἢ τοῖς πολεμίοις, μάθετε οὕτως. Τέλη μὲν ὁπλιτῶν ἴσα αὐτοῖς ἀντεπάγομεν, πολλὰ καὶ ἐπὶ τῶν χρειῶν ἄλλα πολλαχοῦ καταλιπόντες· ἱππεῦσι δὲ καὶ ναυσὶ πολὺ προύχομεν, καὶ συμμάχοις βασιλεῦσί τε καὶ ἔθνεσι τοῖς μέχρι Μήδων καὶ Παρθυαίων. Καὶ ἡμῖν μὲν ἐκ μετώπου μόνον εἰσὶ πολέμιοι. ἡμεῖς δ' αὐτῶν καὶ κατὰ νώτου Πομπήϊόν τε ὁμογνώμονα ἡμῖν ἔχομεν ἐν Σικελίᾳ· καὶ Μοῦρκος ἐν τῷ Ἰονίῳ, καὶ Αηνόβαρβος στόλῳ πολλῷ καὶ ὑπηρεσίᾳ δαψιλεῖ, καὶ δύο τέλεσι στρατοῦ καὶ τοξόταις, αἰεὶ διαπλέοντες ἐνοχλοῦσιν ἄλλα, καθαρευούσης πολεμίων ἡμῖν τῆς ὄπισθεν γῆς καὶ θαλάσσης. Χρήματά γε μὴν, ἅ τινες καλοῦσι νεῦρα πολέμου, τοῖς μὲν οὐκ ἔστιν· οὐδὲ ἀπέδωκάν πω τὰ ὑπεσχημένα τῷ στρατῷ, οὐδὲ κατὰ δόξαν ἀπήντησε τὰ τῶν προγραφῶν, οὐδενὸς τῶν ἐπιεικῶν ὠνουμένου χωρία

Lin. 53 sq. ἐν Σικελίᾳ, καὶ Μοῦρκον ἐν τῷ Ἰονίῳ. καὶ ἦν ὁ Ναρβανὸς στόλῳ *&c. Edd. & Cand. corrupte.* Μοῦρκος *dedit Aug.* Αηνόβαρβος *dedit Ven. cum in Aug. h. l. (ut sæpe alibi) esset* Αινοβάρβαρος. *L.* 55. τεξόται *Edd. Cand. mend. Recte Aug. Ibid. sqq.* ἐνοχλοῦσιν. ἀλλὰ καθαρευούσης . . . γῆς καὶ θαλάσσης, χρήματά γε μὴν *&c. Edd. & MSS. Pratuli lect. Cand.* ἄλα, *pro* ἀλλὰ *vel* ἄλλα, *maluisse videtur Gelenius. L.* 58. οὐκ ἔστιν *caret Aug. male.*

„*ratus noster et res nostræ potiores* sint, *quam hostium*, nunc discite. *Numero legionum* pares sumus, quamvis multis etiam locis reliquimus opportuna præsidia. Equitatu autem & classibus longe prævalemus; sicut & auxiliis, quæ missa nobis sunt ab omnibus usque ad Medorum Parthorumque regna pertinentibus regibus atque populis. Hostem vero nos a fronte tantum habemus. Illis a tergo quoque *Pompejus est, socius noster, in Sicilia: & Murcus* „*et Ahenobarbus* in mari Jonio numerosa classe, cum plurimis navalibus sociis duabusque legionibus & sagittariorum manu, ultro citroque navigantes, aliis locis hostem infestant; quum nobis a tergo terra marique pacata sint omnia. Jam *pecunia*, quæ *belli nervus* a nonnullis solet vocari, istis quidem nulla est: neque persolverunt quæ promiserant exercitui; nec proventus ex proscriptionibus respondit exspectationi, quod nemo bonus prædia emere

A. U. 712.

ἐπίφθονα· οὐδ᾽ ἑτέρωθεν εὐποροῦσι, τετρυμένης στάσεσι καὶ ἐσφοραῖς καὶ προγραφαῖς τῆς Ἰταλίας. Ἡμῖν δὲ, ἐκ πολλῆς φροντίδος, καὶ τὰ παρόντα ἐστὶ δαψιλῆ, ὡς αὐτίκα ὑμῖν ἄλλα χαρίσασθαι, καὶ ἕτερα πολλὰ ἐπὶ τούτοις ἀπὸ τῶν ὄπισθεν ἐθνῶν προσοδεύεται συμφερόμενα.

C. Τροφαὶ δὲ, ὃ δυσπορώτατόν ἐστι στρατοῖς μεγάλοις, ἐκείνοις μὲν οὐκ εἰσὶ, πλὴν ἐκ μόνης Μακεδονίας, ἔθνους ὀρείου, καὶ Θεσσαλίας, χώρας βραχείας· καὶ τάδε χρὴ κατὰ γῆν αὐτοῖς φέρεσθαι κακοπαθοῦσιν. εἰ δ᾽ ἐκ Λιβύης ἐπάγοιντο ἢ Λευκανίας ἢ Ἰαπυγίας, διακλείσουσι πάντα Πομπήϊός τε καὶ Μοῦρκος καὶ Δομίτιος. Ἡμῖν δὲ καὶ εἰσὶ, καὶ φέρονται καθ᾽ ἑκάστην ἡμέραν ἀπόνως διὰ θαλάσσης ἔκ τε νήσων καὶ ἠπείρων ἁπασῶν, ὅσαι ἀπὸ Θράκης ἐπὶ ποταμὸν Εὐφράτην· καὶ τάδε ἀκωλύτως, οὐδενὸς ἡμῖν ὄντος ὄπισθεν ἐχθροῦ· ὥστ᾽ ἐφ᾽ ἡμῖν ἔσται, καὶ ταχύνειν τὸ ἔργον, καὶ ἐπὶ σχολῆς

Lin. 61. τετρυμμένης *Edd. MSS. Delevi alterum* μ, *ut passim alibi.* *L.* 75. ὡς διὰ Θράκης *Edd. & MSS. nostri, quod ex facili conject. emendandum duxi.* a Thracia *Cand.*

„ invidiosa cupit; nec aliunde admodum eis pecunia suppetit, exhausta seditionibus exactionibusque & proscriptionibus Italia. Nobis vero sedulo prospectum est, ut & nunc abunde habeamus, protinusque vobis nova etiam donativa dare possimus, & ut multæ præterea aliæ pecuniæ, a provinciis, quas a tergo reliquimus, collatæ, ad nos deferantur.

100. „ *Commeatus* autem, quæ præcipua difficultas est in magnis exercitibus, illis ex sola Macedonia petendi sunt, regione montana, & „ ex non late patente Thessalia; idque terrestri subvectione, cum labore maximo: quos si ex Africa petierint aut Lucania vel Apulia, intercludent omnia *Pompejus* aut *Murcus* & *Ahenobarbus.* Nobis vero & jam nunc sunt, & comportantur quotidie, nullo labore, per mare, ex omnibus insulis & provinciis quæ Thraciam interjacent & Euphratem fluvium: idque nemine prohibente, quum nihil hostile nobis a tergo sit. Itaque penes nos erit, vel cito decernere, vel trahendo bellum fame ad-

A. U. 712. ἐκτρύχειν τοὺς πολεμίους λιμῷ. Τοσάδε μὲν ὑμῖν καὶ τοιάδε ἐστὶν, ὦ συστρατιῶται, παρ' ἀνθρωπίνης φροντίδος ἕτοιμα. Τὰ δὲ λοιπὰ αὐτοῖς ἀνὰ λόγον ἀπαντήσειε, παρά τε ὑμῶν, καὶ παρὰ τῶν θεῶν. Ἡμεῖς δ' ὑμῖν, ἐπὶ τοῖς προτέροις, ἀποδόντες ἅπαντα ὅσα ὑπεσχήμεθα, καὶ τὴν πίστιν ὑμῶν ἀμειψάμενοι πλήθει δωρεῶν, ἀμειψόμεθα καὶ τὸ μεῖζον ἔργον ἀξίως αὐτοῦ, κατὰ γνώμην θεῶν. Καὶ νῦν δὲ, ὅσον ἐς προθυμίαν, ἰοῦσιν ἐπὶ τὸ ἔργον ἤδη, συνόδου τῆσδε καὶ λόγων τῶνδε ἕνεκα, ἐπιδώσομεν εὐθὺς ἀπὸ τοῦδε τοῦ βήματος, στρατιώτῃ μὲν χιλίας καὶ πεντακοσίας δραχμὰς Ἰταλικὰς, λοχαγῷ δὲ πενταπλάσιον, καὶ χιλιάρχῃ δὲ τὸ ἀνάλογον.

CI. Ταῦτα εἰπὼν, καὶ παρασκευάσας τὸν στρατὸν ἔργῳ καὶ λόγῳ καὶ δωρεαῖς, διέλυε τὴν ἐκκλησίαν. Οἱ δὲ, ἐπιμένοντες, ἐπῄνουν ἐπιπλεῖστον αὐτόν τε καὶ Βροῦτον, καὶ περὶ σφῶν ὅσα εἰκὸς ἦν ὑπισχνοῦντο. Οἱ δὲ αὐτοῖς τὴν δωρεὰν αὐτίκα διηρίθμουν, καὶ ἕτερα ὑπὲρ αὐτὴν κα-

Lin. 80. ἀνάλογον *Edd. cum Reg. B. & Aug. Prætuli Reg. A.* *L.* 86. λόγου τῶνδε *Aug.* *L.* 91. καὶ λόγῳ *caret Reg. B.*

„ terere hostem. Hæc talia sunt ac tanta, *COMMILITONES*, quæ humana cura vobis provisa sunt. Reliqua & *a vestra virtute et a diis propitiis*, his consentanea, exspectanda sunt. Nos vero, sicut pro priori vestra opera vobis, quidquid polliciti eramus, persolvimus, fidemque vestram cumulatis donativis pensavimus; ita *majus* illud, quod instat, *opus dignis præmiis*, diis volentibus, *prosequemur.* Sed quum *jam nunc*, ad promtitudinem quidem quod adtinet vestram, ad ipsum „ certamen pergatis; hujus congressus & harum vestrarum vocum caussa, *etiam nunc statim* ab hac concione repræsentabimus militi sex millia H S., centurioni quincuplum, & tribuno pro portione."

101. Hæc locutus CASSIUS, conciliato sibi milite rebus, verbis, largitionibus, concionem dimisit. Milites autem, diu adhuc manentes, laudabant *Cassium Brutumque*, & strenuam eis ad omnia operam pollicebantur. Moxque imperatores donativum adnumerarunt singulis; & nonnihil

τὰ προφάσεις πολλὰς τοῖς ἀρίστοις. τοὺς δὲ λαμβάνοντας αἰεὶ κατὰ μέρη προαπέλυον ἐς Δορίσκον, καὶ αὐτοὶ μετ᾽ ὀλίγον ἐφείποντο. Δύο δὲ αἰετοὶ, καταπτάντες ἐς τῶν σημείων δύο αἰετοὺς ἀπ᾽ ἀργύρου πεποιημένους, ἐκόλαπτον αὐτοὺς, ἢ, ὡς ἑτέροις δοκεῖ, περιέσκεπον· καὶ παρέμενον, δημοσίας τε τροφῆς ὑπὸ τῶν στρατηγῶν ἠξιοῦντο, μέχρι πρὸ μιᾶς τῆς μάχης ἡμέρας ἀπέπτησαν. Δύο δὲ ἡμέραις τὸν Μέλανα κόλπον περιοδεύσαντες, ἐς Αἶνον ἀφίκοντο, καὶ ἐπὶ Αἴνῳ Δορίσκον τε καὶ ὅσα ἄλλα μέχρι Σερρείου ὄρους παράλια.

A. U. 712.

CII. Τοῦ δὲ Σερρείου προύχοντος ἐς τὸ πέλαγος, αὐτοὶ μὲν ἐς τὰ μεσόγαια ἀνεχώρουν, Τίλλιον δὲ Κίμβρον μετὰ τοῦ ναυτικοῦ καὶ τέλους ὁπλιτῶν ἑνὸς καὶ τοξοτῶν τινων τὴν ἀκτὴν περιπλεῖν ἔπεμπον· ἣ πάλαι μὲν ἦν ἐρημοτάτη, καίπερ εὔγεως οὖσα, τῶν Θρακῶν οὔτε θαλάσσῃ χρωμένων, οὔτε ἐς τὰ παράλια κατιόντων, ὑπὸ δέους

Lin. 96. Δορίσκον *h. l. edit.* 1. *sed mox* Δορισκ. *L.* 98. δύο αἰετοὺς *Aug.* *L.* 99. περιέσκεπτον *Edd. mend. Recte Aug.* *L.* 6. δὲ *inter* τοῦ *&* Σερρείου *inserui ex Aug.* *L.* 7. Τύλλιον *Edd. ex Cand. qui dat* Tullium: *& sic iidem rursus deinceps* Τύλλιος: *invitis quatuor nostris MSS.*

etiam fortissimo cuique adjecerunt, varias causas interferentes. Tum milites, ut quique priores donativum acceperant, ita præmittebantur *Doriscum*: & paulo post eodem imperatores secuti sunt. Eo tempore aquilæ duæ, superne demissæ, argenteas signiferorum aquilas insederunt, tundentes rostris, vel, ut alii tradunt, alis protegentes: permanseruntque apud agmen, alentibus imperatoribus ex publico; ac pridie demum quam pugna commissa est, avolarunt. Agmen, intra biduum per oram sinus Melanis circumductum, *Ænum* pervenit, & inde *Doriscum*, aliaque maritima oppida usque *Serrium promontorium*.

102. Ibi, quoniam in mare protenditur *Serrium*, ad mediterranea *Cassius Brutusque* deflexerunt. *Tillium* vero *Cimbrum*, cum classe legioneque una & nonnullis sagittariis, oram legere jusserunt. Ea ora, quamvis culturæ apta, olim quidem fuerat desertissima; quod Thraces abstinerent a mari, neque ad litora descenderent metu incursa-

A. U. 712.

τῶν ἐπιπλεόντων· Ἑλλήνων δὲ αὐτὴν, ἑτέρων τε καὶ Χαλκιδέων, καταλαβόντων, καὶ θαλάσσῃ χρωμένων, ἤνθει ταῖς ἐμπορίαις καὶ γεωργίαις, χαιρόντων σφίσι καὶ τῶν Θρακῶν διὰ τὴν τῶν ὡραίων ἄμειψιν· μέχρι Φίλιππος, ὁ Ἀμύντου, τούς τε ἄλλους καὶ Χαλκιδέας ἀνέστησεν, ὡς μηδὲν ἔτι πλὴν οἰκόπεδα μόνον ἱερῶν ὁρᾶσθαι. Τήνδε οὖν τὴν ἀκτὴν, αὖθις ἔρημον οὖσαν, ὁ Τίλλιος παραπλέων, ὡς οἱ πρὸς τῶν ἀμφὶ τὸν Βροῦτον εἴρητο, στρατοπέδοις ἐπιτήδεια χωρία ἀνεμέτρει καὶ διέγραφε, καὶ ταῖς ναυσὶ κατὰ μέρη προσέπλουν, ἵν' οἱ περὶ τὸν Νωρβανὸν, ὡς ἀχρεῖον ἔτι τὸ τηρεῖν, τὰ στενὰ ἐκλίποιεν. καὶ ἐγένετο μὲν, ὡς προσεδόκησαν. Ὑπὸ γὰρ τῆς φαντασίας τῶν νεῶν ὁ Νωρβανὸς ἐπὶ τῶν Σαπαίων στενῶν ἐθορυβήθη, καὶ ἐκάλει Δεκίδιον ἐκ τῶν Κορπίλων κατὰ σπουδὴν ἐπικουρεῖν οἱ· καὶ ἐπεκούρει. τὰ δὲ τῶν Κορπίλων στενὰ ἐκλειφθέντα οἱ περὶ τὸν Βροῦτον διώδευον.

Lin. 15. τῶν ἱερῶν ἄμειψιν *edit.* 1. *cum Regiis.* ὀρῶν *edit.* 2. 3. & montium *Cand. Verum, quod vidit Musgravius, dedit Aug.* *L.* 22. ἀχρεῖον ἐστι τὸ *Edd. Aug. Levem mendam corrigere non dubitavi.* *L.* 25. Κεδίκιον *Edd. & Cand.* Καιδίκιον *h. l. Aug.* Κιδίκιον *Reg. B. Correxi, ut supra. Ibid. & l.* 27. Τουρπίλων *utrimque Edd. & MSS. mend.*

tionum, quæ a præternavigantibus fieri possent: deinde a Chalcidensibus aliisque Græcis rei maritimæ adsuetis occupata, floruerat agricultura simul & exterorum commerciis; gaudentibus quoque ea re Thracibus, propter opportunam fructuum æstivorum permutationem: ad extremum vero Philippus, Amyntæ filius, cum Chalcidenses tum ceteros inde rursus ejecit, ut nihil aliud jam præter templorum ruinas ibi conspiceretur. Hanc igitur oram rursus desertam *Cimber* legens, quemadmodum ei a *Cassio Brutoque* fuerat mandatum, opportuna castris loca dimetiebatur & designabat, itidemque stationes aliquot navibus; quo fore sperabant, ut Norbaniani, servare fauces jam supervacuum ducentes, inde abscederent: quod & factum est. *Norbanus* enim, quamprimum classis in eis locis conspecta est, faucibus Sapæorum timens, vocavit ad se *Decidium* e *Corpilis*, ut propere sibi succurreret. Qui postquam cum illo se conjunxit; per relictas *Corpilorum* fauces *Brutus Cassiusque* transierunt.

CIII. Ἐκφανείσης δὲ τῆς ἐνέδρας, ὁ Νωρβανὸς καὶ ὁ Δεκίδιος τὰ Σαπαίων κατεῖχον ἰσχυρῶς. καὶ πάλιν ἦν ἄπορα τοῖς ἀμφὶ τὸν Βροῦτον· ἀθυμία τε ἐνέπιπλε, μὴ δέοι σφᾶς ἧς ὑπερεωράκεσαν περιόδου νῦν ἄρχεσθαι, καὶ ἀνακυκλεύειν τὰ ἠνυσμένα, ὀψὲ καὶ τοῦ χρόνου καὶ τῆς ὥρας γεγονότων. Ὧδε δὲ αὐτοῖς ἔχουσιν ὁ Ῥασκούπολις ἔφη, περίοδον εἶναι παρ' αὐτὸ τὸ τῶν Σαπαίων ὄρος, ἡμερῶν τριῶν, ἄβατον μὲν ἀνθρώποις ἐς τὸ νῦν, ὑπό τε κρημνῶν καὶ ἀνυδρίας καὶ ὕλης πυκνῆς· ἢν δὲ ἐθέλωσιν ὕδωρ τε ἐπάγεσθαι, καὶ ὁδοποιεῖν στενὴν καὶ αὐτάρκη δίοδον, οὐ γνωσθήσεσθαι μὲν διὰ τὴν συνηρεφίαν οὐδὲ οἰωνοῖς· τῇ τετάρτῃ δὲ ἐπὶ Ἀρπησσὸν ποταμὸν ἥξειν, ἐκπίπτοντα ἐς τὸν Ἕβρον, ὅθεν ἡμέρας ἔτι μιᾶς ἐν Φιλίπποις ἔσεσθαι, τοὺς πολεμίους περιλαβόντας, ὡς ἀπειλῆφθαι τέλεον αὐτούς, καὶ οὐδὲ ἀναχώρησιν ἕξειν. Τοῖς δὲ ἐδόκει τὰ λεγόμενα, τῆς τε ἄλλης ἀπορίας οὕνεκα, *A. U. 712.*

Lin. 29. *Rursus* Κεδίκιος *Edd. Et magis corrupte* Κεκίλιος *MSSti. L.* 31. ὑπερεωράκεσαν *Edd. ex Reg. B. Praetuli Aug. Reg. A. L.* 32. ἠνυσμένα *Aug. L.* 34. τὸ *post* αὐτὸ *caret Reg. B. L.* 35. ἐς τὸ νῦν *Aug. L.* 39. Arpessum *Cand. L.* 40. Ἕρμον *edit.* 1. *cum MSStis & Cand.* Ἑρμὸν *edit.* 2. 3. *Mutavi in* Ἕβρον, *cum Gelenio.*

103. Eo dolo deprehenso, *Norbanus Decidiusque Sapaeas fauces* tanto validius *obtinuerunt*: & rursus *ademtus est Cassianis transitus*; simulque conciderunt eis animi, timentibus ne jam oporteat dispendiosam illam viam inire, quam contempserant, & iter emensum repetere, urgente jam tempore, & aestate ad exitum properante. Ita sollicitis *Rascupolis* indicavit, „esse circuitum praeter ipsum *Sapaeorum* montem dierum trium, inaccessum quidem hominibus ad eum diem, ob „rupes & aquae inopiam saltusque densissimos: sed, quod si non pigeat aquam secum ferre, & viam angustam munire quantam sufficiat ad transitum, non fore conspicuos ne avibus quidem propter condensitatem arborum; quarto vero die venturos ad *Harpessum fluvium*, qui in *Hebrum* incidit: inde *Philippos* iter esse unius adhuc diei: quo ubi pervenerint, circumventuros hostem, ut nullum ei pateat effugium." Placuit hoc consilium, cum quod non aliud melius aliunde suppete-

A. U. 712. καὶ ἐλπίδι μάλιστα τοῦ περιλήψεσθαι τοσόνδε στρατὸν πολεμίων.

CIV. Προπέμπουσιν οὖν μέρος, Λευκίῳ Βύβλῳ παραδόντες, ὁδοποιεῖν μετὰ τοῦ Ρασκουπόλιδος. οἱ δ', ἐπιμόχθως μὲν, ὅμως δὲ ἔπραττον αὐτὸ, μετὰ ὁρμῆς καὶ προθυμίας· καὶ μᾶλλον, ἐπεί τινες αὐτοῖς προπεμφθέντες ἐπανῆλθον, ἰδεῖν τὸν ποταμὸν ἐξ ἀπόπτου λέγοντες. Τῇ δὲ τετάρτῃ κάμνοντες ὑπό τε κόπου καὶ δίψους, ἐπιλιπόντος ἤδη τι καὶ τοῦ ὕδατος ὃ ἐπήγοντο, ἀνέστρεφον, ὅτι τριήμερον σφίσι τὸ ἄνυδρον ἐλέγετο εἶναι, καὶ ἐν φόβῳ πανικῷ περὶ ἐνέδρας ἐγίγνοντο· οὐκ ἀπιστοῦντες μὲν τοῖς προπεμφθεῖσι, τὸν ποταμὸν ἰδεῖν, ἡγούμενοι δὲ ἑτέραν ἄγεσθαι. καὶ ἠθύμουν, καὶ ἐβόων, καὶ τὸν Ρασκούπολιν, ὅτε ἴδοιεν περιθέοντα καὶ παρακαλοῦντα, ἐλοιδόρουν καὶ ἔβαλλον. Βύβλου δὲ αὐτοὺς ἱκετεύοντος ἐκπονῆσαι τὰ λοιπὰ μετ' εὐφημίας, ὁ πο-

Lin. 46. Βίβλῳ, & *paulo inferius* Βίβλου. *Edd. non male. Revocavi constantem scripturam MSStorum; quamquam semel alibi rectius* Βίβουλος *dederant omnes.* *L.* 47. Ρασκυπολ. *h. l. edit.* 1. *sed mox rursus* Ρασκουπ. *L.* 52. ἐπιλειπόντος (*sic*) *Edd.* ἐπιλειπόντος *Aug. quod mutavi in* ιλ, *unde deflexum est.*

bat, tum maxime propter spem tantas hostium copias circumveniendi.

104. Itaque partem quamdam copiarum, *L. Bibulo* duce, præmittunt una cum *Rascupolide*, qui viam munirent. Illi magno quidem labore, sed impigre & alacriter, perfecerunt mandatum; tantoque magis, postquam longius præmissi nonnulli redierant nunciantes, se ex editiore loco vidisse eminus fluvium. Quarto vero die, fessi labore ac siti, jam deficiente quoque quam secum tulerant aqua, reputabant prædictam sibi in triduum tantummodo aquæ inopiam; consternatique subito, insidias suspicabantur, non quod non crederent nunciantibus visum fluvium, sed quod in aliam partem se ductos esse putarent. Itaque mœstos clamores edebant; & *Rascupolim*, quoties circumcursantem hortantemque viderent, saxis petebant & conviciis. *Bibulo* autem rogante suppliciter, ut perdurarent bonis avibus; circa vesperam a primo agmi-

ταμὸς περὶ ἑσπέραν ἑωρᾶτο τοῖς πρώτοις· καὶ βοῆς (ὡς εἰκὸς) λαμπρᾶς ἐπὶ τῇ χαρᾷ γενομένης, ἡ βοὴ, μεταλαμβανόντων αὐτὴν τῶν κατόπιν ἑξῆς, ἐπὶ τοὺς ὑστάτους περιῄει. Βροῦτος δὲ καὶ Κάσσιος, ἐπεὶ ἔμαθον, ἵεντο αὐτίκα δρόμῳ, διὰ τῆς τετμημένης τὸν ἄλλον στρατὸν ἄγοντες. Οὐ μὴν ἔλαθόν γε τοὺς πολεμίους ἐς τέλος, οὐδὲ περιέλαβον αὐτούς. Ὁ γάρ τοι Ῥάσκος, ὁ ἀδελφὸς τοῦ Ῥασκουπόλιδος, ἐκ τῆς βοῆς ὑπονοήσας, ἐσκέψατο· καὶ τὸ γιγνόμενον ἰδὼν, ἐθαύμασε μὲν ὁδὸν ἄνυδρον ἐλθόντος στρατοῦ τοσοῦδε, ἣν οὐδὲ θηρίον ᾤετο ὁδεύσειν διὰ τοιᾶσδε ὕλης· καὶ ἀνήγγειλε τοῖς ἀμφὶ τὸν Νωρβανόν. οἱ δὲ νυκτὸς ἔφευγον ἐκ τῶν Σαπαίων ἐπ' Ἀμφιπόλεως. Καὶ οἱ Θρᾷκες ἄμφω διὰ στόματος ἦσαν ἐν τοῖς στρατοῖς· ὁ μὲν, ἀγνοουμένην ἀγαγών· ὁ δ', οὐκ ἀγνοήσας. A. U. 712.

CV. Οἱ δ' ἀμφὶ τὸν Βροῦτον ἐκ παραλόγου τόλμης ἐς Φιλίππους παρῆλθον, ἔνθα αὐτοῖς καὶ ὁ Τίλλιος ἐπι-

Lin. 61. Pro λαμπρᾶς *dant* ἱλαρᾶς *Edd. ex Reg. B. in quo tamen ab ead. manu superſcriptum* λαμπρᾶς, *quod unice agnoſcunt Reg. A. Aug. Ven. L. 63.* ἵεντο *Edd. & MSS. ut paſſim alias. L. 67.* ἐπεσκέψατο *Edd. Prætuli lectionem Aug. Reg. B. quam & lineola ſub literis* πε *ſubducta indicat Reg. A. L. 69.* ἣν οὐδὲ *caret Aug. male. Ibid.* θηρίων *edit. 1. mend. L. 72.* ἐν τοῖς στρατηγοῖς *Aug. Ven. male. L. 75.* Τύλλιος *rurſus Edd. invit. MSS.*

ne conſpectus eſt fluvius: conclamatumque, ut par erat, maximis vocibus præ gaudio; clamorem proximis ad poſtremum uſque agmen excipientibus. His cognitis *Brutus Caſſiuſque* raptim per apertam ab illis viam reliquum traduxerunt exercitum. Nec tamen hoſtem hoc iter omnino fefellit: nec circumventus eſt. Nam *Raſcus*, *frater Raſcupolidis*, ex clamore ſuſpicatus rem, exploravit: utque vidit factum, miratus, per ſqualentem ariditate viam, quam ne feris quidem putaverat propter tales ſaltus perviam, tantas tranſiiſſe copias, renunciavit Norbano omnia. Et *Norbanus* cum ſuis noctu e *Sapæis fugit verſus Amphipolim*: & ambo Thraces celebrabantur in exercitibus; alter, quod per ignotas vias duxerit; alter, quod eum id non latuerit.

105. Sic BRUTUS ET CASSIUS mirifica audacia PHILIPPOS *pervenere*: eodem-

A. U. 712.

κατήχθη, καὶ πᾶς ὁ στρατὸς συνεληλύθει. Οἱ δὲ Φίλιπποι, πόλις ἐστὶν, ἡ Δάτος ὠνομάζετο πάλαι, καὶ Κρηνίδες ἔτι πρὸ Δάτου· κρῆναι γάρ εἰσι περὶ τῷ λόφῳ ναμάτων πολλαί. Φίλιππος δὲ, ὡς εὔφυες ἐπὶ Θρᾷκας χωρίον, ὠχύρωσέ τε, καὶ ἀφ᾽ ἑαυτοῦ Φιλίππους προσεῖπεν. Ἔστι δὲ ἡ πόλις ἐπὶ λόφου περικρήμνου, τοσαύτη τὸ μέγεθος, ὅσον ἐστὶ τοῦ λόφου τὸ εὖρος. ἔχει δὲ πρὸς μὲν ἄρκτῳ δρυμοὺς, δι᾽ ὧν ὁ Ρασκούπολις ἤγαγε τοὺς ἀμφὶ τὸν Βροῦτον· πρὸς δὲ τῇ μεσημβρίᾳ ἕλος ἐστὶ, καὶ θάλασσα μετ᾽ αὐτό· κατὰ δὲ τὴν ἕω, τὰ στενὰ τῶν Σαπαίων τε καὶ Κορπίλων· ἐκ δὲ τῆς δύσεως, πεδίον, μέχρι Μουρκίνου τε καὶ Δραβίσκου καὶ ποταμοῦ Στρυμόνος, τριακοσίων που καὶ πεντήκοντα σταδίων, εὔφορον πάνυ καὶ καλόν. ἔνθα καὶ τὸ πάθος τῇ Κόρῃ φασὶν ἀνθιζομένῃ γενέσθαι, καὶ ποταμός ἐστι Ζυγάκτης, ἐν ᾧ τοῦ θεοῦ περῶντος τὸ ἅρμα τὸν ζυγὸν ἆξαι λέγουσι,

Lin. 79. ἐπὶ Θρᾴκης *Aug.* *L.* 85 *sq.* τὰ Σαπαίων *Edd. Expressi lectionem Aug.* *L.* 86. Κορπίλ. Τορτίλων *Edd.* Τορπίλων *Regii, Aug. Ven.* *L.* 87. *Malim* Μυρκίνου & Δραβήσκου. *L.* 91. περῶντος, τὸ ἅρμα τὸ ζυγὸν ἆξαι *Edd. Distinctionem post* περῶντος *repositam voluit Musgravius.* τὸν ζυγὸν *deest Aug.*

que & *Cimber* cum classe advectus est, & omnes copiæ convenerunt. Est autem PHILIPPI eadem urbs, cui *olim Datus* nomen fuerat, & prius etiam *Crenides*, quod Κρῆναι, id est, *fontes* crebri circa eum tumulum scaturiant. Hunc locum, ut opportunum adversus Thracas, *Philippus* munierat, & de suo nomine *Philippos* adpellaverat. Sita est urbs in prærupto tumulo, totam tumuli latitudinem occupans. Habet a septemtrione saltus, per quos exercitum Cassianum traduxit Rascupolis: versus meridiem palus est, ad mare usque pertinens: versus orientem vero fauces & Sapæorum & Corpilorum: ex occidentali latere campi patent usque *Murcinum Drabiscumque* oppida & *Strymonem* fluvium, per XLIV passuum millia, fertiles admodum & amœni. Quibus in campis *rapta* etiam fertur *Proserpina*, dum flores legeret; estque ibidem *Zygactes amnis, in cujus trajectu ajunt Plutonem fregisse currus jugum*, & ab eo

καὶ τῷ ποταμῷ γενέσθαι τὸ ὄνομα. καταφερὲς δ' ἐστὶ τὸ πεδίον, ὡς ἐπιδέξιον μὲν εἶναι τοῖς ἄνωθεν ὁρμῶσιν ἐκ τῶν Φιλίππων, ἀνάντες δὲ τοῖς ἐξ Ἀμφιπόλεως βιαζομένοις. A. U. 712.

CVI. Φιλίππων μὲν οὖν ἐστιν ἕτερος λόφος οὐ μακρὰν, ὃν Διονύσου λέγουσιν, ἐν ᾧ καὶ τὰ χρύσειά ἐστι, τὰ Ἄσυλα καλούμενα. ἀπὸ δὲ Φιλίππων δέκα σταδίους προελθόντι, δύο εἰσὶν ἄλλοι λόφοι, Φιλίππων μὲν αὐτῶν ὅσον ὀκτωκαίδεκα σταδίους ἀφεστῶτες, ἀλλήλων δὲ ὅσον ὀκτώ· ἐν οἷς ἐστρατοπέδευσαν, Κάσσιος μὲν ἐπὶ τοῦ πρὸς μεσημβρίαν, Βροῦτος δὲ ἐπὶ τοῦ βορείου. Καὶ, τῶν ἀμφὶ τὸν Νωρβανὸν ὑποχωρούντων, οὐκέτι προσῄεσαν. Ἀντώνιόν τε γὰρ ἐπυνθάνοντο πλησιάζειν, Καίσαρος ὑπολελειμμένου διὰ νόσον ἐν Ἐπιδάμνῳ· καὶ τὸ πεδίον ἦν ἐναγωνίσασθαι καλὸν, καὶ οἱ κρημνοὶ στρατοπεδεῦσαι. τὰ γὰρ ἑκατέρωθεν αὐτῶν, τῇ μὲν ἦν ἕλη καὶ λίμναι μέχρι τοῦ Στρυμόνος, τῇ δὲ τὰ στενὰ καὶ ἄτριβῆ καὶ ἀνόδευτα· τὸ δὲ μέσον τῶν λόφων, τὰ ὀκτὼ στάδια, δίοδος ἦν ἐς τὴν

Lin. 97. χρυσεια *scribere jusserat H. Steph.* *L.* 98. *Pro* ἀπὸ δὲ Φιλίππων *videtur* ἀπὸ δὲ Ἀσύλων *reponendum.*

casu Græcos nomen amni indidisse. Est autem declivis ea planities, ut commoda sit descendentibus a *Philippis*, ardua vero ab *Amphipoli* adscendentibus.

106. Non longe a *Philippis* abest alius tumulus, quem *Bacchi tumulum* dicunt: in eo sunt aurifodinæ, quas *Asyla* vocant. Inde ad MCC passus progressis offerunt se alii duo tumuli, distantes a Philippis MMCC, a se invicem vero M passus. In illis tumulis *castra metati* sunt: CASSIUS in eo, qui ad meridiem vergit, BRUTUS in septemtrionali. Nec amplius *Norbanum* cedentem persecuti sunt. Nunciabatur enim, *adpropinquare Antonium*, *Cæsare morbi caussa Epidamni relicto* : & erat ea planities aptissima committendo prælio, sicut prærupti illi colles castris metandis. Nam ex altero latere paludes stagnaque habebant usque *Strymonem* fluvium, ex altero fauces, & juxta illas saltus nullis callibus pervios. Medium inter tumulos mille passuum spatium, transitus erat Asiam ex Europa petenti-

A. U. 713. Ἀσίαν τε καὶ Εὐρώπην, καθάπερ πύλαι· καὶ αὐτὰ διετείχισαν ἀπὸ χάρακος ἐς χάρακα, καὶ πύλας ἐν μέσῳ κατέλιπον, ὡς ἓν εἶναι τὰ δύο στρατόπεδα. ἦν δὲ καὶ παρ' αὐτὸ ποταμὸς, ὃν Γάγγαν τινὲς, οἱ δὲ Γαγγίτην λέγουσι, καὶ θάλασσα ὄπισθεν, ἐν ᾗ καὶ τὰ ταμιεῖα καὶ ἐνορμίσματα ἔμελλον ἕξειν. Θάσον μὲν δὴ ταμιεῖον, ἀπὸ ἑκατὸν σταδίων οὖσαν, ἐτίθεντο· ἐνόρμισμα δὲ ταῖς τριήρεσι Νέαν πόλιν, ἀπὸ ἑβδομήκοντα σταδίων. οἱ μὲν δὴ, χαίροντες τῷ χωρίῳ, τὰ στρατόπεδα ὠχύρουν.

CVII. Ἀντώνιος δὲ ὥδευε μὲν σὺν τῷ στρατῷ μετ' ἐπείξεως, τὴν Ἀμφίπολιν ἐθέλων ἐς τὴν ὑπηρεσίαν τῆς μάχης προλαβεῖν. ὡς δὲ αὐτὴν εὗρεν ὠχυρωμένην οἱ πρὸς τῶν ἀμφὶ τὸν Νωρβανὸν, ἥσθη, καὶ τὴν παρασκευὴν ἐν αὐτῇ κατέλιπε μεθ' ἑνὸς τέλους, οὗ Πινάριος ἡγεῖτο· αὐτὸς δὲ μάλα θρασέως πολὺ προελθὼν, ἐστρατοπέδευεν ἐν τῷ πεδίῳ, σταδίους ὀκτὼ μόνους ἀποσχὼν ἀπὸ τῶν πολεμίων. Καὶ εὐθὺς ἦν κατάδηλος ἡ τῶν στρατο-

Lin. 14. παρ' αὐτὸν *dant Edd. cum MSS. nostris: quod locum tueri non potest, nisi addas* τὸν χάρακα. *Ibid.* Γάγαν & Γαγίτην *Aug.*

bus, quasi porta quædam: in eo transversum murum a castris ad castra, relicta in medio porta, exstruxerunt, ut bina castra essent conjuncta. Prætcrfluebat & amnis, quem *Gangam* alii, alii *Gangitem* adpellant: & a tergo mare erat, tutam stationem classi & castris commeatus præbiturum. *Thasum* insulam, paulo amplius XII millia passuum distantem, habebant pro horreo: triremes ad IX millia in *portu Neapolitano* collocarunt. Hac opportunitate locorum læti *Cassius Brutusque castra communiebant.*

107. ANTONIUS interim cum exercitu raptim iter faciebat, ut *Amphipolim* occuparet, quam *sedem belli* erat *facturus.* Quam ubi jam a *Norbano*, ut sibi venienti esset receptaculo, munitam invenit; gavisus, adparatum in ea reliquit, cum una legione præsidiaria præfectoque *Pinario*: ipse, admodum audenter multum progressus, castra metatus est in plano, diremta ab hoste mille tantum passuum spatio. Statimque adparuit, quanto *potior* esset *Cassiano-*

πέδων ἐλάττωσίς τε καὶ πλεονεξία. οἱ μὲν γὰρ ἦσαν ἐπὶ κολωνῷ, οἱ δὲ ἐν πεδίῳ· καὶ οἱ μὲν ἐξυλεύοντο ἀπὸ τῶν ὀρῶν, οἱ δ' ἀπὸ τοῦ ἕλους· καὶ ὑδρεύοντο οἱ μὲν ἐκ ποταμοῦ, οἱ δ' ἐκ φρεάτων ὧν αὐτίκα ὠρωρύχεισαν· τήν τε ἀγορὰν οἱ μὲν ἀπὸ ὀλίγων σταδίων ἐπήγοντο ἐκ Θάσου, οἱ δὲ ἀπὸ πεντήκοντα καὶ τριακοσίων ἐξ Ἀμφιπόλεως. ἐδόκει γε μὴν ἐξ ἀνάγκης ὁ Ἀντώνιος ὧδε πρᾶξαι, κολωνοῦ μὲν οὐδενὸς ὄντος ἑτέρου, τὸ δ' ἄλλο πεδίον οἷα κοιλότερον ἐκλιμνάζοντος ἐνίοτε τοῦ ποταμοῦ· παρ' ὃ καὶ τὰς πηγὰς τῶν ὀρυσσομένων φρεάτων γλυκείας τε καὶ δαψιλοῦς ὕδατος εὕρισκε. Τό γε μὴν τόλμημα, εἰ καὶ ἐξ ἀπορίας ἐγένετο, κατέπληττε τοὺς πολεμίους, ἐγγὺς οὕτω καὶ εὐθὺς ἐξ ἐφόδου σὺν καταφρονήσει παραστρατοπεδεύσαντος. φρούριά τε ἤγειρον πολλὰ, καὶ πάντα κατὰ σπουδὴν ὠχύρουν τάφροις καὶ τείχεσι καὶ χαρακώμασιν. ὠχύρουν δὲ καὶ οἱ πολέμιοι ὅσα αὐτοῖς ἐνέλιπεν. ὁ δὲ Κάσσιος, τὴν ὁρμὴν τοῦ Ἀντωνίου μανιώ- A. U. 712.

Lin. 33. Forsan καὶ [illegible]. *L. 36 sq.* τα' ἐν *Edd. Prætuli Aug. L. 38.* τό τε γε μὴν *Edd. Delevi* τε *cum Aug. monente etiam Musgravio. L. 41 sq. Malim* ἤγειρε, *& mox* κατὰ σπουδὴν ὠχύρου. *L. 44.* ἐνέλειπεν *Aug.*

rum quam Antonianorum castrorum conditio. Illi in colle erant, hi in planitie: lignabantur illi e montibus, hi e paluſtribus: illi aquabantur e fluvio, hi e puteis quos ſtatim effoderant: commeatus illi a propinqua Thaſo advehebant, hi ab Amphipoli per viam amplius XL [XXX?] millium paſſuum. Videtur tamen neceſſitate coactus feciſſe id *Antonius*, præoccupatis jam ab hoſte collibus, reliqua vero planitie humili, & ſtagnante interdum aquis fluvii; quapropter etiam in effoſſis puteis fontes copioſi aquæ dulcis inveniebantur. Sed ea audacia certe, quamvis a neceſſitate profecta, terruit hoſtes, caſtra ex itinere ſtatim tam propinquo loco contemtim poſita conſiderantes. Caſtris poſitis, *Antoniani* caſtella plurima excitarunt, & ſumma celeritate foſſis, muris, vallis omnia communierunt. Simul hoſtes quidquid munitionum necdum omnino perfectum erat, abſolvebant: & *Caſſius*, inſanum videns *Antonii* impetum,

A. U. δὴ οὖσαν ὁρῶν, διετείχιζεν ὃ ἔτι μόνον αὐτοῖς ἔλειπεν ἐς
712. τὸ ἕλος ἀπὸ τοῦ στρατοπέδου, διὰ στενότητα ὑπεροφθέν· ὡς μηδὲν ἔτι ἀτείχιστον εἶναι, πλὴν κατὰ πλευρὰς Βρούτῳ μὲν τὰ ἀποκρήμνα, Κασσίῳ δὲ τὸ ἕλος, καὶ τὴν θάλασσαν ἐπὶ τῷ ἕλει· τὰ δὲ ἐν μέσῳ πάντα διείληπτο τάφρῳ καὶ χάρακι καὶ τείχει καὶ πύλαις.

CVIII. Οὕτω μὲν ὠχυροῦντο αὐτῶν ἑκάτεροι· καὶ ἐν τοσούτῳ μόνοις ἱππεῦσι καὶ ἀκροβολισμοῖς ἐπειρῶντο ἀλλήλων. Ὡς δὲ ἐξείργαστο πάντα ὅσα ἐπενόουν, καὶ ὁ Καῖσαρ ἀφίκετο, οὔπω μὲν ἐρρωμένος ἐς μάχην, φορείῳ δὲ ἐπὶ τὰς συντάξεις τοῦ στρατοῦ κομιζόμενος· οἱ μὲν ἀμφὶ τὸν Καίσαρα εὐθὺς ἐξέτασσον ἐς μάχην· οἱ δ' ἀμφὶ τὸν Βροῦτον ἀντεξέτασσον μὲν ἐπὶ τῶν ὑψηλοτέρων, οὐ κατῄεσαν δέ. οὐ γὰρ ἐγνώκεσαν ἐς τὴν μάχην ἐπείγεσθαι, ταῖς ἀγοραῖς ἐλπίζοντες ἐκτρύσειν τοὺς πολεμίους. Ἦν δὲ τὰ μὲν πεζὰ ἑκατέροις ἐννεακαίδεκα ὁπλιτῶν τέλη, τοῖς μὲν ἀμφὶ τὸν Βροῦτον ἐνδέοντα τοῖς ἀριθ-

Lin. 45. ἔλιπεν *Edd. Prætuli Aug. cum altero ex Regiis.*

ſpatium anguſtum inter paludem & ſua caſtra, quod ſolum adhuc ſupererat, ob ipſam anguſtiam neglectum, muro intercepit, ne quid immunitum eſſet. Itaque quum a latere *caſtra Bruti* rupibus, *Caſſiana* vero palude marique deinceps eſſent protecta; cetera in medio omnia foſſa valloque & muris ac portis interſepta erant.

108. Hæ fuere utrimque *caſtrorum AD PHILIPPOS munitiones*: in quibus abſolvendis dum occupantur, velitationibus tantum & equitum excurſionibus utrimque faciebant virtutis periculum. Ut vero ſuprema operibus manus eſt impoſita, & CÆSAR quoque *advenit*, nondum quidem ad pugnam ſatis validus, ſed ita tamen ut lectica circumferri circa ordines poſſet; *Cæſariani* ſtatim *explicarunt aciem*. Ex adverſo *Brutus Caſſiuſque* ſuos inſtruxerunt quidem in editiore loco, ſed *non deſcenderunt*: non placebat enim prælio decernere, *quod ſperarent, hoſtem inopia commeatuum poſſe confici.* Erat autem *numerus copiarum*, legiones pariter *utrimque* undeviginti; ſed in *Bruti* quidem *Caſſiique* exercitu, non ſatis illæ ſuis numeris

μοις, τοῖς δ᾽ ἀμφὶ τὸν Καίσαρα καὶ ἐπλεόναζον ἑκατέρωθεν. ἱππεῖς δὲ, ἅμα τοῖς ἑκατέρων Θρακίοις, ἦσαν Καίσαρι μὲν καὶ Ἀντωνίῳ μύριοι καὶ τρισχίλιοι, Βρούτῳ δὲ καὶ Κασσίῳ δισμύριοι. ὥστε πλήθει μὲν ἀνδρῶν, καὶ θράσει καὶ ἀρετῇ στρατηγῶν, καὶ ὅπλοις καὶ παρασκευῇ, λαμπροτάτην ἑκατέρων παράταξιν ὀφθῆναι· ἄπρακτον δὲ ἐς πολλὰς ἡμέρας, οὐκ ἐθελόντων συμπλέκεσθαι τῶν ἀμφὶ τὸν Βροῦτον, ἀλλὰ ταῖς ἀγοραῖς προεκλύχειν τοὺς πολεμίους· αὐτοὶ μὲν ἔχοντες Ἀσίαν χορηγὸν, καὶ ἐξ ἐγγίονος πάντα διὰ θαλάσσης ποριζόμενοι, τοῖς δὲ πολεμίοις οὐδὲν ὂν δαψιλὲς οὐδὲ οἰκεῖον· οὔτε γάρ τι δι᾽ ἐμπόρων ἀπ᾽ Αἰγύπτου λαβεῖν εἶχον, ὑπὸ λιμοῦ τῆς χώρας δεδαπανημένης· οὔτε ἐξ Ἰβηρίας ἢ Λιβύης, διὰ Πομπήϊον, οὔτε ἐκ τῆς Ἰταλίας, διὰ Μοῦρκον καὶ Δομίτιον. οὐκ ἐς πολὺ δ᾽ αὐτοῖς ἔμελλον ἀρκέσειν Μα- A. U. 712.

Lin. 62 sq. ἑκατέρωθεν *post* ἐπλεόναζον *non expressit Cand. Ac fortasse per errorem intrusum est. L. 65.* ἅμα τοῖς ἑκατέρωθεν Θρακίοις *Edd. ex Regiis, qui tamen & alteram exhibent lectionem, quam dederunt Aug. Ven. L. 70.* τὴν Ἀσίαν *Edd. Delevi artic. cum Aug. Ven. L. 71.* ἐξ ἐγγίων ὡς πάντα *Edd. & MSS. mend. In Aug. ex* ἐγγίων *factum* ἐγγίον *est, ac post hanc vocem puncto minori distinguitur oratio. Tentavi emendationem ex conject. præeunte Gelenio. Sed fortasse mutilus etiam locus est. L. 73.* παρ᾽ Αἰγύπτου *Edd. mend. Recte Aug. Reg. B.*

completæ; in *Cæsaris* vero & *Antonii* abundantes etiam numero. Equitum vero, adjunctis utrimque Thracum auxiliis, *Antonius cum Cæsare* habebat XIII millia: *Brutus et Cassius* XX. M. Itaque multitudine virorum, audacia virtuteque imperatorum, armis & adparatu, pulcerrimum utraque acies spectaculum præbuit: sed utraque per multos continuos dies otiosa stabat; Cassianis prælium detrectantibus, & difficultate annonæ hostem fatigare cupientibus; quum ipsis ex Asia omnia suppeterent, & ex propinquo per mare subveherentur, hostes in regione infesta laborarent inopia. Hi enim neque per mercatores accipere ex Ægypto quidquam poterant, fame tunc oppressa: neque ex Hispania aut Africa Pompejus, neque ex Italia Murcus & Ahenobarbus sinebant commeatus advehi; Ma-

κεδονία τε καὶ Θεσσαλία, μόναι σφίσιν ἐν τῷ τότε χορηγοῦσαι.

A. U. 712.

CIX. Ὧν οἱ μὲν ἀμφὶ τὸν Βροῦτον ἐνθυμούμενοι μάλιστα, διέτριβον. ὁ δὲ Ἀντώνιος, αὐτὰ δεδιὼς, ἔγνω βιάσασθαι τοὺς ἄνδρας ἐς μάχην· καὶ ἐπενόησεν εἰ δύναιτο βάσιμον τὸ ἕλος ἐργάσασθαι λαθὼν, ἵνα, κατόπιν τῶν ἐχθρῶν ἔτι ἀγνοούντων γενόμενος, τὴν ἀγορὰν σφᾶς ἀφέλοιτο τὴν ἀπὸ τῆς Θάσου κομιζομένην. ἐκτάσσων οὖν αὖθις ἑκάστοτε ἐς μάχην τὰ σημεῖα τοῦ στρατοῦ πάντα, ἵνα ὅλος ἐκτετάχθαι νομίζοιτο, μέρει τινὶ νυκτός τε καὶ ἡμέρας ἔκοπτεν ἐν τῷ ἕλει δίοδον στενὴν, κείρων τε τὸν δόνακα, καὶ χῶμα ἐπιβάλλων, καὶ λίθους ἑκατέρωθεν, ἵνα μὴ τὸ χῶμα διαπίπτοι, τὰ δὲ βαθέα διεσταύρου καὶ ἐγεφύρου μετὰ σιωπῆς βαθυτάτης. ἀφῄρητο δὲ τὴν ὄψιν τοῦ ἔργου τοὺς πολεμίους ὁ πεφυκὼς ἔτι δόναξ ἀμφὶ τῇ διόδῳ. Δέκα δ' ἡμέρας ἐργασάμενος ὧδε, ἐσέπεμψε λόχους ὀρθίους νυκτὸς ἄφνω, καὶ τὰ ἐρυμνὰ τῶν ἐντὸς κατέλαβε, καὶ ἐχαράκωσε φρούρια ὁμοῦ πολλά. Ὁ δὲ Κάσσιος

Lin. 93: ὀρθρίους *Edd. mend. Recte Aug. Reg. A.*

cedonia veroThessaliaque non diu sufficere poterant, quæ tum solæ alebant exercitum.

109. Id maxime respicientes *Cassius Brutusque*, *bellum ducebant.* Idemque ipsum *Antonius* veritus, statuit *eos ad pugnam cogere :* cogitavitque, num posset clam *per paludem viam efficere*, *ut hostibus a tergo commeatuum ex Thaso subvectionem intercluderet.* Productis igitur rursus quotidie in aciem signis omnibus, ut videretur adesse totus exercitus; deducta inde parte, noctes atque dies *aperiebat in palude angustum transitum :* detondens arundines, & aggerem excitans, lapidibus utrimque ne dilaberetur munitum, profundiora sternens sublicüs pontibus, per summum silentium; conspectum enim hostibus adimebant arundines relictæ circa transitum. In hoc opus insumtis decem diebus, noctu cohortes ordinibus in longitudinem directis, misit intro: quæ, occupatis ulterioribus locis aliquot natura munitis, complura castella ibi eodem tempore vallarunt. Ad id commentum

Κάσσιος κατεπλάγη μὲν τοῦ ἔργου τὴν ἐπίνοιάν τε καὶ κλοπήν. ἀντεπινοῶν δὲ ἀποτεμέσθαι τὰ φρούρια τὸν Ἀντώνιον, διετείχιζε καὶ αὐτὸς ἐπικάρσιον τὸ ἕλος ἅπαν, ἀρχόμενον ἀπὸ τοῦ στρατοπέδου μέχρι τῆς θαλάσσης. κόπτων ὁμοίως, καὶ γεφυρῶν, καὶ τὸν χάρακα τοῖς στερεώμασιν ἐπιτιθεὶς, καὶ τὴν ὑπὸ Ἀντωνίου γεγενημένην δίοδον ἀπολαμβάνων, ἵνα μήτε ἐκδραμεῖν ἐς αὐτὸν οἱ ἔνδον ἔτι δυνηθεῖεν, μήτε ἐκεῖνος αὐτοῖς ἐπιβοηθεῖν. *A. U. 712.*

CX. Ταῦτα δὲ ὁ Ἀντώνιος ἰδὼν περὶ μεσημβρίαν, ὡς εἶχεν αὐτίκα σὺν ὁρμῇ τε καὶ ὀργῇ τὸν στρατὸν τὸν ἴδιον, ἐπὶ θάτερα τεταγμένον, ἦγεν ἐπιστρέφων ἐς τὸ διατείχισμα τοῦ Κασσίου, μεταξὺ τοῦ ἕλους καὶ τοῦ στρατοπέδου, σιδήρια φέρων καὶ κλίμακας, ὡς ἐξελὼν αὐτὸ, καὶ παροδεύσων ἐς τὸ τοῦ Κασσίου στρατόπεδον. γιγνομένου δὲ αὐτῷ τοῦ δρόμου σὺν τόλμῃ πλαγίου τε καὶ πρὸς ἄναντες, κατ' αὐτὸ δὴ τὸ μεταίχμιον τῶν στρατιῶν ἑκατέρων, περιήλγησαν οἱ τοῦ Βρούτου στρατιῶται ἐπὶ

Lin. 2. ἐκδραμεῖν αὐτὸν *Edd.* ἐς *deſunt Aug. Ven.* *L.* 8. ἐξελῶν *videtur ſcribendum.* *L.* 11 *ſq.* τῶν στρατιωτῶν ἑκατέρων *Edd. Aug. Rectius Reg. B. Forſan legendum* τῶν στρατιῶν τῶν ἑκατέρων.

commentum, tam bene diſſimulatum, *Caſſius* obſtupuit: & ut arte artem illuderet, excluſurus ab eis caſtellis Antonium, tranſverſum ſeptum egit per totam paludem a caſtris uſque ad mare; ad imitationem alterius operis cædens arundines, pontes ſternens, firmum jaciens aggerem, valloque eumdem muniens; atque ita *viam ab Antonio patefactam interrumpens*, ut nec qui tranſierant recipere ſe poſſent, nec ſubmitti poſſent eis auxilia.

110. Quod ubi circa meridiem intellexit *Antonius*, e veſtigio confeſtim cum impetu & ira *exercitum ſuum*, in diverſa parte tunc in acie ſtantem, convertit, & *adverſus Caſſii munitionem* eam, quæ a caſtris ad paludem pertinebat, *duxit*; ferramentiſque & ſcalis, quas ſuos ſecum ferre juſſerat, munitionem illam expugnare, ad ipſaque Caſſii caſtra penetrare paravit. Quibus tam inſolenter adverſo clivo tranſverſim per ipſum quod utramque aciem dirimebat ſpatium currentibus, indignati *Bruti* milites, & igno-

A. U. 712. τῇ ὕβρει, ὧδε μάλα θρασέως αὐτοὺς ὄντας ἐνόπλους ἐχθρῶν διαθεόντων· καὶ ἐπέδραμον αὐτοῖς αὐτοκέλευστοι, πρό τινος ἐκ τῶν ἡγεμόνων ἐπιτάγματος, καὶ ἔκτεινον οἷα πλαγίους ἀθρόως οὓς καταλάβοιεν. ἀρξάμενοι δ' ἅπαξ ἔργου, καὶ τῷ Καίσαρος στρατῷ, τεταγμένῳ μάλιστα κατὰ σφᾶς, ἐπέδραμον· καὶ τρέψαντες ἐδίωκον, μέχρι καὶ τὸ στρατόπεδον ἐξεῖλον, ὃ κοινὸν ἦν Ἀντωνίῳ τε καὶ Καίσαρι· Καίσαρος αὐτοῦ δι' ἐνύπνιον ἔνδον οὐκ ὄντος, ἀλλὰ φυλαξαμένου τὴν ἡμέραν, ὡς αὐτὸς ἐν τοῖς Ὑπομνήμασιν ἔγραψεν.

CXI. Ὁ δὲ Ἀντώνιος ὁρῶν τὴν μάχην συνερρωγυῖαν, ἥσθη μὲν ὡς ἀναγκάσας· πάνυ γὰρ ἐπὶ ταῖς ἀγοραῖς ἐδεδίει· ἀναστρέφειν δὲ εἰς τὸ πεδίον οὐκ ἔκρινε, μὴ τὴν φάλαγγα ἀνελίσσων ταράξειεν. ὡς ἀρξάμενος δ' εἶχεν ὁρμῆς, ἐχεῖτο δρόμῳ, καὶ ἀνέβαινε, βαλλόμενός τε, καὶ χαλεπῶς· μέχρι βιαζόμενος ἐνέκυρσε τῇ φάλαγγι τῇ

Lin. 15. πρός τινος *Edd. male. Recte Aug.* *L.* 26. ὡς δραξάμενος δ' εἶχεν *Edd. Rectius Aug. Malim tamen* ὡς δ' ἀρξαμ. εἶχεν. *L.* 27. ὀργῆς *Reg. A. & margo Reg. B.* *Ib.* ἐρεῖτο *Edd.* ἐχεῖτο *dedit Aug.*

miniofum rati, ſi viri armati adverſarios ita impune præter ora ſua ſinerent tranſcurrere; proprio motu, non exſpectato ducum imperio, irruerunt in eos ex latere; magnoque numero, quotquot adſequi poterant, conciderunt. Commiſſoque ſemel prælio, mox *Cæſaris aciem*, quæ ex adverſo ipſorum potiſſimum ſtabat, adorti, *in fugam vertunt*; perſecutique *caſtris etiam potiti* ſunt, *quæ Cæſari communia fuerant cum Antonio:* in quibus commode tunc *Cæſar* non aderat, ſomnio monitus, ut caveret illum diem, quemadmodum ipſe ſcriptum *in ſuis Commentariis* reliquit.

111. Tum *Antonius*, ut commiſſum vidit prælium, gaviſus eſt, quod hoſtem eo compuliſſet; quandoquidem de commeatu valde timuerat. Reverti autem jam in planitiem parum ſibi commodum judicavit; ne, convertens aciem, turbaret ordines. Itaque continuato quo cœperat curſu, in adverſum clivum evaſit, contemtis telis ſuperne volantibus; donec *in Caſſii aciem*

Κασσίου, τὴν τάξιν τὴν δεδομένην φυλασσούσῃ, καὶ τὸ γιγνόμενον ὡς ἄλογον καταπεπληγμένῃ. ῥήξας δ᾽ αὐτὴν ὑπὸ τόλμης, ἐπὶ τὸ διατείχισμα ὥρμα τὸ μεταξὺ τοῦ τε ἕλους καὶ τοῦ στρατοπέδου, τόν τε χάρακα ἀνασπῶν, καὶ τὴν τάφρον ἐγχωννύς, καὶ τὸ οἰκοδόμημα ὑπορύσσων, καὶ τοὺς ἐν ταῖς πύλαις καταφονεύων, καὶ τὰ ἐπιπίπτοντα ἐκ τοῦ τείχους ὑπομένων· ἕως αὐτὸς μὲν ἐσήλατο διὰ τῶν πυλῶν ἔνδον, ἕτεροι δὲ ταῖς ὑπωρυχίαις ἐσῆλθον, οἱ δὲ καὶ τοῖς πεπτωκόσιν ἐπανέβαινον. καὶ πάντα οὕτως ἐγίγνετο ὀξέως, ὥστε τοῖς τὸ ἕλος ἐργαζομένοις ἐπιβοηθοῦσιν ὑπήντων, ἑλόντες ἤδη τὸ διατείχισμα. Τρεψάμενοι δὲ καὶ τούσδε σὺν ὁρμῇ βιαίῳ, καὶ ἐς τὸ ἕλος κατώσαντες, ἐπανῄεσαν ἐς αὐτὸ ἤδη τὸ στρατόπεδον τοῦ Κασσίου, μόνοι σὺν τῷ Ἀντωνίῳ, ὅσοι τὸ διατείχισμα ὑπερῆλθον, τοῦ ἄλλου πλήθους ἑκατέρων ἐκτὸς ἀλλήλοις μαχομένου.

A. U. 712.

CXII. Τὸ δὲ στρατόπεδον, ὡς ἐρυμνὸν, ὀλίγοι πάμπαν ἐφύλασσον· ὅθεν αὐτῶν εὐμαρῶς ἐκράτησεν ὁ Ἀντώνιος. ἤδη δὲ καὶ ὁ ἔξω τοῦ Κασσίου στρατὸς ἡσσᾶτο,

Lin. 35. μὲν *post* αὐτὸς *carent Edd. invitis quatuor nostris MSStis.* *L.* 37. ἐπῆλθεν *Aug.* *L.* 47. ὁ *ante* ἔξω *carent Edd. male. Dedit Aug.*

impegit, loco se non moventem, & attonitam necopinata audacia. *Quam* ubi insigni ausu *perrupit*, munitionem inter paludem & castra transversim exstructam magno impetu invasit, vallum convellens, fossam opplens, murum suffodiens, stationem pro porta opprimens, missiliaque contemnens e muro conjecta. Quibus simul factis, ipse per portam irrupit, alii per cuniculos murorum penetraverunt, alii per ruinas adscenderunt. Et ea omnia tanta celeritate facta sunt, ut succurrentibus, qui in palude operabantur, ipsi jam expugnata munitione occurrerent, &, his quoque atroci impetu profligatis, in paludemque compulsis, reverterentur jam *ad ipsa castra Cassii*, soli hi *qui cum Antonio per murum irruperant*, reliquis extra murum cum hoste confligentibus.

112. *Castra*, utpote satis firma, a perpaucis custodiebantur: quo facilius *capta* sunt. Jamque etiam extra *Cassiani vincebantur*: &, ex-

A. U. 712.

καὶ τὴν κατάληψιν ἰδὼν τοῦ στρατοπέδου, διεσκίδνατο ἀκόσμως. Καὶ τὸ ἔργον ἦν ἐντελὲς ἑκατέροις καὶ ὅμοιον· Βροῦτός τε γὰρ τὸ λαιὸν τῶν πολεμίων ἐτέτραπτο, καὶ τὸ στρατόπεδον ᾑρήκει· Ἀντώνιός τε, Κασσίου κρατῶν, σὺν ἀμηχάνῳ τόλμῃ τὸ στρατόπεδον ἐπόρθει. Φόνος τε ἦν ἑκατέρων ποικίλος· ὑπὸ δὲ μεγέθους πεδίου τε καὶ κονιορτοῦ τὰ ἀλλήλων ἠγνόουν, μέχρι ποτὲ ἐπύθοντο, καὶ τοὺς λοιποὺς ἀνεκάλουν. Οἱ δὲ ἐπανῄεσαν, ἀχθοφόροις ἐοικότες μᾶλλον ἢ στρατιώταις· καὶ οὐδὲ τότε ἀλλήλων ᾐσθάνοντο, οὐδὲ καθεώρων. ἐπεὶ ῥίψαντές γε ὅσα ἔφερον οἱ ἕτεροι, μέγα ἂν εἰργάσαντο κατὰ τῶν ἑτέρων, ἀσυντάκτως ὧδε ἀχθοφορούντων. Τὸν δὴ ἀριθμὸν τῶν ἀποθανόντων εἰκάζουσι, τῶν μὲν ἀμφὶ τὸν Κάσσιον, ἐς ὀκτακισχιλίους σὺν τοῖς παρασπίζουσι θεράπουσι γενέσθαι, τῶν δὴ ἀμφὶ τὸν Καίσαρα διπλασίονα.

CXIII. Κάσσιος δὲ ἐξ οὗ τῶν διατειχισμάτων ἐξέωστο, καὶ οὐδὲ ἐσελθεῖν ἔτι εἶχεν ἐς τὸ στρατόπεδον, ἀνέ-

Lin. 50. *γὰρ, post τε, carent Edd. cum Reg. B. Deder. Aug. Reg. A.* *L.* 54. *μέχρι ἐπύθοντό ποτε Reg. B. a pr. manu.* *L.* 64. *ἐπελθεῖν Aug. male.* redire *Cand. tamquam legisset ἐπανελθεῖν.*

pugnata conspicati castra, *incondita fuga dispersi* sunt. Atque ita *similiter utrimque luculenta reportata victoria* est: *profligato per Brutum sinistro cornu hostium, et castris captis*; diversa parte Antonio, post devictos Cassianos, incredibili audacia castra quoque diripiente. Itaque & *utrimque pariter multiplex cædes edita* est. Sed, quoniam latis in campis multum erat pulveris excitatum, diu ignorabant alteri, quo pacto res ab altera parte gesta esset. Quo tandem cognito, utrique suos revocarunt. Qui, a victoria redeuntes, bajulis similiores erant quam militibus; ac ne tum quidem adspectu vel sensu ullo dignoscebant se invicem: alioquin alterutri, projectis sarcinis, facile adversarios, præda onustos, ac sine ordine discurrentes, oppressissent. *Desiderata* sunt, quantum conjecturis adsequi licuit *Cassianorum octo millia*, cum servis armigeris; *duplo plura in exercitu Cæsaris et Antonii*

113. CASSIUS, *castris exutus*, quum receptum in ea nullum haberet, in Philipporum

δραμεν ἐς τὸν Φιλίππων λόφον, καὶ τὰ γιγνόμενα ἐφεώρα. οὐκ ἀκριβῶς δὲ αὐτὰ διὰ τὸν κονιορτὸν, οὐδὲ πάντα, ὁρῶν, ἀλλ' ἢ τὸ στρατόπεδον ἑαυτοῦ μόνον εἰλημμένον, ἐκέλευσε Πινδάρῳ τῷ ὑπασπιστῇ προσπεσεῖν οἱ καὶ διαφθεῖραι. διαμέλλοντος δ' ἔτι τοῦ Πινδάρου, προσέθει τις ἀγγέλλων οἱ, Βροῦτον ἐπὶ θάτερα νικᾶν, καὶ τὸ στρατόπεδον τῶν πολεμίων πορθεῖν. Ὁ δὲ τούτῳ μὲν τοσόνδε ἀπεκρίνατο· Νικώης, λέγε αὐτῷ, παντελῆ νίκην. ἐς δὲ τὸν Πίνδαρον ἐπιστραφείς· Τί βραδύνεις; ἔφη, τί τῆς ἐμῆς αἰσχύνης με οὐκ ἀπαλλάσσεις; Πίνδαρος μὲν δὴ δεσπότην, ὑπέχοντα τὴν σφαγὴν, διεχρήσατο. καί τισιν οὕτως ἀποθανεῖν δοκεῖ Κάσσιον. Ἕτεροι δὲ αὐτὸν οἴονται, προσιόντων ἐς εὐαγγέλιον ἱππέων Βρούτου, νομίσαντα εἶναι πολεμίους, πέμψαι τὸ ἀκριβὲς εἰσόμενον Τιτίνιον· τὸν δὲ τῶν ἱππέων, ὡς Κασσίου φίλον, περισχόντων τε σὺν ἡδονῇ, καὶ ἐπὶ τῷδε καὶ ἀλαλαξάντων μέγα, τὸν Κάσσιον, ἡγούμενον ἐς ἐχθροὺς ἐμπεσεῖν Τιτίνιον, τοῦτο φάναι· A. U. 712.

Lin. 70. ἀγγέλλων *Edd.* ἀγγέλλωνι *Aug. pro quo repoſui id, e quo corruptum videbatur.* *L.* 78. εἶναι καὶ πολεμίους *Aug.*

tumulum curſu ſe recepit; indeque, quid fieret, proſpectabat. Sed quoniam proſpectus adimebatur pulvere, ut neque adcurate, neque omnia, perſpicere poſſet; caſtra ſaltem utique amiſſa videns, *Pindarum armigerum* ſuum *juſſit, ut percuſſoris ſibi præſtaret officium.* Qui dum adhuc cunctatur, adcurrit alius quidam nuncians, *Brutum* in altero cornu vincere, & caſtra diripere hoſtium. Cui hoc tantum *Caſſius* reſpondit: *Refer ei, me precari illi abſolutam victoriam.* Tum rurſus ad *Pindarum* converſus, *quid ceſſas?* inquit: *Cur non me ab hac ignominia liberas?* ſimulque jugulo ferrum, adigente Pindaro, excepit. Sic quidem nonnulli de *Caſſii morte* memoriæ prodiderunt. Alii referunt, advenientibus eminus equitibus Bruti, qui lætum nuncium de ejus victoria adferrent, *Caſſium*, exiſtimantem hoſtes eſſe, obviam miſiſſe *Titinium*, qui exacte rem cognoſceret: quem quum equites, ut amicum Caſſii, recepiſſent in medium, conclamantes præ gaudio; *Caſſium*, qui crederet in hoſtes illum incidiſſe, hoc tantum profa-

A. U. 712. Περιεμένομεν Φίλον ἁρπαζόμενον ἰδεῖν; καὶ ἔς τινα σκηνὴν ὑποχωρῆσαι μετὰ τοῦ Πινδάρου, καὶ τὸν Πίνδαρον οὐκ ἔτι φανῆναι. διὸ καὶ νομίζουσί τινες, οὔπω κεκελευσμένον ἐργάσασθαι. Κασσίῳ μὲν δὴ τέλος ἦν τοῦ βίου κατὰ τὴν αὐτοῦ Κασσίου γενέθλιον ἡμέραν, ὧδε τῆς μάχης γενέσθαι συμπεσούσης. καὶ Τιτίνιος, ὡς βραδύνας, ἑαυτὸν ἔκτεινε.

CXIV. Βροῦτος δὲ, Κασσίου τὸν νέκυν περικλαίων, ἀνεκάλει τελευταῖον ἄνδρα Ῥωμαῖον, ὡς οὔ τινος ἔτι τοιοῦδε ἐς ἀρετὴν ἐσομένου· ταχυεργίας τε αὐτῷ καὶ προπετείας ἐνεκάλει· καὶ ἐμακάριζεν ὁμοῦ φροντίδων καὶ ἀνίας ἀπηλλαγμένον, αἳ Βροῦτον ἐς ποῖον ἄρα τέλος ὁδηγοῦσι; Παραδοὺς δὲ τὸ σῶμα τοῖς φίλοις, ἔνθα λαθραίως θάψειαν, ἵνα μὴ καταδακρύσειε τὸν στρατὸν ὁρῶντα, αὐτὸς ἄσιτός τε καὶ ἀτημέλητος ἀνὰ τὴν νύκτα πᾶσαν τὸ τοῦ Κασσίου στρατόπεδον καθίστατο. Ἅμα

Lin. 83. ἀποχωρῆσαι *Edd. Melius Aug. Reg. B.* *L.* 86. in quo prælium incidit *Cand. An pro ὧδε legendum ἢ δὴ?* *L.* 90. Ῥωμαίων *Edd. Cand. Pr:ætuli Aug. Ibid.* ὥστ' οὔτινος *Edd. male ex Reg. B. invitis Aug. Reg. A.* *L.* 91. *Malim* ταχυεργίας δέ. *L.* 92 *sq.* καὶ ἀνίας *perperam Edd. cum Regiis. Recte Aug.* *L.* 97. τοῦ *abest ab Aug. non male.*

tum, *Exspectavimus ergo, dum abreptum videremus amicum!* in tentorium quoddam secessisse cum Pindaro, & Pindarum nusquam posthac visum. Quamobrem opinantur nonnulli, injussum etiam tum illum occidisse dominum. *Obiit* CASSIUS natali suo die, in quem ipsum forte prælium illud incidit, *ad Philippos* commissum. *Titinius* morarum pœnas a se ipse spontanea morte exegit.

114. *Brutus flens* super Cassii cadavere, *ultimum hunc* adpellavit *Romanorum*; intelligi volens, neminem posthac fore huic virtute similem. Simul vero & properationem ejus accusavit & præcipitantiam; simul felicem prædicavit, qui jam curis solicitudinibusque esset exemtus; quæ me, inquit, ad quem tandem exitum perducent! Tradito deinde amicis cadavere, ut clam sepeliretur, ne exercitus ex adspectu provocaretur ad lacrymas; ipse, cibo ceteraque corporis cura abstinens, totam noctem in colligendis Cassiani

δὲ ἡμέρᾳ τῶν πολεμίων τὸν στρατὸν παρατασσόντων ἐς μάχην, ἵνα μὴ δοκοῖεν ἡλασσῶσθαι· συνεὶς τοῦ ἐνθυμήματος, Ὁπλισώμεθα, ἔφη, καὶ ἡμεῖς, καὶ ἀνθυποκριθῶμεν ἐλάσσονα παθεῖν. ὡς δὲ παρέταξεν, οἱ μὲν ἀνεχώρουν· ὁ δὲ Βροῦτος ἐπιτωθάσας, ἔφη τοῖς φίλοις· Οἱ μὲν δὴ προκαλούμενοι ἡμᾶς ὡς κεκμηκότας, οὐδὲ ἀπεπείρασαν.

A. U. 712.

CXV. Ἧι δὲ ἡμέρᾳ τὴν μάχην ἐν Φιλίπποις συνέβαινεν εἶναι, καὶ ἐν τῷ Ἰονίῳ τοιόνδε πάθος ἄλλο ἐγίγνετο μέγα. Δομίτιος Καλουῖνος ἐπὶ ὁλκάδων ἦγεν ὁπλιτῶν δύο τέλη Καίσαρι, καὶ τὸ διώνυμον ἦν αὐτῶν τὸ Ἄρειον, ὃ ἐπὶ τιμῇ τῆς ἀλκῆς ὠνόμαζον. ἦγε δὲ καὶ στρατηγίδα σπεῖραν ἐς δισχιλίους ἄνδρας, ἱππέων τε ἴλας τέσσαρας, καὶ ἕτερον πλῆθος ἐπειλεγμένον· καὶ τριήρεις αὐτοὺς παρέπεμπον ὀλίγαι. Μοῦρκος δὲ αὐτοῖς καὶ Ἀηνόβαρβος ἑκατὸν καὶ τριάκοντα μακραῖς ὑπήντων. καὶ αὐτοὺς αἱ ὁλκάδες ἱστίῳ μὲν αἱ πρῶται διέφυγον ὀλίγαι·

Lin. 99. δοκεῖεν *Edd. Recte Aug.* *L.* 8. Καλουηνὸς *Edd. & MSS. nostri: quod correxi.* Calvinus *recte Cand.* *L.* 9. ἦν αὐτῷ *Aug.* *L.* 12. *An* ἐπισυνειλεγμένον? *L.* 13 *sq.* Ἀηνοβάρβαρος *Aug. ut passim alibi.*

exercitus reliquiis exegit. Mane deinde hostibus progressis in aciem, ne pro victis haberentur; mentem eorum intelligens *Brutus*: „Sumamus, inquit, nos quoque arma, & pari simulatione cladem tegamus." Ut vero instruxit aciem, retrocesserunt hostes. In quos *Brutus* ad amicos sic est cavillatus: „Isti, qui nos ut fessos provocarunt, ne experiri quidem ausi sunt."

115. Ceterum *quo die in campis Philippicis pugnatum est*, eodem etiam *in Ionio mari memorabilis clades* accidit. *Domitius Calvinus* onerariis navibus duas legiones transvehebat ad Cæsarem; quarum altera celebris illa erat, ex virtutis laude *Martia legio* cognominata. Vehebat etiam cohortem prætoriam duorum millium, & quatuor alas equitum, aliamque selectam multitudinem, paucis triremibus deducentibus. His *Murcus et Ahenobarbus* cum centum triginta longis navibus occurrerunt. Quos onerariæ paucæ, quæ priores fuerant, velis

A. U. 712. αἱ λοιπαὶ δὲ, χαλάσαντος ἄφνω τοῦ πνεύματος, ἐν γαλήνῃ σταθερᾷ κατὰ τὸ πέλαγος ἠλῶντο, ὑπό του θεῶν ἐκδιδόμεναι τοῖς πολεμίοις. ἐνέβαλον γὰρ ἀδεῶς ἑκάστῃ, καὶ ἀνεῤῥήγνυον· οὐδὲ αἱ παραπέμπουσαι σφᾶς τριήρεις ἐπικουρεῖν ἐδύναντο, διὰ τὴν ὀλιγότητα κυκλούμεναι. Ἔργα δ᾽ ἦν τῶν κινδυνευόντων πολλὰ καὶ ποικίλα, ὅτε μὲν τὰ πλοῖα συναγόντων ἀπὸ κάλων σπουδῇ, καὶ κοντοῖς ἁρμοζόντων ἐς ἄλληλα, ἵνα μὴ διεκπλεῖν αὐτὰ ἔχοιεν οἱ πολέμιοι. ὅτε δὲ τούτου κρατήσειαν, ὁ μὲν Μοῦρκος αὐτοῖς ἐπέβαλλε τοξεύματα πυρὸς, οἱ δὲ τοὺς συνδέσμους ἀνέλυον ὀξέως, καὶ ἀπέφευγον ἀλλήλων διὰ τὸ πῦρ, αὖθίς τε ἐγίγνοντο ταῖς τριήρεσιν ἐς περίπλουν καὶ ἐμβολὴν ἕτοιμοι.

CXVI. Ἀγανακτοῦντες δὲ οἱ ἄνδρες, καὶ μάλιστα αὐτῶν οἱ Ἄρειοι, ὅτι κρείττους ὄντες ἀλκὴν, δι᾽ ἀπραξίας ἀπώλλυντο, οἱ μὲν πρὸ τοῦ πυρὸς ἑαυτοὺς ἀνῄρουν, οἱ δὲ ἐς τὰς τριήρεις τῶν πολεμίων ἐναλλόμενοι, τὰ μὲν ἔδρων, τὰ δὲ ἔπασχον. νῆές τε ἡμίφλεκτοι μέχρι πολλοῦ περιέ-

Lin. 18. ἐκδεδομένει (*sic*) *Aug.* *L.* 19. ἑκάστην *Ald.* *Rectius Aug. Reg. A.* *L.* 22. ὅτι μὲν *Aug.* *Ibid.* ἀπὸ κάλω *Aug. Reg. B. non male.* *Ib.* σπουδῇ *edit.* 1. *oper. err.* *L.* 28. ἐκβολὴν *Aug.*

plenis effugerunt: reliquæ vero, repente vento vim remittente, in tranquillo mari errabant, deorum alicujus ira hostibus traditæ. Invadebant enim illi secure singulas, perfringebantque: nec a prosequentibus triremibus ullum erat auxilium, quod propter paucitatem circumvenirentur. Ibi tum multa atque varia fortiter facta extiterunt periclitantium: qui passim naves celeriter contis funibusque, ne hostis perrumperet, conjungebant. Quod quum succederet, *Murcus* ignita eis jacula immittebat; & illi pari celeritate solvebant vincula, & diffugiebant metu incendii; atque ita rursus triremium ictibus ac perruptioni exponebantur.

116. Tum indignati *milites*, præsertim *Martii*, quod, quum præstarent fortitudine, inulti perirent, alii seipsos interficiebant, non exspectato incendio: alii, triremes hostium insilientes, multa faciebant ac ferebant fortiter. Naves quoque semiustæ diu ja-

πλέον, ἄνδρας ἔχουσαι, τοὺς μὲν ὑπὸ τοῦ πυρὸς, τοὺς δ᾽ ὑπὸ λιμοῦ καὶ δίψης δαπανωμένους· αἱ δὲ καὶ ἱστῶν ἢ σανίδων ἐχόμενοι, ἐς πέτρας ἢ ἀκτὰς ἐξεφέροντο ἐρήμους· καὶ εἰσὶν αὐτῶν οἳ καὶ περιεσώθησαν ἐκ παραλόγου· τινὲς δὲ καὶ ἐς πέντε διήρκεσαν ἡμέρας, λιχμώμενοι τὴν πίσσαν, ἢ ἱστίων ἢ κάλων διαμασώμενοι, μέχρι σφᾶς ὁ κλύδων ἐξήνεγκεν ἐπὶ τὴν γῆν. πολὺ δ᾽ ἦν ὃ καὶ τοῖς πολεμίοις ἑαυτὸ ἐπέτρεπεν, ὑπὸ τῶν συμφορῶν ἡσσώμενον· ἐπέτρεψαν δὲ καὶ τῶν τριηρῶν ἑπτακαίδεκα· καὶ τοὺς μὲν ἄνδρας οἱ περὶ Μοῦρκον ἐς ἑαυτοὺς μεθώρκουν, ὁ δὲ στρατηγὸς αὐτῶν Καλουῖνος ἐπὶ τῆς ἑαυτοῦ νεὼς ἐπανῆλθεν ἐς τὸ Βρεντέσιον ἡμέρα πέμπτῃ, δόξας ἀπολωλέναι. Τοιοῦτο μὲν δὴ πάθος τῆς αὐτῆς ἡμέρας τῇ περὶ Φιλίππους μάχῃ κατὰ τὸν Ἰόνιον ἐπεγίγνετο, εἴτε ναυάγιον, εἴτε ναυμαχίαν ὀνομάσαι χρή· καὶ ἐξέπλησσε τὸ συγκύρημα τῶν ἔργων, ὕστερον ἐπιγνωσθέν.

A. U. 712.

Lin. 35. ἰστίων *Edd.* ἱστῶν *recte Aug. Reg. B. a pr. manu, & sic quoque primum scripserat librarius Reg. A.* *L.* 37. περιεσώσθησαν *Edd. Melius Aug.* *L.* 38. λιχμώμενοι *edit.* 1. *cum Reg. A. Aug. Ven.* λιμώμενοι *magis corrupte Reg. B. Emendavit H. Stephan.* *L.* 39. διαμαστώμενοι *Edd. invitis quatuor nostris MSS.* *L.* 43. ἐς αὐτοὺς *Edd. Prætuli Aug.* *L.* 42. *Rursus* Καλουηνὸς, *ut supra, Edd. & MSS.* *L.* 48 *sq.* ἐξέπληξε *Edd. cum Regiis.* ἐξέπλασε *Aug.* ἐξέπλασσε *dedit Ven.* *L.* 49. σύγκρυμα *mend. Aug.*

ctabantur cum vectoribus: quorum alii igne, alii fame sitique peribant. Quidam malis tabulisve hærentes, in scopulos aut deserta littora ejecti sunt: & eorum nonnulli etiam ex insperato servati, quos inter fuere, qui & ad quintum diem, picem interim lingentes, aut vela funesve mandentes, perdurarunt, donec undis ad terram adpellerentur. Multi deditionem fecerunt, quum non possent tot calamitatibus resistere. In his fuerunt triremes XVII: quarum milites ad *Murci* sacramentum transierunt. *Calvinus*, dux earum, cum sua navi quinto die Brundusium revenit, periisse creditus. Hujusmodi igitur calamitas, sive naufragium dicendum est, sive *Navale Prælium, in eumdem diem incidit, quo Philippensis pugna commissa est.* Quod postquam est cognitum, obstupuerunt omnes duorum talium casuum in eumdem temporis articulum concursionem.

A. U. 712.

CXVII. Ὁ δὲ Βροῦτος τὸν στρατὸν ἐς ἐκκλησίαν συναγαγὼν, ἔλεξεν ὧδε· ΟΥΔΕΝ ἐστιν, ὦ Συστρατιῶται, παρὰ τὸν ἐχθὲς ἀγῶνα, ἐν ᾧ μὴ κρείσσους ἐγένεσθε τῶν πολεμίων. τῆς τε γὰρ μάχης ἤρξατε προθύμως, εἰ καὶ χωρὶς παραγγέλματος· καὶ τὸ τέταρτον τέλος, ὃ περιώνυμον αὐτοῖς ὂν ἐπεπίστευτο τὸ κέρας, διεφθείρατε ἅπαν· καὶ τοὺς ἐπιτεταγμένους αὐτῷ, μέχρι τοῦ στρατοπέδου· καὶ τὸ στρατόπεδον αὐτὸ εἵλετε πρότερον, καὶ διηρπάσατε· ὡς προὔχειν τάδε παρὰ πολὺ τῆς ἐπὶ τοῦ λαιοῦ βλάβης ἡμῶν. δυνηθέντες δ᾽ ἂν ὅλον ἐργάσασθαι τὸ ἔργον, ἁρπάσαι μᾶλλον εἵλεσθε, ἢ κτείνειν τοὺς ἡσσωμένους. οἱ γὰρ πλέονες ὑμῶν τοὺς πολεμίους παροδεύοντες, ἐπὶ τὰ τῶν πολεμίων ὥρμων. καὶ ἐν τῷδε αὖ πάλιν, οἱ μὲν διήρπασαν δύο τῶν ἡμετέρων στρατοπέδων ὄντων τὸ ἕτερον, ἡμεῖς δὲ ἐκείνων ἅπαντα ἔχομεν, ὡς καὶ τῷδε τὴν ἐπίκλησιν τῆς βλάβης διπλασίονα εἶναι. Καὶ τὰ μὲν ἐν τῇ μάχῃ πλεονεκτήματα, τοσαῦτα. Ὅσα δὲ ἕτερα

Lin. 52. χθὲς *Aug.* *L.* 55. διεφθείρετε *edit.* 1. 2. *cum Regiis. Prætuli Aug. cum quo* (*nescio quo casu*) *convenit edit.* 3. *L.* 62. ὥρμουν *edit.* 1. 2. ὅρμον *Reg. B. Recte Aug. Reg. A. & edit.* 3.

117. BRUTUS autem, advocata concione militum, sic eos adlocutus est: „HESTERNO prælio, *COMMILITONES*, nulla in re non superiores fuistis hostibus: nam & pugnam incepistis alacriter, quamvis injussi; & quartam legionem, propter opinionem virtutis in opposito cornu locatam, totam concidistis, aliosque deinceps usque castra; castraque ipsa capta diripuistis: ut hæc victoria longe præponderet damno in sinistro cornu accepto. Atqui cum eadem victoria totum conficere negotium potuissetis; res hostium diripere maluistis, quam victos delere: nam plerique vestrum, prætermissis hostibus, in eorum bona fecerunt impetum. Sed & in hoc ipso rursus nos prævaluimus: illi ex binis nostris castris ceperunt altera, nos universa illorum occupavimus: atque ita hac quoque ex parte adquisitio nostra duplo major quam jactura est. Hactenus igitur, *ad prælium quod adtinet, potiores sumus.* Ceteris rebus quantum præpollea-

προύχομεν αὐτῶν, ἔχετε καὶ παρὰ τῶν αἰχμαλώτων μανθάνειν, περί τε ἀπορίας σίτου, καὶ ἐπιτιμήσεως αὐτοῦ, καὶ κομιδῆς κακοπαθοῦς, καὶ παρ' ὀλίγον ἤδη σαφοῦς ἐπιλείψεως. οὔτε γὰρ ἐκ Σικελίας ἢ Σαρδόνος ἢ Λιβύης ἢ Ἰβηρίας ἐστὶν αὐτοῖς λαβεῖν, διὰ Πομπήϊον καὶ Μοῦρκον καὶ Αηνόβαρβον, ναυσὶν ἑξήκοντα καὶ διακοσίαις ἀποκλείοντας αὐτοῖς τὸ πέλαγος· Μακεδονίαν τε ἐξαναλώκασιν ἤδη, καὶ ἐκ μόνης ἄρτι Θεσσαλίας ἔχουσιν· ἢ ἐς πόσον αὐτοῖς ἔτι ἀρκέσει; A. U. 712.

CXVIII. Ὅταν οὖν αὐτοὺς ἐπειγομένους ἐς μάχην μάλιστα ἴδητε, τότε ἡγεῖσθε διωκομένους ὑπὸ λιμοῦ τὸν ἐν χερσὶ θάνατον αἱρεῖσθαι. ἡμεῖς δ' ἀντιμηχανησώμεθα αὐτοῖς, τὸν λιμὸν ἡμῶν προπολεμεῖν, ἵν' ἀσθενεστέροις καὶ τετρυμένοις ἐντύχοιμεν ὅτε χρή. μὴ δ' ἐκφερώμεθα ταῖς προθυμίαις παρὰ καιρόν. μηδὲ βραδυτῆτά τις ἡγείσθω τὴν ἐμπειρίαν, ἢ ταχυτῆτα· ἐς τὴν ὀπίσω

Lin.70. ἐπιλήψεως *edit. 1. 2. ex Regiis, male. Recte edit. 3. cum Aug. L. 77.* ἡγεῖσθαι *Regii & Aug. quod mutavit C. Stephanus, conservandum fortasse. L. 80.* τετρυμμένοις *edit. 1. Aug.* τετριμμένοις *edit. 2. 3. Correxi, ut alibi. L. 82. Delenda duo verba* ἢ ταχυτῆτα *censuit Musgravius. Post eadem verba* Asteriscum *posuit H. Steph. & excidisse nonnihil putavit.*

„mus, poteſtis ex captivis diſcere: de inopia caritateque annonæ, de laborioſa comportatione, & *pæne jam confeſſo defectu commeatuum.* Nam e Sicilia, Sardinia, Africa, Hiſpaniaque nihil eis petere licet per Pompejum, Murcum, Ahenobarbumque, claſſe CCLX navium mare illud intercludentes. Macedoniam vero jam exhauſerunt: & ſola nunc alit eos Theſſalia; quam uſque quo ſuffecturam putatis?

118. „Ergo quum eos ad „pugnam videritis properare, tunc exagitatos a fame putate ferro potius emori decreviſſe. Sed nos contra ſedulo curemus, ut fame eos ante oppugnemus; quo debiliores magiſque exhauſtos viribus invadamus, quum opus fuerit: caveamuſque, ne calidiores ſimus quam tempus poſtulat. Neque vero quiſquam conſilium hoc, uſu rerum probatum, ad ducendum potius bellum exiſtimet pertinere, quam ad rem totam brevi conficien-

A. U. 712. θάλασσαν ἀφορῶν, ἣ, τοσαύτας ἡμῖν ὑπηρεσίας καὶ τροφὰς ἐπιπέμπουσα, δίδωσιν ἀκινδύνου νίκης ἐπιτυχεῖν, ἢν ὑπομένητε, καὶ μὴ ἀδοξῆτε, εἰ προσπαίζονται ἡμῖν καὶ προκαλοῦνται, οὐκ ἀμείνονες ὄντες, ὡς διέδειξε τὸ ἐχθὲς ἔργον, ἀλλὰ ἕτερον δέος ἰώμενοι. Τὴν δὲ προθυμίαν, ἧς νῦν ὑμᾶς ἀξιῶ κρατεῖν, ἀθρόαν ἀπόδοτε, ὅταν αἰτῶμεν. Ἐγὼ δ᾽ ὑμῖν τὰ νικητήρια, ἐντελῆ μὲν, ὅταν οἱ θεοὶ κρίνωσιν, ἐπὶ ἐντελέσι τοῖς ἔργοις, διαλύσομαι· νῦν δὲ τῆς ἐχθὲς ἀρετῆς, ἀνὰ χιλίας ἑκάστῳ στρατιώτῃ δραχμὰς ἐπιδίδωμι, καὶ τοῖς ἡγεμόσιν ὑμῶν ἀνάλογον. Ὁ μὲν οὕτως εἶπε, καὶ αὐτίκα διεμέτρει τὴν δωρεὰν κατὰ τέλη. δοκεῖ δέ τισι, καὶ Λακεδαίμονα καὶ Θεσσαλονίκην ἐς διαρπαγὴν αὐτοῖς δώσειν ὑποσχέσθαι.

CXIX. Ὁ δὲ Καῖσαρ καὶ ὁ Ἀντώνιος, εἰδότες οὐ μαχούμενον ἑκόντα τὸν Βροῦτον, τοὺς ἰδίους συνῆγον, καὶ ὁ Ἀντώνιος ἔλεξε· Τὸ ἐχθὲς ἔργον, ὦ ἄνδρες, τοῖς μὲν λόγοις

Lin. 85. προπαίζονται *Edd. Rectius Aug. Reg. B.* | *L.* 96 *sq.* μαχόμενον *Aug.*

„ dam. Docere enim quisque se ipse potest, mare hoc, quod a tergo tot nobis commoditates & alimenta affatim suppeditat, victoriam nobis offerre absque ullo periculo obtinendam: modo patienter & æquo animo feratis hos vobis insultantes & provocantes, non quod virtute præpolleant, (ut declaravit hesternum certamen,) sed ut alteri timori adferant remedium. Ceterum istam alacritatem, quam nunc vos volo continere, abunde tunc præstate quando postulabimus. Victoriæ autem præmia ex asse, ubi diis visum fuerit, post omnino profligatos hostes persolvam: nunc, pro forti opera heri navata, millenos denarios accipietis a me singuli: ordines ducentibus pro portione numerabitur." Hæc locutus *Brutus* continuo donativum legionatim distribuit: simulque, si fides est nonnullis auctoribus, *Lacedæmonem et Thessalonicam diripiendas militibus* se concessurum *est pollicitus.*

119. At *Cæsar et Antonius*, intelligentes Brutum non pugnaturum nisi coactum, *concionem advocarunt.* Tum ANTONIUS *ita locutus est:* „HESTERNAM victoriam, *MILITES*, hostes pariter sibi (satis

οἶδα ὅτι καὶ οἱ πολέμιοι μεγαλίζονται, ὡς διώξαντές τινας ἡμῶν, καὶ τὸ στρατόπεδον διαρπάσαντες· ἔργῳ δὲ ἐπιδείξουσιν ἅπαν ὑμέτερον. ὑπισχνοῦμαι γὰρ ὑμῖν, οὔτε αὔριον, οὔτε ταῖς ἐπιούσαις ἑκόντας αὐτοὺς ἐς μάχην ἥξειν· ὃ σαφεστάτη πίστις ἐστὶ τῆς ἐχθὲς ἥσσης καὶ φόβου, ὅταν, ὥσπερ ἐν τοῖς γυμνικοῖς, ἀφιστῶνται τοῦ ἀγῶνος οἱ ἐλάττονες. οὐ γὰρ ἐς τοῦτό γε στρατὸν ἤγειρον τοσόνδε, ἵνα τῶν Θρᾳκῶν ἐρημίαν οἰκῶσι διατειχίσαντες. ἀλλὰ καὶ αὐτὴν διετείχισαν μὲν ἔτι προσιόντων ὑμῶν, διὰ δέος· ἐλθόντων δὲ, ἐνοικοῦσι διὰ τὴν ἐχθὲς ἧσσαν· ἐφ' ᾗ καὶ τῶν στρατηγῶν ὁ πρεσβύτερός τε καὶ ἐμπειρότερος, πάντα ἀπογνοὺς, ἑαυτὸν διεχρήσατο· ὃ καὶ αὐτὸ μεγίστη συμφορῶν ἐστιν ἀπόδειξις. Ὅταν οὖν, ἡμῶν αὐτοὺς προκαλουμένων, μὴ δέχωνται, μηδὲ καταβαίνωσιν ἀπὸ τῶν ὀρῶν, ἀλλ' ἀντὶ τῶν χειρῶν πιστεύωσι τοῖς κρημνοῖς· τότε μοι θαῤῥοῦντες ὑμεῖς, ὦ ἄνδρες Ρω- A. U. 712.

Lin. 4. ὃ, quod abest vulgo ab Edd. & MSStis, adjiciendum putavi, consentientibus Gelenio, H. Stephano & Musgr. L. 8. καὶ, post ἀλλὰ, abest a Reg. B. & in Aug. statim omissum fuerat, sed mox ab ead. manu est adjectum.

„ ſcio) verbis quidem vindicant, ut qui noſtrarum copiarum partem fuderint, caſtraque diripuerint. At re tamen fatebuntur, veſtram eſſe integram. Polliceor enim vobis, nec cras, nec ſequentibus diebus ſponte prodituros in aciem: quod certiſſimum argumentum eſt, heri victos adhuc pavere; quum, ſicut athletæ victos ſe confitentes, non audent amplius certamini ſeſe committere. Non enim ideo certe tam numeroſum collegerunt exercitum, ut interſepto aditu degant in Thraciæ deſertis: ſed

„ quem murum vobis huc advenientibus objecerunt præ timore, intra eumdem ſe nunc, quum adeſtis, continent, clade heſterna perculſi. Quæ clades imperatorum quoque alterum, ætate majorem, & uſu peritiorem, deſperatione coëgit necem ſibi conſciſcere: quod & ipſum maximum eſt cladis indicium. Ergo quodſi, nobis provocantibus, in æquum locum non deſcenderint, maluerintque in rupibus fiduciam collocare, quam in manibus; tum vero, ut Romanos decet, colligite robur, &

A. U. 712. μαῖοι, συναναγκάσατε αὐτοὺς αὖθις, ὥσπερ ἐχθὲς ἠναγκάσατε, αἰσχρὸν ἡγούμενοι δεδιότων ἐλασσοῦσθαι, καὶ ὀκνούντων ἀπέχεσθαι, καὶ τειχῶν ἄνδρες ὄντες ἀσθενέστεροι γενέσθαι. οὐ γὰρ ἤλθομέν γε καὶ ἡμεῖς ἐν πεδίῳ βιώσοντες, οὐδ᾽ ἔστι βραδύνουσιν οὐδὲν αὔταρκες. ἀλλὰ δεῖ τοῖς εὖ φρονοῦσι τοὺς μὲν πολέμους ὀξεῖς, τὴν δὲ εἰρήνην ἐπιμηκίστην εἶναι.

CXX. Τοὺς μὲν οὖν καιροὺς, καὶ τὰ ἐς τοῦτον ἔργα, ἐπιμηχανησόμεθα ἡμεῖς, οὐ μεμπτοὶ καὶ τῆς ἐχθὲς ὁρμῆς τε καὶ μηχανῆς ὑμῖν γενόμενοι· τὴν δ᾽ ἀρετὴν ὑμεῖς, ὅταν αἰτῆσθε, ἀποδίδοτε τοῖς στρατηγοῖς· μηδὲ ἄχθεσθε τῆς ἐχθὲς ἁρπαγῆς, μηδ᾽ ἐπ᾽ ὀλίγον. οὐ γὰρ, ἐν οἷς ἔχομεν, ἐστὶ τὸ πλουτεῖν· ἀλλ᾽ ἐν τῷ κρατεῖν ταῖς δυνάμεσιν· ὃ καὶ τὰ ἐχθὲς ἀφαιρεθέντα, ἔτι ὄντα παρὰ τοῖς πολεμίοις σῶα, καὶ τὰ πολέμια αὐτὰ ἐπ᾽ ἐκείνοις, κρατοῦσιν ἡμῖν ἀποδώσει. καὶ εἰ ἐπειγόμεθα αὐτὰ λα-

Lin. 20. οὐδ᾽ ἔτι βραδυν. *Edd. Recte Aug. Cand. Ibid. sq.* ἀλλὰ δὴ τοῖς *edit.* 1. *mend. L.* 22. ἐπὶ μήκιστον *edit.* 3. *invitis MSS. L.* 23. *Aut* ἐς τούτους, *ut maluerat H. Stephanus, aut* ἐς τοῦτο, *utique videtur legendum. L.* 24. ἐπιμηχανησώμεθα *edit.* 1. 2. *ex Regiis. Correxit Tollius, monente H. Stephano: & sic dedit Aug. L.* 31. εἰ ἐπειγώμεθα *edit.* 1. *perperam.*

„ ſicuti heri feciſtis, rurſus ad pugnandum eos cogite; turpe putantes cedere territis, abſtinere a ſegnibus, & minoris arma virtutemque veſtram quam illorum munimenta æſtimare. Neque enim nobis certe pariter atque illis propoſitum eſt, in campis perpetuo degere: & morantes cuncta deficient. Imo vero, *qui ſapiunt, curant, ut bellum abſolvant quam celerrime, et pace quam diutiſſime fruantur.*

120. „Igitur opportunitates rationemque rerum gerendarum nos providebimus, quos heri non pœnitendos ardoris & conatus duces habuiſtis: vos contra, ubi imperatores poſtulaverint, virtutem exſerite. Neque vero moerore ullo vos adficiat heſterna jactura. Non enim in his quæ habemus ſitæ ſunt noſtræ divitiæ, ſed in victoria virtute parta: quæ non ſolum eas res, quæ heri nobis ablatæ ſunt, & integræ adhuc apud hoſtem ſervantur, vincentibus nobis reſtituet, ſed & ipſorum hoſtium bona nobis tradet. Quibus ſi quampri-

βεῖν, ἐπειγώμεθα ἐπὶ τὴν μάχην. ἱκανὰ δὲ καὶ ἐχθὲς ἀντειλήφαμεν αὐτῶν, καὶ τῶν ἡμετέρων ἴσως ἱκανώτερα. οἱ μὲν γὰρ ἐκ τῆς Ἀσίας πάνθ᾽, ὅσα ἐβιάσαντο καὶ ἥρπασαν, ἐπήγοντο· ὑμεῖς δὲ, ὡς ἐκ πατρίδος ἰόντες, τὰ μὲν δαψιλέστερα οἴκοι ὑπελίπεσθε, τὰ δ᾽ ἀναγκαῖα μόνα ἐπήγεσθε. εἰ δέ τι καὶ δαψιλὲς ἦν, ἡμέτερον ἦν τῶν στρατηγῶν, οἳ πάντα ἐσμὲν ὑπὲρ τῆς ὑμετέρας νίκης ἐπιδιδόναι πρόθυμοι. καὶ τῆς τοιαύτης δὲ ὅμως ζημίας ὑμῖν ἕνεκα ἐπιδώσομεν νικητήρια, δραχμὰς ἑκάστῳ στρατιώτῃ πεντακισχιλίας, λοχαγῷ δὲ πεντάκι τοσαύτας, χιλιάρχῃ δὲ τὸ διπλάσιον τοῦ λοχαγοῦ. A. U. 712.

CXXI. Τοιαῦτα εἰπὼν, τῆς ἐπιούσης πάλιν ἐξέτασσε. καὶ οὐ κατιόντων οὐδὲ τότε τῶν πολεμίων, ὁ μὲν Ἀντώνιος ἐβαρυθύμει, καὶ ἐξέτασσεν αἰεί. ὁ δὲ Βροῦτος τοῦ στρατοῦ τὸ μὲν εἶχε συντεταγμένον, μὴ ἀναγκασθείη μάχεσθαι, τῷ δὲ τὰς ὁδοὺς τῆς κομιδῆς τῶν ἀναγ-

Lin. 32. λαβεῖν, ἐπειγόμεθα *edit.* 2. *oper. err.* *L.* 33. ἱκανότερα *edit.* 2. *oper. err.* *L.* 37. ὑμέτερον *edit.* 1. *invit. MSS.* *L.* 38. ἡμετέρας *Regii.* *L.* 41. πεντάκις *Aug.* *L.* 44. τότε *carent Edd. male. Dederunt Reg. A. Aug. Ven.*

„mum potiri cupimus, ad pugnandum festinemus. Quamquam heri jam satis multa pro illis vicissim recepimus; ac fortasse plura quam amisimus: nam illi, quidquid ex Asia per vim rapuerunt, secum ferebant; vos, e patria discedentes, relictis rebus pretiosioribus, necessaria tantum vobiscum adtulistis. Quod si quid tamen etiam fuit lautius, nobis imperatoribus illud erit ablatum, qui vobis pro victoria vestra omnia de nostro restituere sumus parati: neque vero obstabit ea jactura quominus „vobis persolvatur victoriæ præmium, in milites singulos viginti millia HS. centurioni quintuplum, tribuno duplum ejus quod accipit centurio.„

121. In hanc sententiam locutus *Antonius*, postridie ejus diei rursus in aciem milites produxit. Quumque hostis non descenderet, moleste id tulit, nec destitit quotidie eos producere. *Brutus* vero copias suas partim instructas habebat, ne cogeretur invitus pugnare; partim per viam, qua commeatus adferebantur, certis intervallis disposuerat præ-

A. U. 712. καίων διελάμβανε. Λόφος δὲ ἦν ἀγχοτάτω τοῦ Κασσίου στρατοπέδου, δυσχερὴς μὲν ὑπὸ ἐχθρῶν καταληφθῆναι, διὰ τὴν ἐγγύτητα ἐστοξεύεσθαι δυναμένων· ὁ δὲ Κάσσιος αὐτὸν ὅμως ἐφρούρει, μὴ καὶ παρὰ δόξαν ἐπιτολμήσειέ τις. ἐκλειφθέντα δὲ ὑπὸ τοῦ Βρούτου, κατέλαβον οἱ περὶ τὸν Καίσαρα νυκτὸς, τέσσαρσι τέλεσιν, ἐπαγόμενοι γέῤῥα πολλὰ καὶ διφθέρας ἐς προβολὴν τοῖς τοξεύμασιν. Ὡς δὲ κατέσχον, ἄλλα τέλη δέκα μετεστρατοπέδευον ὑπὲρ πέντε σταδίους, ἀπιοῦσιν ἐπὶ τὴν θάλασσαν· καὶ ὑπὲρ ἄλλους τέσσαρας, δύο· ὡς τῷδε τῷ τρόπῳ προελευσόμενοι μέχρι θαλάσσης, καὶ ἢ παρ' αὐτὴν ἄρα τὴν θάλασσαν, ἢ διὰ τῶν ἑλῶν, ἢ ὅν τινα τρόπον ἄλλον ἐπενόουν, βιασόμενοι, καὶ τὴν ἀγορὰν ἀποκλείσοντες τῶν πολεμίων. Καὶ ὁ Βροῦτος αὐτοῖς ἀντεμηχανᾶτο, ἄλλα τε, καὶ φρούρια ἀντικαθιστὰς τοῖς ἐκείνων στρατοπέδοις.

CXXII. Τὸ δὲ ἔργον ἤπειγε τοὺς ἀμφὶ τὸν Καίσαρα· καὶ λιμὸς ἦν ἤδη σαφὴς, ἔς τε μέγεθος καὶ δέος ἑκάστης ἡμέρας

Lin. 48. ἀγχωτάτω *Edd. invitis MSS.* *L.* 53. τέτρασι τέλεσιν *Aug.* [?] *Ven.* *L.* 54. γέρα *mend. edit.* 1. *cum Regiis.* *L.* 57. ὡς δὲ τῷ τρόπῳ *edit.* 1. *male cum Regiis.* *L.* 58. καὶ ἡ παρ' αὐτὴν *edit.* 2. 3. *mend.*

ſidia. Erat tumulus proximus caſtris Caſſii, quem occupare hoſti erat difficile, quia ſagittis e caſtris infeſtari poterat: ei tamen Caſſius impoſuerat præſidium, ne quis audacior eum invaderet. Hunc, a *Bruto* derelictum, *Cæſariani* occuparunt noctu quatuor legionibus, frequentibus cratibus protecti ac coriis ad arcenda miſſilia. Quo occupato, aliæ decem legiones moverunt caſtra verſus mare quinque ſtadia; & inde porro quatuor ſtadiorum intervallo duæ metatæ ſunt; eoque modo extenſuri ſe erant uſque ad mare, cogitantes, aut per littus, aut per paludes, aut quacumque alia ratione, perrumpere, & intercludere commeatus hoſtium. Huic conſilio *Brutus* occurrit, cum aliis artibus, tum caſtellis ex adverſo hoſtilium caſtrorum oppoſitis.

122. At *Cæſariani* moras ferre non poterant, *fame* jam *manifeſte preſſi*, quæ in dies creſcens metum augebat. Nam nec e

ἡμέρας ἐπεγίγνετο. οὔτε γὰρ ἐκ Θεσσαλίας αὐτοῖς ἔτι τὰ ἀρκοῦντα ἐκομίζετο· οὔτε τις ἦν ἐλπὶς ἐκ θαλάσσης, ναυκρατούντων πανταχῇ τῶν πολεμίων· τῆς τε ἔναγχος περὶ τὸν Ἰόνιον συμφορᾶς ἐξηγγελμένης ἐς ἑκατέρους ἤδη, μᾶλλον ἐδεδοίκεσαν, αὐτά τε, καὶ τὸν χειμῶνα προσιόντα, ὡς ἐν πεδίῳ πηλώδει σταθμεύοντες. ὧν ἐνθυμούμενοι, τέλος μὲν ὁπλιτῶν ἐς Ἀχαΐαν ἐξέπεμψαν, ἀγείρειν τὰ ἐντυγχάνοντα πάντα, καὶ πέμπειν σφίσι κατὰ σπουδήν. Οὐκ ἀνεχόμενοι δὲ κινδύνου τοσοῦδε προσιόντος, οὔτε τῶν ἄλλων ἐπιτεχνήσεων, οὔτε ἐν τῷ πεδίῳ λοιπὸν ἐκτάσσειν, παρὰ τὸ τείχισμα τῶν ἐχθρῶν ἀνέβαινον μετὰ βοῆς, καὶ τὸν Βροῦτον ἐκάλουν ἐς μάχην, ἐπισκώπτοντες ἅμα καὶ λοιδοροῦντες, καὶ ἐγνωκότες οὐ πολιορκίας τρόπῳ μᾶλλον, ἢ μανιώδει φορᾷ, μὴ βουλομένῳ συμπλέκεσθαι.

CXXIII. Τῷ δὲ, αὐτῷ μὲν, ἔγνωστο τὰ ἀπ' ἀρχῆς·

Lin. 66. ἐπιγίγνεται *Edd. ex Reg. B. Recte Reg. A. & Aug.* *L. 67.* τις ἐλπὶς ἦν *Edd. Prætuli Aug. Reg. B.* *L. 76.* ἐκτάσσειν τὸ παρατείχισμα τῶν ἐχθρῶν, ἀνέβαινον *Edd. & MSSti, nisi quod rectius distinguat Aug.* juxta hostilem murum *Cand. Cogitaveram* τοῖς τε παρατειχίσμασι, *sed magis placuit emendatio Musgravii. Malim tamen* παρά τε περιτείχισμα. *L. 81.* ἐπ' ἀρχῆς *Edd. male. Recte Reg. B. Aug. Ven.*

nec e Theſſalia jam ſatis eis ſubvehebatur, nec e mari quidquam poterant ſperare, claſſibus hoſtium totius maris imperium tenentibus: quin & navalis in Ionio mari pugnæ eventus, ad utrumque exercitum jam perlatus, timorem auxerat; adpetente præſertim hieme, quæ in planitie cœnoſa manentibus eo moleſtior erat futura. Quibus cogitationibus commoti, unam quidem legionem miſerunt in Achajam, quæ, quidquid nanciſceretur, collectum feſtine ad exercitum mitteret. Sed inſtante tanto periculo anxii, quum nec reliquis artibus proficerent quidquam, & tæderet eos fruſtra ſemper in campis oſtentare aciem; ad ipſam tandem munitionem hoſtium cum clamore adſcenderunt, *ad pugnam provocantes Brutum* cavillis atque conviciis, paratique non tam oppugnare, quam inſano impetu invitum ad prælium compellere.

123. At *Brutus* quidem ipſe *perſtabat in propoſito*; eoque

A. U. 712.

καὶ μᾶλλον ἔτι, πυνθανομένῳ περί τε τοῦ λιμοῦ καὶ περὶ τῆς κατὰ τὸν Ἰόνιον εὐπραξίας, καὶ τῶν πολεμίων ὁρῶντι τὴν ἐκ τῆς ἀπορίας ἀπόνοιαν. καὶ ᾑρεῖτο πολιορκίας καὶ ἄλλου παντὸς ἀνέχεσθαι μᾶλλον, ἢ ἐς χεῖρας ἰέναι ἀνδράσιν ἐπειγομένοις ὑπὸ λιμοῦ, καὶ ἀπογιγνώσκουσιν ἐκ τῶν ἄλλων ἑαυτοὺς, καὶ ἐν μόναις ταῖς χερσὶ τὴν ἐλπίδα ἔχουσιν. Ὁ δὲ στρατὸς οὐχ ὁμοίως εἶχεν, ὑπὸ ἀφροσύνης· ἀλλ' ἐδυσφόρουν, γυναικῶν τρόπον ἔνδον μετὰ ἀπραξίας καὶ φόβου κατακεκλεισμένοι. ἐδυσχέραινον δὲ καὶ οἱ ἡγεμόνες αὐτῶν, ἐπαινοῦντες μὲν τὸ ἐνθύμημα τοῦ Βρούτου, νομίζοντες δὲ καὶ θᾶσσον ἐπικρατήσειν τῶν πολεμίων μετὰ προθύμου στρατοῦ. Αἴτιον δὲ τούτων ἦν αὐτὸ τὸ Βροῦτον ἐπιεικῆ καὶ φιλόφρονα ἐς ἅπαντας εἶναι, καὶ ἀνόμοιον Κασσίῳ, αὐστηρῷ καὶ ἀρχικῷ περὶ πάντα γεγενημένῳ. ὅθεν ἐκείνῳ μὲν ἐξ ἐπιτάγματος ὑπήκουον, οὐ παραστρατηγοῦντες, οὐδὲ τὰς αἰτίας μανθάνοντες, οὐδὲ εὐθύνοντες ὅτε καὶ μάθοιεν· Βρούτῳ δὲ οὐδὲν ἀλλ' ἢ συστρατηγεῖν ἠξίουν, διὰ πραΰτητα.

Lin. 99. ἠξίου *Edd. perperam. Recte Aug.*

magis, quod audierat de fame & de suorum navali victoria, videbatque hostium desperationem ex inopia natam: & malebat oppugnationem aut aliud quidvis sustinere, quam confligere cum viris fame pressis, qui, desperatis ceteris rebus omnibus, totam fiduciam in armis haberent. Sed *exercitus aliter sentiebat*, per imprudentiam; moleste ferens, mulierum more in castris se otiosos præ metu concludi. Indignabanturque ductores quoque ordinum; non quod improbarent *Bruti* consilium, sed quod, alacritate militum freti, putarent citius parari posse victoriam. In causa autem erat ipse *Brutus*, *mitis ac comis erga omnes*; *dissimilis Cassio, severo et imperioso per omnia*: quapropter *Cassii* imperata omnes e vestigio exsequi consueverant; nullam imperii partem sibi adrogantes, nec rationem requirentes jussorum, nec, si scirent, redarguentes umquam. At *Bruto*, propter ipsam viri mansuetudinem, non parere, sed ex æquo cum eo imperare, volebant. Tandem, quum apertius

Τέλος δὲ τοῦ στρατοῦ φανερώτερον ἤδη κατὰ ἴλας καὶ κατὰ συστάσεις διαπυνθανομένου· Τί κατέγνωκεν ἡμῶν ὁ στρατηγός; τί ἔναγχος ἡμάρτομεν, οἱ νικήσαντες, οἱ διώξαντες; οἱ τοὺς καθ' ἡμᾶς πολεμίους κατακανόντες, οἱ τὸ στρατόπεδον αὐτῶν ἑλόντες; Βροῦτος ἑκὼν ἠμέλει, καὶ ἐς ἐκκλησίαν οὐ συνῆγε, μὴ ἀπρεπέστερον ὑπὸ τοῦ πλήθους ἀλογίστως ἐκβιασθείη, καὶ μάλιστα μισθοφόρων, οἷς ἐστὶν αἰεὶ (καθὰ καὶ τοῖς εὐχερέσιν οἰκέταις, ἐς ἑτέρους δεσπότας) ἐλπὶς ἐς σωτηρίαν ἢ ἐς τὸ ἀντίπαλον μεταβολή. A. U. 712.

CXXIV. Ἐνοχλούντων δὲ αὐτῷ καὶ τῶν ἡγεμόνων, καὶ κελευόντων νῦν μὲν ἀποχρήσασθαι τοῦ στρατοῦ τῇ προθυμίᾳ, τάχα τι λαμπρὸν ἐργασομένου· ἢν δ' ἀντιπίπτῃ τι παρὰ τὴν μάχην, ἐπανιέναι πάλιν ἐς τὰ τείχη, καὶ προβάλλεσθαι τὰ αὐτὰ χαρακώματα· χαλεπήνας ὁ Βροῦτος τοῖσδε μάλιστα, ἡγεμόσιν οὖσι, καὶ περιαλγήσας, ὅτι τὸν αὐτὸν οἱ κίνδυνον ἐπικείμενοι συμφέρονται τῷ στρατῷ κουφόνως, ἀμφίβολον καὶ ὀξεῖαν

Lin. 9 sq. Pro ἐς τὸ ἀντίπαλον dant mend. ἐς τὸν Ἀντώνιον Aug. Ven.
L. 13. ἐργασαμένου edit. 1.

jam in militum circulis, turmatim coëuntium, voces jactarentur hujusmodi: *Quo nostro merito imperator nos condemnat? quid peccavimus nuper, qui hostes fudimus et fugavimus? qui oppositum nobis cornu concidimus? qui castra expugnavimus hostium?* consulto dissimulavit *Brutus*, nec concionem advocavit, ne magis etiam indecore ab ipsa multitudine rationis experte cogeretur, præsertim a mercenaria turba, quæ semper in transitione ad partem adversam, sicut inconstantes servuli in mutatione dominorum, nescio quam spem salutis ponere solet.

124. Sed *legatis* quoque *tribunisque instantibus*, monentibusque „utendum præsenti alacritate militum; fortassis enim effecturos aliquid egregium: quod si quid adversum acciderit, redeundum intra vallum, & easdem munitiones hosti objiciendas:" his quidem maxime indignatus *Brutus*, dolensque, quod, pari periculo cum ipso obnoxii, pari levitate abriperentur cum militibus, dubiam citam

A. U. 712. τύχην προτιθέντι νίκης ἀκινδύνου, εἶξεν ἐπ' οἰκείῳ καὶ σφῶν ἐκείνων ὀλέθρῳ, τοσόνδε ἐπιμεμψάμενος αὐτοῖς· Ἐοίκαμεν ὡς Πομπήϊος Μάγνος πολεμήσειν, οὐ στρατηγοῦντες ἔτι μᾶλλον, ἢ στρατηγούμενοι. Καί μοι δοκεῖ τόδε μόνον ἐξειπεῖν, ἐπικρύπτων ὃ ἐδεδοίκει μάλιστα, μὴ ὁ στρατὸς, οἷα τοῦ πάλαι Καίσαρος γεγονὼς, ἀγανακτήσειέ τε καὶ μεταβάλοιτο· ὅπερ ἐξ ἀρχῆς αὐτός τε καὶ Κάσσιος ὑφορώμενοι, ἐς οὐδὲν ἔργον αὐτοῖς πρόφασιν ἀγανακτήσεως ἐπὶ σφίσιν ἐνεδίδουν.

CXXV. Ὧδε μὲν δὴ καὶ ὁ Βροῦτος ἐξῆγεν ἄκων, καὶ ἐς τάξεις διεκόσμει πρὸ τοῦ τείχους, καὶ ἐδίδασκε μὴ πολὺ προύχειν τοῦ λόφου, ἵνα αὐτοῖς ἥ τε ἀναχώρησις, εἰ δεήσειεν, εὐχερὴς εἴη, καὶ τὰ ἐς τοὺς πολεμίους ἀφιέμενα ἐπιδέξια. ἦν δὲ ἑκατέρωθεν παρακέλευσίς τε πάντων ἐς ἀλλήλους, καὶ φρόνημα ἐπὶ τῷ ἔργῳ μέγα, καὶ θρασύτης ὑπὲρ λόγον ἀναγκαῖον· τοῖς μὲν, ὑπὸ δέους λιμοῦ· τοῖς δὲ ὑπὸ αἰδοῦς δικαίας, βιασαμένοις τὸν

Lin. 25. μεταβάλλοιτο *Aug. Ven.* *L.* 25 *sq.* καὶ ὁ Κάσσιος *Edd. invitis Reg. B. & Aug.* *L.* 27. ἐδίδουν *Reg. B.*

que fortunam anteponentibus tutæ victoriæ; *cessit tandem, in suam et ipsorum perniciem*, his tantum verbis conquestus: „Videor *ut Pompejus Magnus* bellum gesturus; non tam imperator, quam imperata faciens." Et, quantum ego intelligo, ideo non plura dixit, quia dissimulabat id quod metuebat maxime, ne exercitus, C. Cæsaris militiam olim secutus, nunc indignatione commotus ad hostem signa transferret: quod ipsum jam inde ab initio & ipse *Brutus* & Cassius veriti, sedulo caverant, ne ullam materiam stomachandi adversus sese militibus præberent.

125. Ita *Brutus* quoque suos produxit *invitus*, & ante munitiones struxit aciem: subinde admonens, ne longius a tumulo procederent; ut & receptus, si res id posceret, esset facilis, & eo commodius in hostem e superiore loco possent tela conjicere. Erat autem in utrisque aciebus mutua cohortatio, & summa pugnandi cupiditas, audaciaque modum necessarium excedens; quod alteros fames urgeret, alteros justus pudor, qui imperatorem cunctantem

στρατηγὸν ἀναβαλλόμενον ἔτι, μὴ χείροσιν ὧν ὑπέσχοντο ὀφθῆναι, μηδὲ ἀσθενεστέροις ὧν ἐθρασύνοντο, μηδὲ προπετείας ὑπευθύνοις μᾶλλον, ἢ ἀξιεπαίνοις εὐβουλίας. ἃ καὶ ὁ Βροῦτος αὐτοῖς, ἐπὶ ἵππου παραθέων, σοβαρῷ τῷ προσώπῳ προενέφαινε· καὶ δι' ὀλίγων ὑπεμίμνησκεν, ὅσον ὁ καιρὸς ἐδίδου· Ὑμεῖς ἠθελήσατε μάχεσθαι· ὑμεῖς με, ἑτέρως ἔχοντα, νικᾶν ἐβιάσασθε· μὴ δὴ ψεύσησθε τῆς ἐλπίδος μήτε ἐμὲ μήτε αὐτούς. ἔχετε καὶ λόφον σύμμαχον, καὶ τὰ κατὰ νώτου πάντα ἴδια. οἱ πολέμιοι δ' εἰσὶν ἐν ἀμφιβόλῳ· μεταξὺ γάρ εἰσιν ὑμῶν τε καὶ λιμοῦ. Ὁ μὲν τοιαῦτα λέγων διετρόχαζε, καὶ αὐτοὶ αἱ τάξεις ἐπήλπιζον, καὶ μετὰ βοῆς παρέπεμπον εὐφήμου. A. U. 712.

CXXVI. Ὁ δὲ Καῖσαρ καὶ ὁ Ἀντώνιος τοὺς ἰδίους περιθέοντες, τήν τε δεξιὰν ὤρεγον ἐς οὓς παραγένοιντο, καὶ σοβαρώτερον ἔτι οἵδε ἐπέσπερχον αὐτούς, καὶ τὸν λιμὸν οὐκ ἐπέκρυπτον, ὡς εὔκαιρον ἐς εὐτολμίαν προφέρειν· Εὕρομεν, ὦ ἄνδρες, τοὺς πολεμίους· ἔχομεν οὓς ἐζητοῦ-

Lin. 41. ὅσον *Aug. rectius fortasse.* *Ibid.* ἐθελήσατε *Edd. Prætuli Aug.* *L.*42. μηδὲ ψεύσησθε *Edd. mend. Recte Aug. Reg. A.* *L.* 50. ἐφ' οὓς *Edd. Prætuli Aug. Reg. B.* *L.* 52. ἐς *ante* εὐτολμίαν *abest ab Editis. Dedit Aug.*

adhuc coëgerant ad prælium; quibus tunc curæ erat, ut re adpareret fortitudo & audacia, quam verbis præ se tulerant; ne temeritatem magis secuti viderentur, quam laudabile consilium. Quod & *Brutus*, *obequitans ordines*, severo vultu eis ingerebat, paucis pro tempore admonens: „Vos pugnare voluistis: vos me, aliter sentientem, vincere cogitis: cavete, ne vel meam vel vestram spem frustremini. Et tumulus vos protegit, & a tergo vestra omnia tuta habetis. Hostes in ancipiti sunt periculo, inter vos & famem positi." Talia monens discurrebat, ordinibus adclamantibus & fausta ominantibus.

126. *Cæsar* vero *et Antonius*, suos uterque obequitans, dextramque proximis porrigens, severioribus etiam gravioribusque verbis concitabant; neque famem dissimulabant, opportunum momentum ad accendendam audaciam: „Invenimus hostem; *Milites!* adepti sumus extra mu-

A. U. 712. μεν ἔξω τείχους λαβεῖν. Μὴ δή τις ὑμῶν τὴν ἰδίαν πρόκλησιν καταισχύνῃ, μηδὲ τῆς ἀπειλῆς ἐλάττων γένηται· μηδὲ λιμὸν, ὄλεθρον ἀμήχανόν τε καὶ ἐπώδυνον, ἕληται μᾶλλον, ἢ πολεμίων τείχη καὶ σώματα, ἃ καὶ τόλμαις ἐνδίδωσι καὶ σιδήρῳ καὶ ἀπονοίᾳ. Ἔχει δὲ ἡμῖν ἐπείξεως ὧδε τὰ παρόντα, ὡς μηδὲν ἐς τὴν ἐπιοῦσαν ἡμέραν ἀνατίθεσθαι, ἀλλὰ σήμερον περὶ ἁπάντων διακριθῆναι μέχρι νίκης ἐντελοῦς, ἢ εὐγενοῦς θανάτου. Νικῶσι δ' ἐστὶ λαβεῖν, διὰ μιᾶς ἡμέρας καὶ δι' ἑνὸς ἔργου, τροφὰς καὶ χρήματα καὶ ναῦς καὶ στρατόπεδα, καὶ τὰ νικητήρια παρ' ἡμῶν. Ἔσται δὲ ταῦτα, ἢν πρῶτον μὲν ἐμβαλόντες αὐτοῖς μνημονεύωμεν τῶν ἐπειγόντων· εἶτα παραρρήξαντες, εὐθὺς ἀποκλείωμεν ἀπὸ τῶν πυλῶν, ἐς δὲ τοὺς κρημνοὺς ἢ τὰ πεδία περιωθῶμεν· ἵνα μὴ ὁ πόλεμος αὖθις ἀναφύοιτο, μηδὲ ἐς τὴν ἀργίαν πάλιν οἱ ἐχθροὶ διαδιδράσκοιεν, οἳ δι' ἀσθένειαν, μόνοι δὴ πολεμίων, οὐκ ἐν τῷ μάχεσθαι τὰς ἐλπίδας ἔχουσιν, ἀλλ' ἐν τῷ μὴ μάχεσθαι.

Lin. 60. *Pro* περὶ *dant* ἐπὶ *edit.* 2. 3. *mend.* & *invitis MSS.* *L.* 64. ἐμβαλλόντες (*sic*) *Aug. Reg. B.*

„nitiones quos quæsivimus: Cavete, ne quis vestrûm suam provocationem dehonestet, ne minis facta parum respondeant! Cavete, ne malitis cum fame, acerbo malo & inexpugnabili, conflictari, quam cum hostium munimentis corporibusque, ferro vestro & audaciæ atque adeo desperationi cessuris. Sunt vero eo in statu res nostræ, ut in crastinum non liceat differre: hodie de rerum summa decernendum est, & aut vincendum omnino, aut generose cadendum. Vincentibus autem, uno die, uno labore, alimenta & pe„cuniam & classes & castra licet obtinere, & insuper a nobis victoriæ præmia. Vincemus autem, si primo congressu memores necessitatis fuerimus; deinde si, perruptis hostium ordinibus, confestim reditum ad portam eis intercluserimus, & aut in prærupta eos aut in plana propulerimus; ne bellum rursus renascatur, neve inimici ad otium refugiant: qui, imbecillitatis suæ conscientia, soli hostium non in pugnando spem collocant, sed in abstinendo a pugna."

CXXVII. Οὕτως μὲν ὁ Καῖσάρ τε καὶ ὁ Ἀντώνιος παρώτρυνον, ἐφ' οὓς παραγένοιντο. καὶ πᾶσιν ἦν αἰδὼς, ἀξίοις τε φανῆναι τῶν στρατηγῶν, καὶ τὴν ἀπορίαν ἐκφυγεῖν, ὑπεραυξηθεῖσαν ἐκ παραλόγου διὰ τὰ ἐν τῷ Ἰονίῳ γενόμενα. ἡγοῦντό τε, ἐν ἔργῳ καὶ ἐν ἐλπίσιν, εἰ δέοι, τὶ παθεῖν, μᾶλλον, ἢ ὑπὸ ἀμηχάνου κακοῦ δαπανώμενοι. Ὧδε δὲ ἐχόντων αὐτῶν, καὶ πρὸς τὸν ἐγγὺς αὐτὰ ἐκφερόντων ἑκάστου, ὁ θυμὸς ἀμφοτέρων ηὔξετο μάλιστα, καὶ ἐνεπίμπλαντο τόλμης ἀκαταπλήκτου. οὐδέν τε ἐν τῷ παρόντι, ἀλλήλων ὅτι ἦσαν πολῖται, οὐδὲ ἐπεμέμνηντο· ἀλλ' ὡς ἐκ φύσεως καὶ γένους ἐχθροῖς ἐπηπείλουν. οὕτως ἡ παραυτίκα ὀργὴ τὸν λογισμὸν αὐτοῖς καὶ τὴν φύσιν ἔσβεσεν. Ἐπεμαντεύοντο δὲ ὁμαλῶς ἑκάτεροι, τήνδε τὴν ἡμέραν ἐν τῷδε τῷ ἔργῳ πάντα τὰ Ῥωμαίων πράγματα κρινεῖν. καὶ ἐκρίθη.

A. U. 712.

CXXVIII. Ἤδη δὲ τῆς ἡμέρας ἀμφὶ τήνδε τὴν παρασκευὴν ἐς ἐνάτην ὥραν δεδαπανημένης, αἰετοὶ δύο ἐς τὸ

Lin. 72. τε *post* Καῖσαρ *caret Aug.* *L.* 80. ἐνεπίπλαντο *Reg. B.* *L.* 88. ἐννάτην *Edd. Expressi scripturam Aug.*

127. His tunc adhortationibus *Cæsar et Antonius*, quacunque se verterent, utebantur. Et pudor omnes incesserat, cupiditasque dignos se præstandi exspectatione imperatorum, & effugiendi famem ex necopinato supra modum auctam per cladem in Adriatico mari acceptam. Malebantque in acie cum bona spe cadere, si ita res ferret, quam absumi malo inexpugnabili. Hoc modo adfectis militibus, & hujusmodi cogitationes inter se mutuo conferentibus, mirum in modum utrique exercitui aucti sunt animi, & audacia repleti sunt nullum formidante periculum. Neque subibat in præsenti cogitatio, esse inter se jure civium conjunctos: sed, veluti natura hostes fuissent & gentilitio quodam odio exagitati, sic minas alteri in alteros jactabant. Adeo præsens ira plus, quam ratio naturaque, valuit. Utrique autem pariter divinabant, *hoc ipso die, eodem hoc prælio, de summa rerum Romanarum decerni.* Et decretum est.

128. Jam dies, dum se parant, ad nonam horam processerat, quum coortæ duæ

A. U. 712. μεταίχμιον συμπεσόντες ἀλλήλοις ἐπολέμουν· καὶ ἦν σιγὴ βαθυτάτη. Φυγόντος δὲ τοῦ κατὰ Βροῦτον, βοή τε παρὰ τῶν πολεμίων ὀξεῖα ἐγέρθη, καὶ τὰ σημεῖα ἑκατέρωθεν ἐπῄροτο, καὶ ἔφοδος ἦν σοβαρά τε καὶ ἀπηνής. τοξευμάτων μὲν δὴ καὶ λίθων ἢ ἀκοντισμάτων ὀλίγον αὐτοῖς ἐδέησε πολέμου νόμῳ, ἐπεὶ οὐδὲ τῇ ἄλλῃ τέχνῃ καὶ τάξει τῶν ἔργων ἐχρῶντο· ἀλλὰ γυμνοῖς τοῖς ξίφεσι συμπλεκόμενοι ἔκοπτόν τε καὶ ἐκόπτοντο, καὶ ἀλλήλους ἐξώθουν ἀπὸ τῆς τάξεως· οἱ μὲν, περὶ σωτηρίας μᾶλλον ἢ νίκης· οἱ δὲ, περὶ νίκης καὶ παρηγορίας στρατηγοῦ βεβιασμένου. Φόνος δὲ ἦν καὶ στόνος πολύς. καὶ τὰ μὲν σώματα αὐτοῖς ὑπεξεφέρετο, ἕτεροι δὲ ἀντικαθίσταντο ἐκ τῶν ἐπιτεταγμένων. οἱ στρατηγοὶ δὲ σφᾶς, περιθέοντες, καὶ ὁρώμενοι πανταχοῦ, ταῖς τε ὁρμαῖς ἀνέφερον, καὶ παρεκάλουν πονοῦντας ἔτι προσπονῆσαι, καὶ τοὺς κεκμηκότας ἐνήλλασσον, ὥστε ὁ θυμὸς αἰεὶ τοῖς ἐπὶ τοῦ μετώπου καινὸς ἦν. Τέλος δὲ οἱ τοῦ

Lin. 90. κατὰ Βρούτου *Edd. mend. Recte Reg. A. Aug. Ven.* *L.* 92 *sq.* ἀπεινὴς *Edd. mend. invitis Reg. A. Aug.* *L.* 96. τοῖς, *ante* ξίφεσι, *carent Edd. Dederunt Reg. A. & Aug.* *L.* 97. ἐξώθων *edit.* 1. *mend.*

aquilæ pugnare secum cœperunt inter utramque aciem, intentam summo silentio. Quarum postquam fugata est ea, quæ a *Bruto* steterat, conclamarunt hostes, & *signa utrimque collata sunt.* Fuitque *congressus superbus et atrox.* Omissis enim mox cujusque generis missilibus, ceterisque artibus rationibusve quæ in præliis adhiberi mos est, nudatis protinus gladiis pugnabant cominus: ferientes & ictus excipientes, impulsuque mutuo turbare conantes adversariorum ordines; alteri pro salute magis, quam pro victoria, certantes; alteri pro ipsa victoria, & pro solatio imperatoris, quem importunitate sua ad id prælium coëgerant. Eratque multa ubique cædes, multus gemitus: & subtractis semper cadentium corporibus, alii statim ex proximis ordinibus succedebant. Imperatoresque circumcursantes, & nusquam non conspicui, impetu ardoreque suo erigebant laborantes, hortabanturque ut durarent etiamnum paulisper, & in fessorum locum recentes sufficiebant, ut a fronte sem-

Καίσαρος, εἴτε διὰ δέος τοῦ λιμοῦ, εἴτε δι' αὐτοῦ Καίσαρος εὐτυχίαν, (οὐ γὰρ ἐπίμεμπτοί γε ἦσαν οὐδὲ οἱ Βρούτειοι·) τὴν φάλαγγα τῶν ἐχθρῶν ἐκίνουν, ὥσπερ τι μηχάνημα τῶν βαρυτάτων ἀνατρέποντες· οἱ δ' ἀνεωθοῦντο μὲν ἐπὶ πόδας ἐς τὸ ὀπίσω βάδην ἔτι καὶ μετὰ φρονήματος. ὡς δὲ αὐτοῖς καὶ ἡ σύνταξις ἤδη παρελέλυτο, ὀξύτερον ὑπεχώρουν, καὶ τῶν ἐπιτεταγμένων σφίσι δευτέρων καὶ τρίτων συνυπεχωρούντων, μισγόμενοι πάντες ἀλλήλοις ἀκόσμως, ἐθλίβοντο ὑπὸ σφῶν καὶ τῶν πολεμίων, ἀπαύστως αὐτοῖς ἐπικειμένων, ἕως ἔφευγον ἤδη σαφῶς. Καὶ οἱ τοῦ Καίσαρος, τότε μάλιστα τοῦ παρηγγελμένου σφίσιν ἐγκρατῶς ἐχόμενοι, τὰς πύλας προελάμβανον σφόδρα ἐπικινδύνως· ἄνωθέν τε γὰρ ἐβάλλοντο, καὶ ἐκ τοῦ μετώπου· μέχρι πολλοὺς ἐσδραμεῖν ἐκώλυσαν, οἳ διέφυγον ἐπί τε τὴν θάλασσαν, καὶ ἐς τὰ ὄρη διὰ τοῦ ποταμοῦ τοῦ Ζυγάκτου.

A. U. 712.

CXXIX. Γενομένης δὲ τῆς τροπῆς, τὸ λοιπὸν ἔργον οἱ στρατηγοὶ διῃροῦντο· Καῖσαρ μὲν, αἱρεῖν τοὺς ἐκπί-

per redintegrarentur animi. Tandem Cæfariani, five propter metum famis, five propter fortunam ipfius Cæfaris, (nam nec *Bruti milites* incufari poterant) aciem adverfam loco moverunt, ac fi impreffione facta machinam quampiam protruderent graviffimam: hoftes vero *pedem referebant*, lente etiam tum & intrepide. Ut vero ordines quoque cœperunt diffolvi, concitatius fe recipiebant; &, cedentibus fimul eis qui in fecunda ac tertia acie fteterant, mox omnes promifcue confufi cum a fuis premebantur tum ab hoftibus inceffanter urgentibus, tandemque *in non dubiam fugam effundebantur.* Jamque *Cæfariani*, mandatorum tunc maxime memores, *portam caftrorum*, magno fuo periculo (telis enim & fuperne & a fronte petebantur,) *occuparunt*, *et magnam multitudinem reditu excluferunt*; quæ partim ad mare, partim in montes per Zygacten fluvium, fuga fe proripuit.

129. Fuga facta, quod reliquum erat operæ, imperatores inter fe partiti funt: relictoque *Cæfare*, ut erumpen-

A. U. 712. πίοντας ἐκ τοῦ στρατοπέδου, καὶ αὐτὸ φυλάσσειν τὸ στρατόπεδον· ὁ δὲ Ἀντώνιος πάντα ἦν, καὶ πᾶσιν ἐνέπιπτε, τοῖς τε φεύγουσι, καὶ τοῖς ἔτι συνεστῶσι, καὶ τοῖς ἄλλοις στρατοπέδοις αὐτῶν, ὁρμῇ τε ὑπερηφάνῳ πάντα ἐβιάζετο ὁμοῦ. καὶ περὶ τοῖς ἡγεμόσι δείσας, μὴ αὐτὸν διαφυγόντες αὖθις ἕτερον στρατὸν ἀγείρειαν, τοὺς ἱππέας ἐξέπεμπεν ἐπὶ τὰς ὁδούς τε καὶ ἐκβολὰς τῆς μάχης, αἱρεῖν τοὺς ἀποδιδράσκοντας· οἱ, διελόμενοι τὸ ἔργον, ἀνά τε τὸ ὄρος ἐφέροντο σὺν τῷ Θρακίῳ Ῥάσκῳ, δι' ἐμπειρίαν ὁδῶν συναπεσταλμένῳ, καὶ τὰ χαρακώματα καὶ κρημνοὺς περιστάντες, τοὺς ἐκφεύγοντας ἐκυνηγέτουν, καὶ τοὺς ἐντὸς ἐφρούρουν· οἱ δὲ Βροῦτον αὐτὸν ἐδίωκον. καὶ αὐτοὺς ἀσχέτως ἔχοντας τοῦ δρόμου Λουκίλιος ἰδὼν, ὑπέστη, καὶ ὡς Βροῦτος ὢν ἠξίου πρὸς Ἀντώνιον ἀντὶ τοῦ Καίσαρος ἀναχθῆναι· ᾧ δὴ καὶ μάλιστα εἶναι Βροῦτος ἐνομίσθη, τὸν ἀδιάλλακτον ἐχθρὸν ἐκκλίνων. Ἀγομένου

Lin. 31 *sq.* διελομ. τὸ ὄρος, ἀνά τε τὸ ὄρος *Edd. mend. Recte Aug. Ven. L.* 32 *sq.* δι' ἐμπειρίας *Edd. vitiose, invitis MSStis. L.* 36 *sq.* Λουκίλιος Λουκῖνος ἰδὼν *Edd.* Λουκίλλιος Λουκῖνος *Reg. A.* Λουκίλλος Λουκῖνος *Reg. B.* Λουκῖνος *Aug. nec agnoscit alterum nomen. Prætuli Cand. qui* Lucilium *h. l. & bis deinceps vocat, ignoratque* Lucinum. *L.* 37 *sqq. Verba* ὢν ἠξίου, *usque* εἶναι Βροῦτος, *per errorem omisit Aug.*

tes e castris exciperet, & ipsa castra custodiret; cetera *Antonius* cuncta simul exsequebatur, in fugientes pariter ac resistentes adhuc & in alia eorum castra impetum faciens, omniaque profligans violento impetu. Et veritus, ne duces elapsi alium colligerent exercitum, equites misit circa viarum exitus, qui fugientes exciperent: qui, divisis regionatim operis, pars per montana discurrebant cum Thrace *Rascio*, simul misso propter viarum notitiam; pars, circumdatis munitionibus præruptisque castrorum, effugientes inde, veluti feras, venabantur, & qui intus erant observabant; pars *Brutum* ipsum *persequebantur.* Quos continuato cursu venientes conspicatus *Lucilius*, substitit; &, *Brutum se fingens*, rogavit, ut ad Antonium duceretur, non ad Cæsarem; qua de causa potissimum pro Bruto etiam habitus est; quod vitaret inimicum implacabilem.

δὲ αὐτοῦ πυθόμενος ὁ Ἀντώνιος, ἀπήντα σὺν ἐπιστάσει, τὴν τύχην ὁμοῦ καὶ τὸ ἀξίωμα τ' ἀνδρὸς καὶ ἀρετὴν ἐνθυμούμενος, ὅπως Βροῦτον ὑποδέξαιτο. πλησιάσαντι δ' ὁ Λουκίλιος ἐντυχὼν, μάλα θρασέως εἶπε· Βροῦτος μὲν οὐχ ἑάλωκεν, οὐδὲ ἁλώσεταί ποτε πρὸς κακίας ἀρετή· ἐγὼ δὲ, τούσδε ἀπατήσας, ὧδέ σοι πάρειμι. Καὶ ὁ Ἀντώνιος τοὺς ἱππέας ἰδὼν αἰδουμένους, παρηγόρει· καὶ, οὐ μείονά μοι τήνδε ἄγραν, εἶπεν, ἀλλὰ ἀμείνονα ἧς ἐνομίζετε, ἐθηρεύσατε, ὅσῳ κρείττον ἐχθροῦ φίλος. καὶ τὸν Λουκίλιον τότε μέν τινι τῶν φίλων ἔδωκε θεραπεύειν· ὕστερον δὲ αὐτὸς ἔχων, ἐχρῆτο ὡς πιστῷ. A. U. 712.

CXXX. Ὁ δὲ Βροῦτος ἀναφεύγει μὲν ἐς τὰ ὄρη σὺν ἱκανῷ πλήθει, ὡς νυκτὸς ἐς τὸ στρατόπεδον ὑποστρέψων, ἢ καταβησόμενος ἐπὶ τὴν θάλασσαν. ἐπεὶ δὲ περιείληπτο πάντα φυλακαῖς, διενυκτέρευεν ἔνοπλος μετὰ πάντων· καί φασιν αὐτὸν ἐς τοὺς ἀστέρας ἀναβλέποντα εἰπεῖν,

Ζεῦ, μὴ λάθοι σε τῶνδ' ὃς αἴτιος κακῶν·

Lin. 40. πυνθανόμενος *Edd. Prætuli Aug.* *L.* 42. ἀποδέξαιτο *Edd. Prætuli Reg. B. Aug.* *L.* 43. Λουκῖνος, *& paulo post* Λουκῖνον *Edd. & MSS.* *L.* 48. κρείττων *Edd. Prætuli Aug.*

Hunc ubi adduci cognovit *Antonius*, processit obviam; &, fortunam simul & dignitatem viri virtutemque cogitans, sedulo secum consideravit, quonam pacto *Brutum* exciperet. Cui adpropinquanti *Lucilius* occurrens, satis audenter, *Brutus*, inquit, *non est captus: nec capietur umquam virtus ab ignavia: ego vero, his deceptis, hic adsum tibi.* Tum *Antonius*, erubescentes videns equites, consolaturus eos, „Non minorem, ait, mihi hanc prædam, sed meliorem quam putatis, venati estis, quanto amicus inimico est potior:" & *Lucilium* tunc quidem cuidam ex amicis curandum tradidit; deinde vero ipse sibi eum adjunxit, & fideli ejus usus est amicitia.

130. At *Brutus* cum satis quidem multis in montes refugit, & noctu vel reverti in castra constituit, vel ad mare descendere. Sed quoniam omnia custodiis erant intersepta, armatus pernoctavit cum omnibus; ferturque sidera intuens dixisse: „*Jupiter, ne te effugiat horum auctor malo-*

A. U. 712. ἐνσημαινόμενος ἄρα τὸν Ἀντώνιον. ὃ καὶ αὐτὸν Ἀντώνιόν φασιν ὕστερον ἐν τοῖς ἰδίοις κινδύνοις μεταγιγνώσκοντα εἰπεῖν, ὅτι συνεξετάζεσθαι Κασσίῳ καὶ Βρούτῳ δυνάμενος, ὑπηρέτης γένοιτο Ὀκταουΐου. Τότε γε μὴν καὶ ὁ Ἀντώνιος ἔνοπλος ἐπὶ τῶν φυλακτηρίων ἀντιδιενυκτέρευε τῷ Βρούτῳ, χάρακα περιθέμενος ἐκ νεκρῶν σωμάτων, καὶ λαφύρων συμφορηθέντων. Ὁ δὲ Καῖσαρ ἐς μέσην νύκτα πονηθεὶς, ἀνεχώρησε διὰ τὴν νόσον, Νωρβανῷ φυλάσσειν παραδοὺς τὸ στρατόπεδον.

CXXXI. Βροῦτος δὲ καὶ τῆς ἐπιούσης ὁρῶν τὰς ἐφεδρείας τῶν ἐχθρῶν ἐπιμενούσας, ἔχων οὐ πλήρη τέσσαρα τέλη συναναβάντα οἱ, αὐτὸς μὲν ἐπελθεῖν ἐπ' αὐτοὺς ἐφυλάξατο, τοὺς δὲ ἡγουμένους αὐτῶν, αἰδουμένους τε τὸ ἁμάρτημα, καὶ μετανοοῦντας, ἔπεμπεν ἀποπειράσοντας αὐτῶν, εἰ ἐθελήσουσιν ὤσασθαι διὰ τῶν ἐφεδρειῶν, καὶ ἀναλαβεῖν τὰ ἴδια, ἔτι φυλασσόμενα ὑπὸ τῶν οἰκείων ὑπολελειμμένων. Οἱ δὲ, ἀβουλότατα μὲν ἐς τὸ ἔργον ὁρμήσαντες, εὐψυχότατοι δὲ τὸ μέχρι πλείστου

Lin. 60. τότε μὴν *Aug.* & *caret* γε.

rum!" *Antonium* utique subindicans. Cujus dicti postremo ipse *Antonius* in propriis periculis fertur meminisse, sero pœnitens, quod, *quum posset Bruto accenseri et Cassio, maluisset adparitor fieri Octavii.* Tunc vero & *Antonius* armatus in stationibus per totam noctem *Bruto* se opposuit; pro vallo usus cadaveribus congestis atque manubiis. *Cæsar* vero, in mediam noctem labore tolerato, propter morbum secessit, *Norbano* tradita castrorum custodia.

131. Postero die *Brutus*, videns inimicos perstare in insidiis, & secum ipse non integras quatuor habens legiones, quæ eum in montem erant secutæ, parum quidem tutum putavit si ipse adloqueretur milites; sed tribunos, cum pudore doloreque agnoscentes erratum suum, ad eos misit, prætentaturos an velint per medias hostium custodias erumpere, & sua recipere adservata adhuc a præsidiariis. Sed illi, qui & prælium alacriter inierant, & hostem diu magno animo sustinuerant,

γενόμενοι, τότε, βλάπτοντος ἤδη τοῦ θεοῦ, τῷ στρατηγῷ σφῶν ἀπεκρίναντο ἀναξίως· Βουλεύεσθαι περὶ αὑτοῦ· αὐτοὶ γὰρ, τῆς τύχης πολλάκις πεπειραμένοι, οὐκ ἀνατρέψειν τὴν ἔτι λοιπὴν διαλλαγῶν ἐλπίδα. Καὶ ὁ Βροῦτος, ἐς τοὺς φίλους εἰπὼν, Οὐδὲν οὖν ἔτι εἰμὶ τῇ πατρίδι χρήσιμος, ὧδε καὶ τούτων ἐχόντων· ἐκάλει Στράτωνα τὸν Ἠπειρώτην, ὄντα φίλον ἑαυτῷ, καὶ ἐγχειρεῖν ἐκέλευε τῷ σώματι. τούτου δὲ ἔτι βουλεύεσθαι παραινοῦντος, ἐκάλει τινὰ τῶν οἰκετῶν. καὶ ὁ Στράτων, Οὐκ ἀπορήσεις, εἶπεν, ὦ Βροῦτε, φίλου μᾶλλον ἢ οἰκετῶν ἐς τὰ ὕστατα προστάγματα, εἰ ἤδη κέκριται. καὶ εἰπὼν, ἐνήρεισε ταῖς λαγόσι τοῦ Βρούτου τὸ ξίφος, οὔτε ἀποστραφέντος οὔτε ἐνδόντος.

A. U. 712.

CXXXII. Ὧδε μὲν δὴ Κάσσιος καὶ Βροῦτος ἐθνησκέτην, ἄνδρε Ῥωμαίων εὐγενεστάτω τε καὶ περιφανεστάτω, καὶ ἐς ἀρετὴν ἀδηρίτω, χωρὶς ἄγους ἑνός. ὥ γε καὶ Γάϊος Καῖσαρ, ὄντε τῆς Μάγνου Πομπηΐου μοίρας, ἐκ μὲν ἐχθροῖν καὶ πολεμίοιν ἐποιήσατο φίλω, ἔκ τε φίλοιν

Lin. 86. τοῖς λαγόσι *Edd. ex Reg. A. Prætuli Aug. Reg. B.*

tunc, diis mentes jam pervertentibus, indignum imperatori suo responsum dederunt: „consulat ipse sibi; se enim, qui toties tentaverint fortunam, nolle reliquam spem pacis corrumpere." Tum *Brutus* ad amicos, *Ergo jam inutilis sum patriæ*, inquit, *si et isti sic animati sunt*: simulque Stratonem Epirotam amicum suum vocavit, jussitque ut ferro ipsum conficeret. Qui quum amplius deliberandum censeret, unum e servis ille vocavit: & *Strato*, „Non deerit tibi, inquit, Brute, amicus magis quam servus ad ultima mandata, si jam decretum est:" simulque cum dicto *gladium infixit in latus Bruti*, nec aversantis, nec præbentis.

132. Hic fuit CASSII BRUTIQUE EXITUS, *virorum* generosissimorum nominis Romani, & *illustrissimorum virtute incomparabili*, uno excepto piaculo. Quos & C. Cæsar, quamvis Pompejanarum fuissent partium, ex inimicis hostibusque amicos fecerat, & in amicitiam semel receptos, pro filiis habuerat: senatus

A. U. 712. ἦγεν ὡς υἱώ. καὶ ἡ βουλὴ περιπόθητω τε εἶχεν αἰεὶ, καὶ ἀτυχήσαντε ἐλεεινώ· δυοῖν τε τούτοιν ἕνεκα πᾶσιν ἀμνηστίαν ἐτίθετο, καὶ φυγόντοιν αὐτοῖν ἔπεμψεν ἡγεμονίας, ἵνα μὴ φυγάδες εἶεν· οὐκ ἀμελοῦσα μὲν Γαΐου Καίσαρος, οὐδὲ ἐφηδομένη τοῖς γεγονόσιν, ὅπου καὶ ζῶντα τῆς ἀρετῆς καὶ τύχης ἐθαύμαζε, καὶ ἀποθανόντα ἔθαπτε δημοσίᾳ, καὶ ἐκύρου τὰ ἔργα ἀθάνατα εἶναι, ἀρχάς τε καὶ ἡγεμονίας ἐς πολὺ ἐκ τῶν ὑπογραφῶν ἐποίει τῶν Καίσαρος, οὐδὲν ἡγουμένη κρεῖσσον εὑρήσειν ὧν ἐκεῖνος ἐνόησεν. ἀλλ' ἡ περὶ τώδε τὼ ἄνδρε σπουδὴ, καὶ δέος τὸ ὑπὲρ αὐτοῖν, προήγαγεν αὐτὴν ἐς ὑποψίαν διαβολῆς· οὕτως ἅπασιν ἐγενέσθην τιμίω. ἐγενέσθην δὲ καὶ τῶν φυγόντων τοῖς ἀρίστοις τιμιωτέρω Πομπηΐου, πλησιάζοντος καὶ οὐκ ἀδιάλλακτον ἔχοντος αἰτίαν, πορρωτέρω τε ὄντε αὐτῷ καὶ ἀδιαλλάκτω.

CXXXIII. Ἐπεί γε μὴν ἔργων ἐδέησε, δυοῖν οὐδὲ ὅλοιν ἐτοῖν στρατιάν τε συνέλεξαν ὑπὲρ εἴκοσιν ὁπλιτῶν τέλη,

Lin. 99 sq. καὶ ἀρχὰς καὶ *Edd. Prætuli Aug. & Reg. B. a pr. manu. L. 4.* ὑπεροψίαν *puto legendum. L. 8.* ὄντε αὐτῷ *edit. 2. 3. perperam.*

vero eximia semper benevolentia prosecutus, & in adversa fortuna præ ceteris omnibus miseratus est. Quippe propter hos duos ceteris oblivionem decrevit senatus; & exulantibus his dedit provincias, ne essent exules: neque id in contemtum Cæsaris fecit, aut quod facto eorum gauderet; quandoquidem & vivum illum virtutis fortunæque caussa miratus est, & defunctum sepeliit publice, actaque ejus rata habuit, & magistratus tam urbanos quam provinciales diu ex præscripto ejus creavit, ratus nihil se melius inventurum illius consiliis: sed studium erga hos viros, & solicitudo pro eis, adduxit senatum, ut sperneret calumnias: adeo cari erant omnibus. Tum vero & eminentiores inter exules hos præferebant Pompejo, quamquam hic propior fuerat, nec in caussa inexpiabili versabatur; quum illi & longinquiores essent & implacabiles.

133. Ceterum quum ad res gerendas ventum est, biennio ne integro quidem *Brutus Cassiusque* plusquam vi-

καὶ ἱππέας ἀμφὶ τοὺς δισμυρίους, καὶ ναῦς μακρὰς ὑπὲρ τὰς διακοσίας, τήν τε ἄλλην παρασκευὴν ἀξιόλογον, καὶ χρήματα ἄπειρα, καὶ παρ' ἑκόντων, καὶ παρὰ ἀκόντων. πολέμους τε ἐπολέμησαν ἔθνεσι καὶ πόλεσι καὶ τῶν ἀντισ]ασιωτῶν πολλοῖς· καὶ κατώρθουν. ἐθνῶν τε ἐκράτησαν ἀπὸ Μακεδονίας μέχρι Εὐφράτου. καὶ ὅσους ἐπολέμησαν, ἐς συμμαχίαν αὐτοὺς ἔπεισαν, καὶ βεβαιοτάτοις ἐχρήσαντο. Εχρήσαντο δὲ καὶ βασιλεῦσι καὶ δυνάσ]αις· καὶ Παρθυαίοις, καίπερ οὖσιν ἐχθροῖς, ἐς τὰ βραχύτερα· ἐπὶ δὲ τὸ μεῖζον ἔργον οὐκ ἀνέμειναν ἐρχομένους, ἵνα μὴ βάρβαρον ἢ ἀντίπαλον ἔθνος ἐθίσειαν ἐπὶ Ῥωμαίοις. Ὁ δὲ δὴ μάλισ]α πάντων ἀδοκητότα]ον ἦν, ὁ σ]ρατὸς ὁ πλείων ὅδε Γαΐου Καίσαρος ἐγεγένητο, καὶ δαιμονίως αὐτὸν εὐνοίας καὶ σπουδῆς ἔχοντα ἐς ἐκεῖνον μετέπεισαν οἱ σφαγεῖς οἵδε τοῦ Καίσαρος, καὶ ἐπὶ τὸν τοῦ Καίσαρος υἱὸν ἕσποντο αὐτοῖς πισ]ότερον,

A. U. 712.

Lin. 17. σύμμαχίαν αὐτοῖς Reg. A. rectius fortaſſe. L. 18. Prius ἐχρήσαντο cum ſeq. puncto per err. omiſſum in edit. 3. L. 24 ſq. ἔχοντας male Edd. ex Reg. A. Recte Aug. Reg. B.

ginti collegerunt legiones, & equitum circiter viginti millia, naves longas ſupra ducentas, aliumque adparatum haudquaquam contemnendum, pecuniaſque infinitas, cum a volentibus tum a nolentibus exactas. Bellaque multa cum multis civitatibus ac gentibus & adverſæ factionis hominibus feliciter fortiterque geſſerunt: populiſque & provinciis omnibus potiti ſunt a Macedonia uſque ad Euphratem: & quoſcumque bello petierunt, eos ad ſocietatem pertraxerunt, eorumdemque fideliſſima deinde opera uſi ſunt. Adjutoribus vero regibus etiam ac dynaſtis uſi ſunt; quin & Parthis quoque, quamvis inimicis Romanorum: ſed his quidem, in rebus duntaxat minoribus; de rerum autem ſumma certaturi, non exſpectarunt eorum adventum, ne barbaram infeſtamque gentem adſuefacerent bellis adverſus Romanos. Quod vero maxime mirandum fuit omnium, pleraque pars ejus exercitus conſtabat ex iis qui ſub C. Cæſare ſtipendia fecerant: quorum incredibilem favorem & ſtudium erga illum percuſſores hi Cæſaris ad ſe tranſduxerunt, ita ut his illi contra filium

A. U. 712. ἢ Ἀντωνίῳ τῷ Καίσαρος συναγωνιστῇ τε καὶ συνάρχῳ· οὐ γάρ τις αὐτῶν Βροῦτον ἢ Κάσσιον οὐδὲ ἡσσωμένους ἀπέλιπεν· οἱ Ἀντώνιον ἀμφὶ τὸ Βρεντέσιον καὶ πρὸ πείρας ἀπολιπόντες. Ἦν τε πρόφασις αὐτοῖς τῶν πόνων, καὶ ἐπὶ Πομπηίου, καὶ νῦν, οὐχ ὑπὲρ σφῶν αὐτῶν, ἀλλ' ὑπὲρ δημοκρατίας· ὀνόματος εὐειδοῦς μὲν, ἀλυσιτελοῦς δὲ αἰεί. Σφῶν τε αὐτῶν, ὅτε μηδὲν ἐδόκουν ἔτι εἶναι χρήσιμοι τῇ πατρίδι, ἄμφω κατεφρόνησαν ὁμοίως. Ἐν δὲ ταῖς φροντίσι καὶ πόνοις, ὁ μὲν Κάσσιος ἀμεταστρεπτὶ, καθάπερ ἐς τὸν ἀγωνιστὴν οἱ μονομαχοῦντες, ἐς μόνον τὸν πόλεμον ἀφεώρα. ὁ δὲ Βροῦτος, ὅπη γίγνοιτο, καὶ φιλοθεάμων ἦν καὶ φιλήκοος, ἅτε καὶ φιλοσοφήσας οὐκ ἀγεννῶς.

CXXXIV. Ἀλλὰ καὶ τοιοῖσδε οὖσιν αὐτοῖς, ἀντίθετον ἐς ἅπαντα ἦν τὸ ἄγος τὸ ἐς Καίσαρα· ὅ γε οὐδὲ ἁπλοῦν ἄγος ἦν,

Lin. 28 sqq. Verba οὐ γάρ τις *usque* ἀπέλιπεν *videri possunt post* ἀπολιπόντες *lin. 30. reponenda; ut absque distinctione conjungantur* συνάρχῳ οἱ Ἀντώνιον ἀμφὶ *&c.* *L. 32.* ὑπὲρ δημοκρατίας ὀνόματος *absque distinct. edit. 1. Aug. Cand.* *Ibid. sq. An* οὐ λυσιτελοῦς δὲ αἰεί? *L. 35. Pro* πόνοις *dant* μόνοις *Edd. mend. cum Regiis. Recte Aug. Ven. &* curis *Cand.* *L. 36.* ἀνταγωνιστὴν *puto legendum.* *L. 40.* καὶ τοῖσδε οὖσιν *Aug. male.*

Cæsaris fideliorem operam præstarent, quam Antonio socio Cæsaris collegæque: nemo enim eorum Brutum Cassiumque vel victos deseruit; quum Antonius ad Brundusium a suis ante initium belli fuerit desertus. Causa autem, pro qua & tunc & antea sub Pompejo tulerunt arma, non propria utilitas, sed *populi* fuit *imperium*; speciosum sane nomen, quamquam plerumque inutile. Suam autem vitam, postquam non amplius prodesse posse patriæ sibi visi sunt, ambo contemserunt pariter. Quod autem ad utriusque curas laboresque adtinet, *Cassius* in unum bellum intentus, sicut gladiator in adversarium, nihil spectabat aliud: *Brutus*, ubicumque esset, visendarum quoque rerum & audiendi fuit cupidus; quippe qui & *philosophiæ præceptis* haud illiberaliter erat *imbutus.*

134. Sed has omnes *Bruti Cassiique* virtutes compensavit ex opposito unum *piaculum in Cæsarem admissum;* quippe

ἄγος ἦν, οὐδὲ ἐν ὀλίγῳ. καὶ γὰρ ἐς φίλον ἐγίγνετο παραλόγως, καὶ ἐς εὐεργέτην ἐκ πολέμου περισώσαντα ἀχαρίστως, καὶ ἐς αὐτοκράτορα ἀθεμίστως, καὶ ἐν βουλευτηρίῳ, καὶ ἐς ἱερέα, καὶ ἱερὰν ἐσθῆτα ἐπικείμενον, καὶ δυνάστην μὲν οἷον οὐχ ἕτερον, χρησιμώτατον δὲ ὑπὲρ ἅπαντας τῇ τε πατρίδι καὶ τῇ ἡγεμονίᾳ γενόμενον. Ἃ καὶ τὸ δαιμόνιον αὐτοῖς ἄρα ἐνεμέσησε, καὶ προεσήμηνε πολλάκις. Κασσίῳ τε γὰρ τὸν στρατὸν καθαίροντι ὁ ῥαβδοῦχος ἀνεστραμμένον τὸν στέφανον ἐπέθηκε· καὶ Νίκη, χρύσεον ἀνάθημα Κασσίου, κατέπεσεν· ὄρνεά τε πολλὰ, ὑπὲρ τὸ στρατόπεδον αὐτοῦ καθήμενα, κλαγγὴν οὐδεμίαν ἠφίει· καὶ μελισσῶν ἐπεκάθηντο συνεχεῖς ἐσμοί. Βροῦτον δὲ ἔν τε Σάμῳ γενεθλιάζοντα, φασὶ, παρὰ τὸν πότον, οὐδὲ εὐχερῆ πρὸς τὰ τοιαῦτα ὄντα, ἀλόγως τόδε τὸ ἔπος ἀναβοῆσαι·

A. U. 712.

Ἀλλά με μοῖρ' ὀλοὴ, καὶ Λητοῦς ἔκτανεν υἱός.

Lin. 48. ἐνεμέσησε καὶ *edit. 1. cum Regiis: unde* ἐνεμέσησέ τε καὶ *fecit H. Steph. Prætuli Aug. L. 55.* παρὰ τὸν πόντον *Edd. cum Regiis & Cand. mend. Recte Aug. Ven. quod viderat Gelen.*

quippe quod nec simplex piaculum fuerat, nec modicum. Etenim *in amicum* patratum est, contra naturam rationemque; & *in bene meritum*, qui bello captos servaverat incolumes, ingrate; & *in imperatorem*, nefarie; & in curia, & in pontificem, eumque sacra veste amictum, & in virum qui dominationem quidem singularem sibi comparaverat, sed qui meritis etiam in patriam imperiumque longe omnes superaverat. Quapropter etiam irato numine usi sunt; & sæpe *prodigia malorum prænuncia* illis obvenerunt. Nam *Cassio* copias lustranti lictor inversam coronam imposuit: & aurea Victoria, dedicata a Cassio, humum decidit: aves quoque gregatim supra illius castra, nullum clangorem edentes, consederunt; examina vero apum iisdem castris adhæserunt continue. *Brutum* item, Sami natalem suum celebrantem, in comessatione, quamvis non esset proclivis ad talia, sine ulla evidenti causa hunc versum protulisse ajunt: „*Sed me sors misera et Latonæ filius perdidit.*" Et

A. U. 712. Μέλλοντα δὲ περᾶν ἐκ τῆς Ἀσίας ἐς τὴν Εὐρώπην σὺν τῷ στρατῷ, νυκτὸς ἐγρηγορότα, μαραινομένου τοῦ φωτὸς, ὄψιν ἰδεῖν ἐφεστῶσάν οἱ παράλογον· καὶ πυθέσθαι μὲν εὐθαρσῶς, Ὅς τις ἀνθρώπων ἢ θεῶν εἴη· τὸ δὲ φάσμα εἰπεῖν, Ὁ σὸς, ὦ Βροῦτε, δαίμων κακός· ὀφθήσομαι δέ σοι καὶ ἐν Φιλίπποις. καὶ ὀφθῆναι φασὶν αὐτῷ πρὸ τῆς τελευταίας μάχης. ἐξιόντι δὲ τῷ στρατῷ, πρὸ τῶν πυλῶν αἰθίοψ ὑπήντησεν· καὶ τόνδε μὲν, ὡς οἰώνισμα φαῦλον, ὁ στρατὸς αὐτίκα συνέκοψε. Δαιμόνια δ᾽ ἦν αὐτοῖς ἄρα καὶ τάδε· ἐς Κάσσιον μὲν, ἐν ἀμφηρίστῳ νίκῃ πάντα ἀλόγως ἀπογνῶναι· Βροῦτον δὲ εὐβούλου βραδυτῆτος ἐκβιασθῆναι, καὶ ἐς χεῖρας ἐλθεῖν ἀνδράσι διωκομένοις ὑπὸ λιμοῦ, δαψιλῶς αὐτὸν ἔχοντα ἀγορᾶς, καὶ ναυκρατοῦντα· καὶ τόδε παθεῖν ὑπὸ τῶν οἰκείων μᾶλλον, ἢ τῶν πολεμίων. Καὶ μὴν πολλάκις ἀγώνων μετασχόντες, ἐν

Lin. 64 *ſq.* πρὸ τῶν πυλῶν αὖθις ὑπήντησεν Αἰθίοψ *Edd. Prætuli Aug. Ven. Cand. Non ſpernerem* αὖθις *paulo ante, ſi eſſet (lin. 63.)* φασὶν αὐτῷ αὖθις, *ubi Cand.* iterum illi apparuiſſe. *L.* 67. *Poſt* ἐς Κάσσιον μὲν, *inſerendum artic.* τὸ *cenſuit Muſgravius. Malim equidem* ὡς Κάσσιον μὲν *&c. L.* 68. εὐλόγως *mend. Edd. cum Regg. Recte Aug. Vocem eam omiſit Cand. L.* 72. κατασχόντες *Reg. A. male.*

quum trajecturus eſſet cum exercitu in Europam ex Aſia, noctu vigilantem, deficiente paululum lucerna, vidiſſe adſtans ſibi *ſpectrum* inuſitata forma: & intrepide percontato, quiſnam hominum deorumve eſſet? ſpectrum reſpondiſſe, *Tuus ſum, Brute, malus genius: Philippis me iterum videbis.* Ajuntque, adparuiſſe ei paulo ante extremam pugnam. Exercitui autem tunc caſtris exeunti obviam fuit Aethiops; quem, ut malum omen, protinus milites conciderunt. Neque vero etiam ſine deorum numine factum videri hoc debet: ut & *Caſſius*, poſt pugnam æquo Marte diremtam, de ſumma rerum tam temere deſperaverit; & *Bruto* per milites non licuerit conſuetam obtinere cunctationem, ſed ut coactus fuerit prælium conferere cum viris fame exagitatis, ipſe abundans commeatibus & claſſibus; utque ei hoc non ab hoſtibus, ſed a ſuis, acciderit. Denique quum ſæpe in præliis eſſent ambo verſati, ne-

μὲν ταῖς μάχαις οὐδὲν ἔπαθον· ἀμφω δ᾽ αὐτῶν ἐγένοντο αὐθένται, καθάπερ ἐγένοιτο τοῦ Καίσαρος. Κάσσιος μὲν δὴ καὶ Βροῦτος τοιάνδε δίκην ἐδεδώκεσαν. *A. U. 712.*

CXXXV. Καὶ Βροῦτον Ἀντώνιος ἀνευρὼν, περιέβαλέ τε τῇ ἀρίστῃ φοινικίδι εὐθὺς, καὶ καύσας, τὰ λείψανα τῇ μητρὶ Σερουϊλίᾳ ἔπεμψεν. Ὁ δὲ σὺν τῷ Βρούτῳ στρατὸς, ὅτε ἐπύθετο τεθνάναι Βροῦτον, πρέσβεις ἐς Καίσαρα καὶ Ἀντώνιον ἔπεμπον, καὶ συγγνώμης ἔτυχον, καὶ ἐς τὰ στρατεύματα αὐτῶν διῃρέθησαν, καὶ ἦσαν ἀμφὶ τοὺς μυρίους καὶ τετρακισχιλίους. παρέδοσαν δ᾽ ἐπὶ τοῖς αὐτοῖς ἑαυτοὺς καὶ οἱ κατὰ τὰ φρούρια, πολλὰ ὄντα. Τὰ δὲ φρούρια αὐτὰ καὶ τὸ στρατόπεδον ἐδόθη τοῖς Καίσαρος καὶ Ἀντωνίου στρατοῖς διαρπάσαι. Τῶν δ᾽ ἀμφὶ τὸν Βροῦτον ἀνδρῶν ἐπιφανῶν, οἱ μὲν ἐν ταῖς μάχαις ἀπέθανον, οἱ δὲ αὐτοὺς ἐξήγαγον ὁμοίως τοῖς στρατηγοῖς, οἱ δὲ καὶ ἐξεπίτηδες ἐμαχέσαντο μέχρι θανάτου· ὧν ἦν Λεύκιός τε Κάσσιος, ὁ ἀδελφιδοῦς αὐτοῦ Κασσίου, καὶ

Lin. 73. αὐτῶν *Edd. Secus Aug. & alter Regius. L. 75.* δὴ *carent Edd. male. Dedit Aug. L. 76.* περιέβαλλέ τε *Aug. L. 87.* αὐτοὺς *Edd. invitis Regiis & Aug.*

que quidquam eis mali in pugna umquam accidisset, ad extremum uterque sui ipse interfector fuit, sicuti prius Cæsaris fuerat. Ita *Cassius Brutusque facinoris* illius *pœnas dederunt.*

135. *Corpus Bruti* nactus *Antonius*, mox purpurea veste pulcherrima involutum *cremavit*: reliquiasque ad matrem ejus misit Serviliam. *Exercitus Bruti*, qui apud eum perstiterat, cognita ejus morte, legatos misit *ad Cæsarem et Antonium*; impetrataque venia, per illorum exercitus divisus est: erant autem circiter XIV millia. Mox in eamdem conditionem & illi deditionem fecerunt, qui in diversis erant castellorum præsidiis. Castella ipsa cum castris hostium concessa sunt in prædam Cæsarianis & Antonianis militibus. Ex eminentioribus viris, qui Bruti Cassiique castra erant secuti, alii in prælio ceciderunt, alii ipsi se interemerunt, sicut impêratores: nonnulli data opera *pugnarunt usque ad necem:* & in his *L. Cassius*, fratris filius imperatoris; & *Cato*, Ca-

A. U. 712. Κάτων ὁ Κάτωνος· ἐμπίπτων ὅδε τοῖς πολεμίοις πολλάκις, εἶθ' ὑποχωρούντων ἀναλύσας τὸ κράνος, ἵνα ἢ γνώριμος ἢ εὔβλητος, ἢ ἀμφότερα, εἴη. Λαβεὼν δὲ, ἐπὶ σοφίᾳ γνώριμος, ὁ πατὴρ Λαβεῶνος τοῦ κατ' ἐμπειρίαν νόμων ἔτι νῦν περιωνύμου, βόθρον ἐν τῇ σκηνῇ τὸ μέγεθος αὐτάρκη σώματι ὀρυξάμενος, καὶ τὰ λοιπὰ τοῖς θεράπουσιν ἐντειλάμενος, ἐπέσκηψε τῇ γυναικὶ καὶ τοῖς παισὶ περὶ ὧν ἐβούλετο, καὶ τὰ γράμματα φέρειν ἔδωκε τοῖς οἰκέταις· τοῦ δὲ πιστοτάτου τῆς δεξιᾶς λαβόμενος, καὶ περιστρέψας αὐτὸν, ὡς ἔθος ἐστὶ Ῥωμαίοις ἐλευθεροῦν, ἐπιστρεφομένῳ ξίφος ἔδωκε, καὶ τὴν σφαγὴν ὑπέσχε. καὶ τῷδε μὲν ἡ σκηνὴ τάφος ἐγένετο.

CXXXVI. Ῥάσκος δὲ, ὁ Θρᾷξ, ἐπανήγαγεν ἐκ τῶν ὀρῶν πολλούς· καὶ γέρας ᾔτησέ τε, καὶ ἔλαβε, σώζεσθαι τὸν ἀδελφὸν ἑαυτοῦ Ῥασκούπολιν· ᾧ καὶ διεδείχθη, ὅτι οὐδ' ἀπ' ἀρχῆς ἀλλήλοις οὐδὲ οἱ Θρᾷκες διεφέροντο, ἀλλὰ, δύο στρατοπέδων μεγάλων τε καὶ ἀμφηρίστων

Lin. 92. ἢ εὔλητος *mend. Edd. ex Reg. B. Recte Reg. A. Aug. L.* 2. καὶ τῷ δὲ *edit.* 2. 3. *oper. err.*

tonis filius, sæpius ingerens se hostibus, & postremo, quum pedem referrent, galeam detrahens, sive ut agnosceretur, sive ut feriretur facilius, sive utraque de causa. *Labeo* vero, vir sapientiæ nomine clarus, *pater Labeonis* ejus qui nunc quoque *inter Jurisconsultos* celebratur, effossa in tentorio ad sui corporis modulum fovea, quum de aliis rebus præcepisset servis, uxori & liberis per literas mandata dedit quæ voluit, & literas servis perferendas tradidit. Tum vero fidissimum ex his, dextra prehensum, *circumegit in gyrum*, ut *mos* est *Romanis servos libertate donantibus*; moxque gladium ei tradidit, jugulumque præbuit. Sic huic quidem tentorium pro sepulcro fuit.

136. *Rascus* autem *Thrax* multos e montibus retraxit: & operæ suæ præmium *petiit* & accepit *salutem fratris sui Rascupolidis*. Unde satis adparuit, ne ab initio quidem belli hos Thraces inter se dissensisse; sed, quum duo magni exercitus prope terras eorum dubio Marte essent con-

περὶ τὴν ἐκείνων γῆν συμφερομένων, τὸ ἄδηλον τῆς τύχης ἐμερίσαντο, ἵνα ὁ νικῶν περισώζοι τὸν ἡσσώμενον. Πορκία δ', ἡ Βρούτου μὲν γυνὴ, Κάτωνος δὲ ἀδελφὴ τοῦ νεωτέρου, ἐπεί τε ἀμφοῖν ὧδε ἀποθανόντοιν ἐπύθετο, φυλασσομένη πρὸς τῶν οἰκείων πάνυ ἐγκρατῶς, ἐσχάρας πυρὸς ἐσενεχθείσης, ἁρπάσασα τῶν ἀνθράκων κατέπιεν. Ὅσοι δ' ἄλλοι τῶν ἐπιφανῶν ἐς Θάσον διέφυγον, οἱ μὲν αὐτῶν ἐξέπλευσαν· οἱ δὲ ἐπέτρεψαν ἑαυτοὺς, ἅμα τῷ λοιπῷ στρατῷ, τῶν ὁμοτίμων Μεσσάλᾳ τε Κορουίνῳ καὶ Λευκίῳ Βύβλῳ, ὅ τι βουλεύσοιντο περὶ σφῶν, ποιεῖν περὶ ἁπάντων. Οἱ δὲ, συνθέμενοι τοῖς περὶ τὸν Ἀντώνιον, Ἀντωνίῳ διαπλεύσαντι ἐς τὴν Θάσον παρέδοσαν ὅσα ἦν ἐν Θάσῳ χρήματά τε καὶ ὅπλα, καὶ τροφαὶ δαψιλεῖς, καὶ ἄλλη παρασκευὴ πολλή.

A. U. 712.

CXXXVII. Οὕτω μὲν δὴ Καίσαρί τε καὶ Ἀντωνίῳ, διὰ τόλμης ἐπισφαλοῦς, καὶ δυοῖν πεζομαχίαιν, τηλικοῦτον ἔργον ἤνυστο, οἷον οὐχ ἕτερον ἐγένετο πρὸ ἐκείνου. οὔτε

Lin. 16 *sq.* Μεσσάλᾳ τε καὶ Κορουίνῳ *Edd. & MSS. corrupte.* Messalæ Cornificio *Cand. Correxi duplicem mendam.* *L.* 17. Βίβλῳ *Edd. cum Regiis. Expressi Aug.*

flictaturi, incertum fortunæ eventum ita inter se esse partitos, ut victor victum servaret. At *Porcia*, *Bruti uxor*, *Catonis junioris soror*, postquam utrumque tali fato sublatum cognovit, quum a domesticis admodum caute servaretur, de foculo ardente, qui in conclave erat illatus, raptas prunas deglutivit. Ceteri autem ex nobilitate, qui in *Thasum* evaserunt, partim inde enavigarunt, partim cum reliquo exercitu *Messalæ Corvini* & *L. Bibuli* arbitrio se commiserunt, ut, quidquid hi sibi ipsis consuluissent, idem de omnibus statuerent. Qui, *de salute cum Antonio Cæsareque pacti*, Antonio, Thasum adpulso, tradiderunt quidquid ibi pecuniarum, armorum, commeatuumve, & aliorum adparatuum, magna copia reliquum erat.

137. Atque ita *Cæsari Antonioque periculosa audacia* duobus terrestribus præliis *absolutam victoriam peperit*, qualis ad eum diem nulla fuit. Numquam enim antea tanti

A. U. 712. γὰρ στρατὸς τοσοῦτος ἢ τοιοῦτος ἐς χεῖρας πρότερον ἦλθε Ῥωμαίων ἑκατέρωθεν· οὐχ ὑπὸ συντάξει πολιτικῇ στρατευσαμένων, ἀλλὰ ἀριστίνδην ἐπιλελεγμένων· οὐδ᾽ ἀπειροπολέμων ἔτι, ἀλλ᾽ ἐκ πολλοῦ γεγυμνασμένων· ἐπί τε σφᾶς, καὶ οὐκ ἀλλόφυλα ἢ βάρβαρα ἔθνη, τρεπομένων. ἀλλὰ καὶ γλώσσης μιᾶς ὄντες, καὶ τέχνης πολέμων μιᾶς, καὶ ἀσκήσεως καὶ καρτερίας ὁμοίας, δυσκαταγώνιστοι παρ᾽ αὐτὸ ἦσαν ἀλλήλοις. οὔτε ὁρμῇ καὶ τόλμῃ τοσῇδέ τινες ἐχρήσαντο ἐν πολέμῳ, πολῖταί τε ὄντες ἀλλήλων καὶ οἰκεῖοι, καὶ συστρατιῶται γενόμενοι· τεκμήριον δὲ, ὅτι τῶν νεκρῶν ὁ ἀριθμὸς, ἐπανισουμένης ἑκατέρας μάχης, οὐκ ἐλάσσων ἔδοξεν οὐδὲ παρὰ τοῖς νικῶσιν εἶναι.

CXXXVIII. Ὁ δὲ στρατὸς ὁ Ἀντωνίου καὶ Καίσαρος τὸν τῶν στρατηγῶν λόγον ἐπηλήθευσαν· διὰ μιᾶς ἡμέρας καὶ δι᾽ ἑνὸς ἔργου κίνδυνον ἔσχατον λιμοῦ καὶ δέος ἀπωλείας ἐς εὐπορίαν δαψιλῆ καὶ σωτηρίαν ἀσφαλῆ καὶ

Lin. 26 *sq.* συντάξει πολιτικῷ στρατευμάτων *Edd. cum Regiis mend. Recte Aug. ac* στρατευσαμένων *quoque Ven.* *L.* 41. ἐς ἀπορίαν *Edd. male. Recte Aug. Cand.*

aut tales exercitus Romani conflixerunt inter ſe: non ex conſuetis delectibus conſcripti, ſed virtute lectiſſimi: nec tirones, ſed exercitati veterani: iique ſibi ipſis mutuo, non externis aut barbaris gentibus, ſigna inferentes. Jam unius quoque linguæ quum eſſent, & ejuſdem militaris diſciplinæ, peritia pares & robore; ob hoc ipſum quoque non facile alteri ab alteris fuerant ſuperabiles. Neque vero ullo umquam in bello tanta ferocia tantaque audacia pugnatum eſt, quanta in hoc cives cum civibus, familiares cum familiaribus, commilitones cum veteribus commilitonibus pugnarunt: cujus rei argumentum eſt, quod, compenſato utroque prælio, non minor cæſorum numerus apud victores repertus fuiſſe perhibeatur.

138. Atque ita *Antonii Cæſariſque* milites prædictionis imperatorum veritatem eventu comprobarunt: uno unius diei labore, extremum famis & internecionis periculum, cum opulenta abundantia & tuta ſalute & glorioſa

νίκην εὐκλεῆ μεταβαλόντες. Ἀπήντησέ γε μὴν αὐτοῖς καὶ ὃ συνιόντες ἐς τὴν μάχην ἐπεμαντεύσαντο Ῥωμαίοις. ἐκρίθη γὰρ αὐτῶν ἡ πολιτεία παρ' ἐκεῖνο τὸ ἔργον μάλιστα, καὶ οὐκ ἐπανῆλθεν ἐς δημοκρατίαν ἔτι· οὐδὲ πόνων αὐτοῖς ἐς ἀλλήλους ἐδέησεν ὁμοίων, χωρίς γε τῆς μετ' οὐ πολὺ Ἀντωνίου καὶ Καίσαρος στάσεως, ὑστάτης Ῥωμαίοις γενομένης. τὰ δὴ ἐν μέσῳ μετὰ Βροῦτον, ὑπό τε Πομπηΐου, καὶ τῶν διαφυγόντων Κασσίου καὶ Βρούτου φίλων, λείψανα τοσῆσδε παρασκευῆς μεγάλα ἐχόντων, οὔτε ταῖς τόλμαις ὅμοια ἔτι ἐγίγνετο, οὔτε ταῖς τῶν ἀνδρῶν ἢ πόλεων ἢ στρατῶν ἐς τοὺς ἡγεμόνας ὁρμαῖς· οὐ γάρ τις αὐτοῖς τῶν ἐπιφανῶν ἔτι, οὐδ' ἡ βουλὴ, οὐδὲ ἡ δόξα αὐτὴ, ὡς ἐς Κάσσιόν τε καὶ Βροῦτον, ἀπήντα. *A. U. 712.*

Lin. 43. ἐπιμαντεύσαντο male Edd. & MSSti. Correxi mendam. L. 45. Partic. negativa οὐκ, quam dedit Aug. abeſt ab Edd. & Cand. perperam. L. 46. χωρίς τε Edd. invito Reg. A. & Aug. L. 52. στρατηγῶν ἐς τοὺς ἡγεμ. Edd. mend. Recte Aug. & Reg. B. a prim. manu.

victoria, commutantes. Sed evenit utique etiam, quod prodeuntibus in aciem Romanis præſagierat animus: *decretum eſt* enim *ea maxime pugna de univerſo ſtatu Romanæ civitatis*: nec rediit poſthac priſtina reſpublica: nec fuit opus amplius ſimilibus inter cives contentionibus; abſque una diſſenſione Cæſaris & Antonii, quæ haud multo poſt incidit, ac fuit inter Romanos ultima. Nam quæ uſque ad illam, inde a Bruti obitu, vel a *Pompejo* geſta ſunt, vel a *Bruti Caſſiique amicis*, qui cum non ſpernendis tantorum adparatuum reliquiis evaſerant; ea quidem neque ipſorum auſuum magnitudine cum his ſunt conferenda, neque ſimilibus virorum illuſtrium aut civitatum aut exercituum erga imperatores ſtudiis nobilitata ſunt. Neque enim ab illorum partibus jam ſenatus amplius, aut ex eminentioribus civibus quiſquam, ſtetit; neque omnino tanta de illis opinio, quanta de Caſſio Brutoque, animis omnium inſederat.

A. U.

ΑΠΠΙΑΝΟΥ

ΑΛΕΞΑΝΔΡΕΩΣ

ΡΩΜΑΙΚΩΝ

ΕΜΦΥΛΙΩΝ Ε΄.

712. ΜΕΤΑ δὲ τὸν Κασσίου καὶ Βρούτου θάνατον, ὁ μὲν Καῖσαρ ἐπὶ τῆς Ἰταλίας ᾔει, ὁ δὲ Ἀντώνιος ἐς τὴν Ἀσίαν· ἔνθα αὐτῷ συμβάλλει Κλεοπάτρα, βασιλὶς Αἰγύπτου, καὶ εὐθὺς ὀφθεῖσα ἐκράτει. Ὁ δὲ ἔρως ὅδε αὐτοῖς τε ἐκείνοις ἐς ἔσχατον ἔληξε κακοῦ, καὶ ὅλῃ Αἰγύπτῳ ἐπ' ἐκείνοις. ὅθεν ἄν τι καὶ Αἰγύπτιον εἴη τῆσδε τῆς βίβλου μέρος, ὀλίγον τε, καὶ οὐκ ἄξιον ἐπιγραφῆς πω, διὸ δὴ καὶ τοῖς ἐμφυλίοις πολὺ πλείοσιν οὖσιν ἐπίμικτον. Ἐγίγνετο γὰρ δὴ καὶ μετὰ Κάσσιόν τε καὶ Βροῦτον ἕτερα

Lin. 5. ἐς *ante* ἔσχατον *caret Aug. male.* *Ibid. sq.* καὶ ἐς ὅλην Αἴγυπτον *Edd. & MSSti nostri, corrupte. Emendationem nostram expressit Cand.* *L.* 6. καὶ Αἴγυπτος εἴη *Edd. cum Reg. A. & Cand.* Αἴγυπτον *Reg. B.* Αἰγύπτιον *deder. Aug. Ven.* *L.* 8. διὸ δὲ *Edd.* διὸ δὴ *ded. Aug. Ven. An leg.* διότι? *Ibid.* πλείοσιν οὐδ' ὡς ἐπίμικτον *Aug.* *Ibid.* ἐπιμικτέον *maluit Musgrav.*

APPIANI

ALEXANDRINI

ROMANARUM HISTORIARUM

DE BELLIS CIVILIBUS

LIBER QUINTUS.

POST Cassii Brutique obitum, *Cæsar* Italiam petiit, *Antonius* Asiam: ubi *Cleopatra*, Aegypti regina, cum eo congressa, primo statim adspectu vicit. Qui amor & ipsis perniciem, & post eos Aegypto universæ mala plurima adtulit. Ita fit, ut *de rebus Ægypti* quoque agat pars nonnulla hujus Libri; exigua illa quidem, & quæ nondum mereatur peculiari titulo inscribi; quare etiam rebus ad Civilia bella pertinentibus, quæ multo uberiores sunt, a nobis inserta est. Nam & *post Cassium Brutumque* similia

ἐμφύλια ὅμοια, στρατηγοῦ μὲν οὐδενὸς οὕτως ἐπὶ πᾶσιν, ὥσπερ ἐκείνοις, κατὰ μέρος δὲ ἑτέρων· μέχρι Πομπήιός τε Σέξτος, ὁ νεώτερος παῖς Πομπηίου Μάγνου, λοιπὸς ὢν ἐπὶ τῆσδε τῆς στάσεως, τοῖς ἀμφὶ τὸν Βροῦτον ἐπανῃρέθη, καὶ Λέπιδος ἐξέπεσε τοῦ μέρους τῆς ἡγεμονίας, καὶ ἡ Ῥωμαίων ἀρχὴ πᾶσα περιῆλθεν ἐς δύο μόνον, Ἀντώνιόν τε καὶ Καίσαρα. Ἐγίγνετο δὲ αὐτῶν ἕκαστα οὕτως. A. U. 713.

II. Κάσσιος, ὁ Παρμήσιος ἐπίκλην, ὑπελέλειπτο μὲν ὑπὸ Κασσίου καὶ Βρούτου περὶ τὴν Ἀσίαν ἐπὶ νεῶν καὶ στρατοῦ, χρήματα ἐκλέγειν. Κασσίου δὲ ἀποθανόντος, οὐδὲν ἐλπίζων ὅμοιον ἐν Βρούτῳ, Ῥοδίων ἐπελέξατο νῆας τριάκοντα, ὅσας ἐνόμιζε πληρώσειν, καὶ τὰς λοιπὰς διέπρησε χωρὶς τῆς ἱερᾶς, ἵνα μὴ δύναιντο νεωτερίσαι. καὶ ὁ μὲν τάδε πράξας, ἀνήγετο ταῖς τε ἰδίαις καὶ ταῖς τριάκοντα. Κλώδιος δέ, ἐκ Βρούτου πεμφθεὶς ἐς Ῥόδον ἐπὶ νεῶν τρισκαίδεκα, τοὺς Ῥοδίους νεωτερίζοντας εὑρών,

§ *Lin.* 11. *An* ἐκείνοις? *L.* 15. ἀρχὴ ἅπασα *Edd. Dedi lect. Aug.* & *Reg. B. Ibid.* δύο μόνους *Edd. Prætuli Aug. L.* 16. οὕτω *Edd. invit. MSS. L.* 17. Παρμένσιος *h. l. Aug. Ib.* ὑπολέλειπτο *Edd. non male. Expressi lect. Aug. L.* 19. ἐπιλέγειν *Aug. L.* 24. δὲ καὶ ἐκ Βρούτου *Edd. Delevi* καὶ *cum Aug. Reg. A.*

alia bella exstiterunt *Civilia*: quibus quidem nemo, quemadmodum superioribus, summæ rerum omnium præerat, sed alii alibi seorsim bellum faciebant: donec tandem, *Sex. Pompejo* Magni filio minore, reliquo ejus factionis, pariter atque antea Cassius Brutusque *sublato*, & *Lepido dignitate privato*, summa totius Romani Imperii in *duorum tantum potestatem*, *Antonii et Cæsaris*, redacta est. Quæ nunc singula exponemus.

2. *Cassius*, cognomine *Parmensis*, a Bruto Cassioque relictus erat in Asia cum classe & exercitu, ut pecunias exigeret. Is post Cassii mortem, de Bruto meliora sperans, e Rhodiorum navibus triginta selegit, quot se sociis navalibus implere posse putavit: reliquas, ne civitas res novas moliri posset, omnes, excepta sacra navi, incendit: quo facto, cum navibus suis Rhodiisque solvit. *Clodius* autem, a Bruto Rhodum cum tredecim navibus missus, postquam res novas molientes Rhodios

A. U. (ἐτεθνήκει γὰρ ἤδη καὶ ὁ Βροῦτος,) ἐξήγαγε τὴν Φρου-
712. ρὰν, οὖσαν ὁπλιτῶν τρισχιλίων, καὶ ἐς τὸν Παρμήσιον
ἐχώρει. Ἀφίκετο δὲ αὐτοῖς καὶ Τουρούλιος, ἑτέρας ναῦς
ἔχων πολλὰς καὶ χρήματα, ὅσα προεξείλεκτο ἀπὸ τῆς
Ῥόδου. Ἐς δὴ τὸ ναυτικὸν τοῦτο, ὡς ἐς ἤδη τινὰ ἰσχὺν, 3
συνέθεον ὅσοι ἦσαν κατὰ μέρη τῆς Ἀσίας ἐπὶ τῶν ὑπη-
ρεσιῶν, καὶ αὐτὸ ὁπλίταις τε ἐξ ὧν ἐδύναντο ἀνεπλή-
ρουν, καὶ ἐρέταις ἐκ θεραπόντων ἢ δεσμωτῶν, ἐπιπλέ-
οντες δὲ ταῖς νήσοις, καὶ ἀπὸ τῶν νησιωτῶν. ἦλθον δ᾽
ἐς αὐτοὺς καὶ Κικέρων ὁ Κικέρωνος, καὶ ὅσοι ἄλλοι τῶν 3
ἐπιφανῶν ἐκ τῆς Θάσου διεπεφεύγεσαν. καὶ ταχὺ πλῆ-
θος ἦν, καὶ σύνταξις ἀξιόχρεως ἡγεμόνων τε καὶ στρατοῦ
καὶ νεῶν. Προσλαβόντες δὲ καὶ Λέπιδον μεθ᾽ ἑτέρας δυ-
νάμεως, ἣ Βρούτῳ καθίστατο Κρήτην, πρὸς Μοῦρκον καὶ
Δομίτιον Ἀηνόβαρβον, ἐπὶ μεγάλης δυνάμεως ὄντας, ἐς 4
τὸν Ἰόνιον διέπλεον. καὶ αὐτῶν οἱ μὲν ἅμα τῷ Μούρκῳ
διέπλευσαν ἐς Σικελίαν, καὶ τὴν ἰσχὺν Πομπηίῳ Σέξστῳ
συνῆψαν· οἱ δὲ κατέμειναν παρὰ Ἀηνοβάρβῳ, καὶ τὴν

Lin. 28. Τερούλιος *Edd. MSS. Cand. Correxi, præeunte Glandorp. & Freinsh. L. 39. Forsan* ἢ Βρούτῳ.

invenit; (jam enim & Brutus obierat;) deduxit inde præsidium trium millium legionariorum, & cum Parmensi se conjunxit. Ad eosdem & *Turulius* venit, cum aliis multis navibus & pecuniis, quas a Rhodiis olim exegerat. Tum ad hanc classem, ut in qua jam esset aliquid roboris, confluebant quotquot pro variis officiis erant distributi per Asiam: & naves, quantum poterant, legionariis complebant, & remigibus e nexis & mancipiis & ex insulanis ad quos adpellebant. Accessit his quoque *Cicero*, Ciceronis filius, & quotquot nobilium e Thaso diffugerant. Itaque brevi frequens conventus fiebat, & classis exercitusque non contemnendus cum suis ducibus. Adsumto deinde *Lepido* etiam cum alia manu, cum qua ille Cretam in Bruti redegerat potestatem, ad *Murcum et Ahenobarbum*, validis copiis præfectos, navigarunt in mare Ionium: ubi divisi, pars cum *Murco* petiit Siciliam, & vires *Sex. Pompejo* addidit; pars cum *Ahenobarbo* mansit, & propriam factionem consti-

αἵρεσιν ἐφ᾽ ἑαυτῶν καθίσταντο. Τοιάδε μὲν ἐκ τῶν λειψάνων τῆς παρασκευῆς Κασσίου τε καὶ Βρούτου πρῶτα συνίστατο. A. U. 712.

III. Ὁ δὲ Καῖσαρ καὶ ὁ Αντώνιος ἐπὶ τῇ νίκῃ τῇ περὶ Φιλίππους ἔθυον τε λαμπρῶς, καὶ τὸν στρατὸν ἐπῄνουν. Καὶ ἐς τὴν δόσιν τῶν ἐπινικίων ὁ μὲν ἐς τὴν Ιταλίαν ἐχώρει, τὴν τε γῆν αὐτοῖς διανεμήσων, καὶ ἐς τὰς ἀποικίας καταλέξων· ὧδε γὰρ αὐτὸς εἵλετο, διὰ τὴν ἀῤῥωστίαν. ὁ δὲ Αντώνιος ἐς τὰ πέραν ἔθνη, συλλέξων τὰ χρήματα, ὅσα αὐτοῖς ὑπέσχηντο. Διενείμαντο δὲ αὖθις, ὅσα καὶ πρότερον, ἔθνη, καὶ ἐπελάμβανον τὰ Λεπίδου· τήν τε γὰρ Κελτικὴν τὴν ἐντὸς Ἄλπεων ἐδόκει (Καίσαρος ἀξιοῦντος) αὐτόνομον ἀφιέναι, γνώμῃ τοῦ προτέρου Καίσαρος· ὅ τε Λέπιδος διεβάλλετο τὰ παρὰ Πομπηίῳ προδιδόναι. Καὶ ὥριστο, εἰ Καίσαρι ψευδὴς ἡ διαβολὴ φανείη, ἕτερα ἀντιδοῦναι τῷ Λεπίδῳ. Αφίεσαν δὲ τῆς στρατείας τοὺς

Lin. 47. ὁ ad Αντων. *carent Edd. invitis MSS. L. 50.* ἐς τὰς οἰκίας *Edd. MSS. Cand. Correxi cum Musgrav. L. 57.* τὰ παρ᾽ αὐτῶν Πομπηίῳ *videtur legendum. L. 59.* ἀναδοῦναι *Edd. Recte Aug. Reg. B. Ibid.* ἀφίεσαν δὲ καὶ τῆς στρατηγίας *Edd. Delevi* καὶ *cum Aug. & Cand.* στρατείας *recte ded. Aug.*

tuit. Atque ita e reliquiis adparatuum Bruti Caſſiique mox hæ rurſus copiæ coiverunt.

3. *Cæſar et Antonius, poſt Philippenſem victoriam*, ſacris magnifice factis, milites pro concione collaudarunt. Tum ad perſolvenda victoriæ præmia *Cæſar in Italiam profectus* eſt, ut agros militibus divideret, & in colonias eos deſcriberet: has enim partes ipſe ſibi elegerat, propter minus firmam valetudinem. *Antonius* vero *tranſmarinas provincias petiit*, collecturus pecunias quas militibus erant polliciti. Rurſus autem, ſicuti prius, diviſerunt inter ſe provincias, adſumtis ſimul illis quæ *Lepidi* fuerant. Nam & *citeriorem Galliam*, poſtulante Cæſare, ex ſententia ſuperioris Cæſaris, *ſui juris facere* conſtituerant: & *Lepidus incuſabatur*, quod Pompejo proderet res ſociorum. Decreveruntque, ut Cæſar, ſi falſa deprehenderetur iſta accuſatio, provincias alias Lepido traderet loco ademtarum. Jamque *emeritos dimiſerunt*,

A. U. ἐντελῆ χρόνον ἐστρατευμένους, χωρὶς ὀκτακισχιλίων· οὓς
712. δεηθέντας ἔτι στρατεύεσθαι σφίσιν, ἀποδεξάμενοι, διείλοντο, καὶ συνελόχισαν ἐς στρατηγίδας τάξεις. Ὁ δὲ λοιπὸς αὐτοῖς στρατὸς ἐγένετο (σὺν τοῖς μεταθεμένοις ἀπὸ Βρούτου) τέλη πεζῶν ἕνδεκα, καὶ ἱππεῖς μύριοι καὶ τετρακισχίλιοι. καὶ ἔσχεν αὐτῶν ὁ μὲν Ἀντώνιος, διὰ τὴν ἀποδημίαν, ἓξ τέλη, καὶ ἱππέας μυρίους· ὁ δὲ Καῖσαρ, ἱππέας τετρακισχιλίους καὶ τέλη πέντε· καὶ τῶνδε δὲ αὐτῶν Ἀντωνίῳ δύο ἔδωκεν, ἀντιληψόμενος ἐκ τῶν ὑπὸ Καληνῷ τοῦ Ἀντωνίου κατὰ τὴν Ἰταλίαν ὑπολελειμμένων. Ὁ μὲν δὴ Καῖσαρ ἐπὶ τὸν Ἰόνιον ᾔει.

713. IV. Ὁ δὲ Ἀντώνιος, ἐν Ἐφέσῳ γενόμενος, τῇ θεῷ μεγαλοπρεπῶς ἔθυε, καὶ τοὺς καταφυγόντας ἐκ τῆς Βρούτου καὶ Κασσίου συμφορᾶς ἐς τὸ ἱερὸν ἱκέτας ἀπέλυε, χωρὶς Πετρωνίου, συνεγνωκότος ἐπὶ τῷ φόνῳ Καίσαρος, καὶ Κοΐντου, προδόντος ἐν Λαοδικείᾳ Κασσίῳ Δολοβέλλαν. Τοὺς δὲ Ἕλληνας, καὶ ὅσα ἄλλα ἔθνη τὴν

Lin. 68. Duo verba ΔΥΟ ΕΔΩΚΕΝ *absunt ab Edd. & MSS. & Cand. Sed hæc, aut in eamdem sententiam alia, necessario fuerunt adjicienda.*

præter octo millia; quos, rogantes ut amplius ipsis militare liceret, diviserunt inter se, & cohortes prætorias ex eis centuriaverunt. Itaque reliquas habebant *Antonius atque Cæsar*, una cum eis qui a Bruto transierant, peditum legiones undecim, equitum quatuordecim millia: ex quibus *Antonius*, propter expeditionem peregre suscipiendam, sex legiones sibi sumsit, & equitum decem millia: *Cæsar* quatuor millia equitum, cum quinque legionibus; de quibus ipsis duas etiam Antonio concessit, recepturus earum loco alias ex his, quas in Italia sub *Caleni* ductu Antonius reliquerat. His rebus ita constitutis, *Cæsar* versus Adriaticum iter ingressus est.

4. *Antonius* vero, postquam *Ephesum pervenit*, Divæ loci ejus præsidi fecit sacra magnifice; & Cassianos, qui in templum supplices confugerant, absolvit; excepto *Petronio*, qui conspirationis in Cæsarem conscius fuerat, & *Quinto*, qui Laodiceæ Dolabellam Cassio prodiderat. *Græcos* inde,

ἀμφὶ τὸ Πέργαμον Ἀσίαν νέμονται, κατά τε πρεσβείας παρόντας ἐπὶ συνθέσει, καὶ μετακεκλημένους, συναγαγὼν, ἔλεξεν ὧδε· ὙΜΑΣ ἡμῖν, ὦ ἄνδρες Ἕλληνες, Ἄτταλος ὁ βασιλεὺς ὑμῶν ἐν διαθήκαις ἀπέλιπε· καὶ εὐθὺς ἀμείνονες ὑμῖν ἦμεν Ἀττάλου. οὓς γὰρ ἐτελεῖτε φόρους Ἀττάλῳ, μεθήκαμεν ὑμῖν· μέχρι, δημοκόπων ἀνδρῶν καὶ παρ' ἡμῖν γενομένων, ἐδέησε φόρων. ἐπεὶ δὲ ἐδέησεν, οὐ πρὸς τὰ τιμήματα ὑμῖν ἐπεθήκαμεν, ὡς ἂν ἡμεῖς ἀκίνδυνον φόρον ἐκλέγοιμεν· ἀλλὰ μέρη φέρειν τῶν ἑκάστοτε καρπῶν ἐπετάξαμεν, ἵνα καὶ τῶν ἐναντίων κοινωνῶμεν ὑμῖν. τῶν δὲ ταῦτα παρὰ τῆς βουλῆς μισθουμένων ἐνυβριζόντων ὑμῖν, καὶ πολὺ πλείονα αἰτούντων· Γάϊος Καῖσαρ τῶν μὲν χρημάτων τὰ τρίτα ὑμῖν ἀνῆκεν ὧν ἐκείνοις ἐφέρετε, τὰς δ' ὕβρεις ἔπαυσεν. ὑμῖν γὰρ τοὺς φόρους ἐπέτρεψεν ἀγείρειν παρὰ τῶν γεωργούντων. Καὶ τόνδε τοιόνδε ὄντα οἱ χρηστοὶ τῶν ἡμετέρων πολιτῶν A. U. 713.

Lin. 79. Ἀτταλὶς *edit.* 2. 3. *perperam.*

ceterosque populos *Pergamenam Asiam incolentes*, qui per legationes partim ultro, pacis petendæ causæ, *Ephesum convenerant*, partim adesse jussi erant, convocata concione, his verbis ANTONIUS *adlocutus* est: „VOS nobis, *VIRI GRÆCI, Attalus* rex vester testamento reliquit: & mox meliores commodioresque nos experti estis, quam Attalum. Tributa enim, quæ illi pendebatis, vobis remisimus; donec, exortis & apud nos populi turbatoribus, tributis opus habuimus. Tum vero *non pro censu tributa* vobis imposuimus, qui nobis „futurus fuisset reditus certus ac nulli periculo subjectus; *sed quotannis certam portionem fructuum cujusque anni* imperavimus, ut ex adversis etiam tempestatibus commune vobiscum detrimentum sentiremus. Quumque publicani, qui vectigalia a senatu conduxerant, per injuriam plura multo a vobis extorquerent; *C. Cæsar* tertias vectigalium, quæ illis pendebatis, vobis remisit, cavitque ne in posterum injuriæ vobis fierent: concessit enim vobis, *ut ipsi vectigalia ab agrorum cultoribus colligeretis.* Et hunc talem virum boni illi ci-

A. U. 713. τύραννον ἐκάλουν· καὶ ὑμεῖς αὐτοῖς συνετελεῖτε χρήματα πολλὰ, σφαγεῦσί τε οὖσι τοῦ ὑμετέρου εὐεργέτου, καὶ καθ᾽ ἡμῶν τῶν τιμωρούντων ἐκείνῳ.

V. Τῆς δὲ δικαίας τύχης, οὐχ ὡς ἐβούλεσθε, ἀλλ᾽ ὡς ἦν ἄξιον, κρινάσης τὸν πόλεμον· εἰ μὲν ὡς συναγωνισταῖς τῶν πολεμίων ἔδει χρῆσθαι, κολάσεως ὑμῖν ἔδει· ἐπεὶ δὲ ἑκόντες πιστεύομεν ὑμᾶς κατὰ ἀνάγκην τάδε πεποιηκέναι, τῶν μὲν μειζόνων ἀφίεμεν. Χρημάτων δὲ ἡμῖν δεῖ, καὶ γῆς, καὶ πόλεων, ἐς τὰ νικητήρια τοῦ στρατοῦ. τέλη δέ ἐστιν ὀκτὼ καὶ εἴκοσιν ὁπλιτῶν, ἃ μετὰ τῶν συντασσομένων εἰσὶ μυριάδες ἀνδρῶν ὑπὲρ ἑπτακαίδεκα· καὶ τούτων ἄνευθεν, οἱ ἱππεῖς, καὶ ἕτερος ὅμιλος ἑτέρου στρατοῦ. Ἐκ μὲν δὴ τοῦ πλήθους τῶν ἀνδρῶν τὸ πλῆθος τῆς χρείας συνορᾶν δύνασθε. Τὴν δὲ γῆν καὶ τὰς πόλεις αὐτοῖς διαδώσων ὁ Καῖσαρ ἄπεισιν ἐς τὴν Ἰταλίαν· εἰ χρὴ τῷ λόγῳ τὸ ἔργον εἰπεῖν, ἀναστήσων τὴν Ἰταλίαν. Ὑμᾶς δὲ, ἵνα μὴ γῆς καὶ πόλεων καὶ οἰκιῶν καὶ ἱερῶν καὶ

Lin. 99. ἑκόντες (*sic*) *Aug.* *Forte legend.* ἄκοντας *vel* οὐχ ἑκόντας: non libenter *Cand.* *L.* 5. & alterius exercitus electa multitudo *Cand.* *quod esset* ἐπίλεκτος *vel* ἔκκριτος ὅμιλος.

„ves nostri Tyrannum adpellarunt: & vos his multas contulistis pecunias, interfectoribus viri optime de vobis meriti, idque contra nos qui ejus necem ulciscimur.

5. „Nunc vero quia fortuna, justiori causæ favens, non ut voluistis, sed ut æquum erat, decrevit; si vobiscum, ut partes hostium tuentibus, vellemus agere, puniendi veniebatis: quoniam autem libenter credimus, hæc coactos vos fecisse, graviores vobis pœnas remittimus. Sed pecuniis nobis opus est, & agris, oppidisque, ut victori exercitui persolvantur præmia. Sunt autem legiones XXVIII; quæ cum suis adpendicibus conficiunt amplius CLXX virorum millia; prætereaque equites, & alia multitudo alterius exercitus. Ex hac igitur multitudine virorum, quantis impensis nobis opus sit, potestis conjicere. Jam agros quidem & oppida divisurus eis *Cæsar* abit in Italiam, *commigrare jussurus* (si dicendum quod res est) *Italiam.* *Vobis* vero, ne ab agris & ab urbibus vestris, ab aris focisque, a mo-

τάφων ἀνίστησθε, ἐς τὰ χρήματα ἐλογισάμεθα· οὐ δὲ ἐς ἅπαντα, (οὐδὲ γὰρ ἂν δύναισθε·) ἀλλὰ μέρος αὐτῶν καὶ βραχύτατον, ὃ καὶ πυθομένους ὑμᾶς ἀγαπήσειν οἴομαι. ἃ γὰρ ἔδοτε τοῖς ἡμετέροις ἐχθροῖς ἐν ἔτεσι δύο, (ἔδοτε δὲ φόρους ὡς δέκα ἐτῶν·) ταῦτα λαβεῖν ἀρκέσει μόνα, ἀλλ' ἐνὶ ἔτει· ἐπείγουσι γὰρ αἱ χρεῖαι. συνεῖσι δὲ τῆς χάριτος ὑμῖν τοσοῦτον ἂν ἐπείποιμι, ὅτι μηδενὸς ἁμαρτήματος ἴσον ἐπιτίμιον ὁρίζεται. A. U. 713.

VI. Ὁ μὲν οὕτως εἶπεν, ἐς ὀκτὼ καὶ εἴκοσι τέλη πεζῶν τὴν χάριν περιφέρων· ὅτι οἶμαι τρία καὶ τεσσαράκοντα ἦν αὐτοῖς, ὅτε ἐν Μουτίνῃ συνηλλάσσοντο ἀλλήλοις, καὶ τάδε ὑπισχνοῦντο, ὁ δὲ πόλεμος αὐτὰ ἐς τοσοῦτον ὑπενηνόχει. Οἱ δὲ Ἕλληνες, ἔτι λέγοντος αὐτοῦ ταῦτα, ἐρρίπτουν ἑαυτοὺς ἐς τὸ ἔδαφος· Ἀνάγκην καὶ βίαν ἐς αὐτοὺς ἐκ Βρούτου καὶ Κασσίου γενομένας, ἐπι-

Lin. 16 *sq.* συνεῖσι γὰρ τῆς χάριτος ὑμῖν· τοσοῦτον γὰρ ἐπείποιμι *&c. Edd. Pro* τοσοῦτον γὰρ *recte deder.* τοσοῦτον ἂν *Aug. & Reg. B. a pr. manu.* γὰρ *autem post* συνεῖσι, *nisi aliquid excidit ante hæc verba, utique in* δὲ *fuit mutandum.*

„numentis denique majorum, migrare cogamini, *pecunias tantum irrogamus conferendas*; neque tamen omnes, nec enim id ferre possetis; sed partem modicam, quam ubi audieritis, contenti opinor abibitis. Nam quantum inimicis nostris dedistis biennio (dedistis autem *decem* fere *annorum vectigalia*) tantumdem nobis sufficiet; nisi quod *intra annum* accipere volumus, quandoquidem sic postulat necessitas. Intelligentibus vero vobis, quam clementer vobiscum agamus, nullum amplius verbum adjiciam, nisi, „hanc mulctam partem nullam vestri æquiparare meriti."

6. Hæc *Antonii* fuit *oratio*. In qua quod ad XXVIII solum legiones referat donativum, quum XLIII fuerint, quibus, facta ad Mutinam reconciliatione, paria fuerant promissa; id eo factum puto, quod in tantum tunc bello accisus fuerit legionum numerus. Nondum extrema verba finierat *Antonius*, quum *Græci*, humum sese prosternentes „violentiam, ajebant, a Bruto Cassioque sibi factam, necessitatemque ab his sibi impositam, non tam pœna di-

A. U. 713.

λέγοντες, οὐκ ἐπιτιμίων ἀξίας εἶναι, ἀλλ' ἐλέου· δόντες δ' ἂν τοῖς εὐεργέταις ἑκόντες, ἀπορεῖν διὰ τοὺς πολεμίους, οἷς οὐ τὰ χρήματα μόνον, ἀλλὰ καὶ τὰ σκεύη καὶ τοὺς κόσμους ἐσενεγκεῖν ἀντὶ τῶν χρημάτων· τοὺς δὲ αὐτὰ παρὰ σφίσιν ἐς νόμισμα χαλκεῦσαι. Καὶ τέλος, παρακαλοῦντες, ἔτυχον, ἐννέα ἐτῶν φόρους ἐσενεγκεῖν ἔτεσι δύο. Βασιλεῦσι δὲ καὶ δυνάσταις καὶ πόλεσιν ἐλευθέραις ἄλλα ἐς τὴν ἑκάστων δύναμιν ἐπετάχθη.

VII. Περιϊόντι δ' αὐτῷ τὰ ἔθνη, Λεύκιός τε ὁ Κασσίου ἀδελφὸς, καὶ ὅσοι ἄλλοι τῶν δεδιότων, ἐπεὶ τῆς ἐν Ἐφέσῳ συγγνώμης ἐπύθοντο, ἱκέται προσῄεσαν. καὶ ἀπέλυε πάντας, πλὴν τοὺς συνεγνωκότας ἐπὶ τῷ φόνῳ τοῦ Καίσαρος· τούτοις γὰρ δὴ μόνοις ἀδιάλλακτος ἦν. Παρηγόρει δὲ καὶ τῶν πόλεων τὰς μάλιστα δεινὰ παθούσας· Λυκίους μὲν ἀτελεῖς φόρων ἀφιεὶς, καὶ Ξάνθον οἰκίζειν παραινῶν· Ῥοδίοις δὲ διδοὺς Ἄνδρον τε καὶ Τῆνον καὶ Νάξον

Lin. 26. ἀξίους *Edd. Rectius Aug. Reg. B.* *L.* 29. κόσμους ἐπενεγκεῖν *Aug.* ἀνενεγκεῖν *Reg. A.* *L.* 31 *sq.* φόρους ἐπενεγκεῖν *Aug.* *L.* 35. τῶν δεδιότων ἐπὶ τῆς *Edd. Aut deletum* ἐπὶ *aut in* ἔτι *mutatum voluerat Musgr. Perspecte sane. Dedi tamen lectionem & distinct. Aug. & Reg. A.* *L.* 37 *sq.* ἐπὶ φόνῳ Καίσαρος *Aug.*

gnam esse, quam misericordia: daturos vero libenter bene meritis, exhaustos esse ab hostibus, quibus non pecunias modo, sed his deficientibus vasa quoque & ornamenta omnia contulissent, e quibus illi sub ipsorum oculis monetam signaverint." Ad extremum precibus impetrarunt, ut *novem annorum tributum* penderent *intra biennium.* Regibus vero, & dynastis, civitatibusque liberis, alia pro cujusque facultatibus imperata sunt.

7. Hinc *Antonium*, provincias obeuntem, *Lucius Cassius*, *Caji frater*, & alii, quotquot sibi timentes de exemplo clementiæ ad Ephesum edito audierant, accesserunt supplices. Quos omnes incolumes dimisit, præter conspirationis conscios: his enim solis manebat implacabilis. Tum vero civitates, quæ graviores perpessæ erant calamitates, consolatus est: *Lyciis* immunitatem concessit, Xanthiosque hortatus est ut urbem suam instaurarent; *Rhodiis* Andrum,

καὶ Νάξον καὶ Μύνδον, ἃς οὐ πολὺ ὕστερον ἀφῃρέθησαν ὡς σκληρότερον ἄρχοντες. Λαοδικέας δὲ καὶ Ταρσέας ἐλευθέρους ἠφίει καὶ ἀτελεῖς φόρων· καὶ Ταρσέων τοὺς πεπραμένους ἀπέλυε τῆς δουλείας διατάγματι. Ἀθηναίοις δ', ἐς αὐτὸν ἐλθοῦσι, μετὰ Τῆνον Αἴγιναν ἔδωκε, καὶ Ἴκον καὶ Κέω καὶ Σκίαθον καὶ Πεπάρηθον. Ἐπιπαριὼν δὲ Φρυγίαν τε καὶ Μυσίαν καὶ Γαλάτας τοὺς ἐν Ἀσίᾳ, Καππαδοκίαν τε καὶ Κιλικίαν, καὶ Συρίαν τὴν κοίλην, καὶ Παλαιστίνην, καὶ τὴν Ἰτουραίαν, καὶ ὅσα ἄλλα γένη Σύρων, ἅπασιν ἐσφορὰς ἐπέβαλλε βαρείας· καὶ διῄτα πόλεσι καὶ βασιλεῦσιν, ἐν μὲν Καππαδοκίᾳ Ἀριαράθῃ τε καὶ Σισίνῃ, ἂν τῷ Σισίνῃ συνέπραξεν ἐς τὴν βασιλείαν, καλῆς οἱ φανείσης τῆς μητρὸς τοῦ Σισίνου Γλαφύρας· ἐν δὲ Συρίᾳ τοὺς κατὰ πόλεις ἐξήρει τυράννους. A. U. 713.

VIII. Καὶ ἐν Κιλικίᾳ πρὸς αὐτὸν ἐλθούσης Κλεοπά-

Lin. 50. τὴν Ιτουραίαν *Edd. Recte Aug.* *L.* 51. ἐπέβαλε *Aug.* *L.* 53 *sq.* Sysenum *vocat Cand. Et* Σισίνῃ, Σισίνου, *cum simplici* ν, *citat* [illegible]. *Sav-German.* *L.* 54 *sq.* τοῦ Σισίνου καὶ γλαφυρᾶς *Edd.* καὶ γλαφυρὰς *Aug. Correxi mendam.* *L.* 55. κατὰ πόλιν *Edd.* κατὰ πόλει *Aug. quod ex* κατὰ πόλεις *corruptum putavi.* tyrannos ex urbibus pepulit *Cand.*

Andrum, Tenum, Naxum, Myndumque, donavit; quæ non multo post eis rursus ademtæ sunt, ut durius imperantibus: *Laodicensibus* atque *Tarsensibus* libertatem cum immunitate concessit; & quotquot Tarsenses cives bello capti venierant, uno edicto liberavit. *Atheniensibus* autem, ipsum convenientibus, pro Teno Æginam dedit, insuperque Icon, Ceam, Sciathum, Peparethum. Transiens deinde per Phrygiam, Mysiam, Gallogræciam, Cappadociam, Ciliciam, Cœlesyriam, Palæstinam, Ituræam, ceterasque Syrorum provincias, gravissima omnibus tributa imposuit. Disceptationes quoque civitatum ac regum ex arbitrio suo composuit: & in his *Sisinnæ* contentionem cum *Ariarathe* de Cappadociæ regno, quod Sisinnæ confirmavit *Antonius*, in *Glaphyræ* matris gratiam, cujus formam erat miratus. In Syria vero tyrannos oppidatim sustulit.

8. In Cilicia *Cleopatram*, ad

A. U. 713. τρας, ἐμέμψατο μὲν ὡς οὐ μετασχούσης τῶν ἐπὶ Καίσαρι πόνων. τῆς δὲ οὐκ ἀπολογουμένης μᾶλλον, ἢ καταλογιζομένης αὐτοῖς, ὅτι καὶ τὰ παρά οἱ τέσσαρα τέλη πρὸς Δολοβέλλαν αὐτίκα πέμψειε· καὶ στόλον ἄλλον ἕτοιμον ἔχουσα κωλυθείη ὑπό τε ἀνέμου καὶ αὐτοῦ Δολοβέλλα, ταχυτέρας ἥσσης τυχόντος· Κασσίῳ τε δὶς ἀπειλοῦντι μὴ συμμαχήσειε· καὶ σφίσιν ἐκείνοις πολεμοῦσιν ἐς τὸν Ἰόνιον αὐτὴ τὸν στόλον ἔχουσα πλεύσειε μετὰ παρασκευῆς βαρυτάτης, οὔτε δείσασα Κάσσιον, οὔτε φυλαξαμένη Μοῦρκον ναυλοχοῦντα, μέχρι χειμὼν τά τε ἄλλα διελυμήνατο, καὶ αὐτὴν ἐς νόσον ἐνέβαλεν· ἧς δὴ χάριν οὐδ' ὕστερον ἐπαναχθῆναι, νενικηκότων ἤδη· ὁ Αντώνιος ἐπὶ τῇ ὄψει τὴν σύνεσιν καταπλαγεὶς, εὐθὺς αὐτῆς μειρακιωδῶς ἑαλώκει, καίπερ ἔτη τεσσαράκοντα γεγονώς· λεγόμενος μὲν ὑγρότατος ἐς ταῦτα ἀεὶ φῦναι, λεγόμενος δ' ἐς ταύτην καὶ πάλαι παῖδα ἔτι οὖσαν

Lin. 59 *sq.* καταλογιζομένοις *Aug. male.* *L.* 60. αὐτῆς *Edd. invitis MSStis.* *Ib.* ὅτι καὶ παρὰ οἱ *Edd. Inserui* τὰ *ex Aug.* *L.* 62 *sq.* Δολοβέλλα *&* *mox* τυχόντι *Edd. Recte Aug. Ven.* *L.* 69 *sq.* ὁ δὲ Αντώνιος *Edd. Delevi* δὲ *cum Aug.*

se venientem, incusavit quidem, quod non fuisset proximo bello laborum particeps, ulciscendi Cæsaris causa susceptorum. Sed postquam illa non tam se excusavit, quam, quæ a se facta essent, ultro illis imputavit: „quatuor legiones, quæ apud se fuissent, sine mora ad Dolabellam missas; tum aliam classem paratam se habuisse, quæ tempestatibus esset retenta, & calamitate Dolabellæ, citius opinione victi; Cassio vero, bis minaciter postulanti, non tulisse suppetias; denique medio bello ipsam cum classe in„structissima, contemto periculo quod a Cassio & a Murci stationibus imminebat, versus mare Ionium vela dedisse, donec & classis tempestatibus adflicta & ipsa morbo fuisset correpta; cujus morbi causa nec postea se reversam in mare, parta præsertim jam ab illis victoria:" tum vero *Antonius*, præter formæ speciem, ingenii etiam lumen *Cleopatræ* admiratus, juvenili statim *amore* mulieris *exarsit*, annum licet agens quadragesimum. Sed quum ingenio semper ad hæc flexili perhibeatur fuisse; tum in hanc *jam olim*, puellam

ἐρέθισμά τι τῆς ὄψεως λαβεῖν, ὅτε ἐπὶ τὴν Ἀλεξάνδρειαν Γαβινίῳ στρατεύοντι νέος ἱππαρχῶν εἵπετο. A. U. 713.

IX. Εὐθὺς οὖν Ἀντωνίῳ μὲν ἡ περὶ ἅπαντα τέως ἐπιμέλεια ἀθρόα ἠμβλύνετο· Κλεοπάτρα δ᾽ ὅ τι προστάξειεν ἐγίγνετο, οὐ διάκριδον ἔτι περὶ τῶν ὁσίων ἢ δικαίων. ἐπεὶ καὶ τὴν ἀδελφὴν αὐτῆς Ἀρσινόην, ἱκέτιν οὖσαν ἐν Μιλήτῳ τῆς Λευκοφρυνῆς Ἀρτέμιδος, πέμψας ὁ Ἀντώνιος ἀνεῖλε· καὶ Σεραπίωνα, τὸν ἐν Κύπρῳ στρατηγὸν αὐτῆς, συμμαχήσαντα Κασσίῳ, Τυρίων ὄντα ἱκέτην, ἐκέλευσε τοὺς Τυρίους ἐκδοῦναι τῇ Κλεοπάτρᾳ· ἐκδοῦναι δὲ καὶ Ἀραδίους ἕτερον ἱκέτην, ὅν τινα, Πτολεμαίου τοῦ ἀδελφοῦ τῆς Κλεοπάτρας ἀφανοῦς ἐν τῇ πρὸς Καίσαρα κατὰ τὸν Νεῖλον ναυμαχίᾳ γενομένου, οἱ Ἀράδιοι εἶχον, λέγοντα Πτολεμαῖον εἶναι. καὶ τὸν ἐν Ἐφέσῳ δὲ τῆς Ἀρτέμιδος ἱερέα, ὃν Μεγάβυζον ἡγοῦνται, ὑποδεξάμενόν ποτε τὴν Ἀρσινόην ὡς βασιλίδα, ἀχθῆναι μὲν ἐκέλευσεν· Ἐφεσίων δ᾽ αὐτὴν Κλεοπάτραν ἱκετευσάντων, μεθῆκεν.

Lin. 74. ἐρεθίσματι τῆς *edit.* 1. *perperam.* *L.* 80. Λευκοφρυνῆς *Edd. ex Reg. A.* Λευκοφρυνιῆς *Reg. B. a pr. manu, & Cand. Dedi lect. Aug.*

etiam tum, petulantius conjecisse oculos fertur, quum *Gabinium* ducem juvenis secutus esset Alexandriam præfectus equitum.

9. Mox igitur *remissa* pristina in omnibus rebus *Antonii industria*, *ex voluntate Cleopatræ omnia agebantur*, nullo jam respectu humani juris aut divini. Nam & *sororem Cleopatræ Arsinoën*, Mileti in *Dianæ Leucophrynes* æde supplicem, immissis percussoribus *Antonius* sustulit: & *Serapionem* præfectum Cypri, quia auxilia Cassio miserat, Tyri supplicem, Tyrios jussit *Cleopatræ* dedere: similiter & Aradios alium quemdam supplicem dedere jussit, qui, quum Ptolemæus Cleopatræ frater, navali prælio in Nilo victus a Cæsare, nusquam comparuisset amplius, se Aradiis venditarat pro Ptolemæo: quin & *sacerdotem Ephesiæ Dianæ*, quem *Megabyzum* adpellant, quoniam Arsinoën tamquam reginam exceperat hospitio, duci jussit; sed, Ephesiis ipsi *Cleopatræ* pro eo supplicantibus, dimisit hominem. Tam cito mutatus est

A. U. 713. Οὕτω μὲν ὁ Ἀντώνιος ἐνήλλακτο ταχέως· καὶ τὸ πάθος αὐτῷ τοῦτο ἀρχὴ καὶ τέλος τῶν ἔπειτα κακῶν ἐγένετο. Ἀποπλευσάσης δὲ τῆς Κλεοπάτρας ἐς τὰ οἰκεῖα, ὁ Ἀντώνιος ἔπεμπε τοὺς ἱππέας, Πάλμυρα πόλιν, οὐ μακρὰν οὖσαν ἀπὸ Εὐφράτου, διαρπάσαι· μικρὰ μὲν ἐπικαλῶν αὐτοῖς, ὅτι, Ῥωμαίων καὶ Παρθυαίων ὄντες ἐφόριοι, ἐς ἑκατέρους ἐπιδεξίως εἶχον· (ἔμποροι γὰρ ὄντες, κομίζουσι μὲν ἐκ Περσῶν τὰ Ἰνδικὰ ἢ Ἀράβια, διατίθενται δ᾽ ἐν τῇ Ῥωμαίων·) ἔργῳ δ᾽ ἐπινοῶν τοὺς ἱππέας περιουσιάσαι. Παλμυρηνῶν δὲ προμαθόντων, καὶ τὰ ἀναγκαῖα ἐς τὸ πέραν τοῦ ποταμοῦ μετενεγκάντων τε, καὶ ἐπὶ τῆς ὄχθης, εἴ τις ἐπιχειροίη, σκευασαμένων τόξοις, πρὸς ἃ πεφύκασιν ἐξαιρέτως· οἱ ἱππεῖς, τὴν πόλιν κενὴν καταλαβόντες, ὑπέστρεψαν, οὔτε ἐς χεῖρας ἐλθόντες, οὐδέ τι λαβόντες.

X. Καὶ δοκεῖ τόδε τὸ ἔργον Ἀντωνίῳ τὸν μετ᾽ οὐ πολὺ Παρθυϊκὸν πόλεμον ἐξάψαι, πολλῶν ἐκ Συρίας τυράννων

Lin. 91. ἐνήλλακτο Edd. *ex Reg. A. invitis Reg. B. Aug. Ven.* L. 93. ἀποπλευσ. γὰρ τῆς Edd. *ex cod. invitis eisdem.* L. 94. Πάλμυραν (*sic*) Edd. *Praetuli Aug. Ven.* L. 96 *sq.* ἔφοροι Edd. L. 97. ἑκατέρας Edd. L. 1. Παλμυρηναίων Edd. *Veriora omnibus his locis dederunt Aug. Ven.* L. 7. τόδε ἔργον *Aug. & caret* τό. L. 8. Παρθυαϊκὸν *edit. 3. vit.*

Antonius: qui adfectus initium ei & finis secutorum malorum fuit. Reversa autem domum Cleopatra, *Antonius* equites *Palmyram* misit, urbem non longe ab Euphrate sitam, ut eam diriperent; levi crimine in speciem objecto, quod, quum essent *in Romanorum et Parthorum confiniis*, callido consilio cum utrisque facerent; quippe qui, negotiationibus dediti, e Perside Indicas Arabicasque merces ad Romanos deportant: re autem vera id *Antonius* fecit, ut hoc modo ditaret equites. Id quia praesenserant *Palmyreni*, trans flumen sua transtulerunt, dispositis in ulteriori ripa ad arcendos, si qui trajicere conarentur, sagittariis, quo genere excellunt plurimum. Itaque equites, vacua inventa urbe, inanes, & ne manu quidem conserta cum hostibus, reversi sunt.

10. Videnturque res hae *Parthico bello* ortum dedisse, quod paulo post conflatum est *Antonio*; quum multi ex Sy-

ἐς αὐτοὺς συμφυγόντων. Ἡ γὰρ Συρία μέχρι μὲν ἐπ' Ἀντίοχον τὸν Εὐσεβῆ, καὶ τὸν τοῦ Εὐσεβοῦς υἱὸν Ἀντίοχον, ὑπὸ τοῖς ἐκ Σελεύκου τοῦ Νικάτορος ἐβασιλεύετο, ὥς μοι περὶ Σύρων λέγοντι εἴρηται. Πομπηίου δ' αὐτὴν Ῥωμαίοις προσλαβόντος, καὶ στρατηγὸν αὐτῇ Σκαῦρον ἀποδείξαντος, ἡ βουλὴ μετὰ Σκαῦρον ἔπεμψεν ἑτέρους, καὶ Γαβίνιον, τὸν Ἀλεξανδρεῦσι πολεμήσαντα· ἐπὶ δὲ Γαβινίῳ Κράσσον, τὸν ἐν Παρθυαίοις ἀποθανόντα, καὶ Βύβλον ἐπὶ τῷ Κράσσῳ. Παρὰ δὲ τὴν Γαΐου Καίσαρος ἅμα τελευτὴν, καὶ στάσιν ἐπ' αὐτῇ, κατὰ πόλεις ὑπὸ τυράννων εἴχετο, συλλαμβανόντων τοῖς τυράννοις τῶν Παρθυαίων. ἐσέβαλον γὰρ δὴ καὶ ἐς τὴν Συρίαν οἱ Παρθυαῖοι μετὰ τὴν Κράσσου συμφορὰν, καὶ συνέπραξαν τοῖς τυράννοις. Οὓς ὁ Ἀντώνιος ἐξελαύνων, ὑποφεύγοντας ἐς τὴν Παρθυηνὴν, καὶ τοῖς πλήθεσιν ἐπιβάλλων ἐσφορὰς βαρυτάτας, καὶ ἐς Παλμυρηνοὺς τάδε ἁμαρτὼν, οὐδ' ἐπέμεινε συστῆσαι τὴν χώραν θορυβουμένην· ἀλλὰ τὸν στρατὸν ἐς τὰ ἔθνη

A. U. 713.

Lin. 14. *fe.* Γαουινιον & Γαουίνιο *h. l. Regii & Aug.* *L.* 15. ἐπεὶ δὲ Γαβ. *edit.* 1. *ex Reg. B. mend.* *L.* 16. Βίβλον *rursus Edd. cum Reg. A.* *L.* 24. ἁμαρτῶν *Aug. Reg. B. & edit.* 3.

ria tyranni ad Parthos confugissent. *Syria* quippe, postquam usque ad Antiochum Pium, ejusque filium Antiochum (quemadmodum in Rebus Syriacis diximus) sub regibus fuerat Seleuci Nicatoris posteris. Redacta deinde a Pompejo in Romanam provinciam, *Scaurum* ab illo acceperat præsidem; cui senatus successores misit alios, & in his *Gabinium*, qui Alexandrinis bellum intulit. Gabinio successit *Crassus*, a Parthis post interemtus: & huic deinceps *Bibulus*. Post obitum autem C. Cæsaris, motis seditionibus, oppidatim tyranni exorti sunt, quos *Parthi* opibus suis juvarunt. Jam enim & in Syriam, oppresso Crasso, penetrarunt, a tyrannis illis invitati. Quibus tyrannis nunc expulsis, & ad Parthos fugere coactis, gravissimoque tributo populis Syriæ imperato, & Palmyrenis ea ratione, quam diximus, offensis; ne tantisper quidem substitit *Antonius*, donec compositæ essent turbæ illius provinciæ:

A. U. 713. διελὼν χειμάσοντα, αὐτὸς ἐς Αἴγυπτον ᾔει πρὸς Κλεοπάτραν.

XI. Ἡ δὲ αὐτὸν ὑπεδέχετο λαμπρῶς· καὶ ὁ μὲν ἐχείμαζεν ἐνταῦθα, ἄνευ σημείων ἡγεμονίας, ἰδιώτου σχῆμα καὶ βίον ἔχων· εἴθ᾽ ὡς ἐν ἀλλοτρίᾳ τε ἀρχῇ, καὶ βασιλευούσῃ πόλει, εἴ τε τὴν χειμασίαν ὡς πανήγυριν ἄγων. ἐπεὶ καὶ φροντίδας ἀπετέθειτο καὶ ἡγεμόνων θεραπείαν, καὶ στολὴν εἶχε τετράγωνον Ἑλληνικὴν ἀντὶ τῆς πατρίου, καὶ ὑπόδημα ἦν αὐτῷ λευκὸν Ἀττικὸν, ὃ καὶ Ἀθηναίων ἔχουσιν ἱερεῖς καὶ Ἀλεξανδρέων, καὶ καλοῦσι φαικάσιον. ἔξοδοί τε ἦσαν αὐτῷ, ἐς ἱερὰ, ἢ γυμνάσια, ἢ φιλολόγων διατριβαὶ μόναι· καὶ δίαιτα μεθ᾽ Ἑλλήνων ὑπὸ Κλεοπάτρᾳ, ᾗ δὴ καὶ μάλιστα τὴν ἐπιδημίαν ἀνετίθει. καὶ τὰ μὲν περὶ Ἀντώνιον ἦν τοιάδε.

XII. Καίσαρι δὲ ἐς τὴν Ῥώμην ἐπανιόντι ἥ τε νόσος αὖθις ἤκμαζεν ἐν Βρεντεσίῳ μάλιστα ἐπικινδύνως, καὶ φήμη διήνεγκεν αὐτὸν καὶ τεθνάναι. ῥαΐσας δ᾽ ἐσῆλθεν

Lin. 26. χειμάσαντα *Edd. invitis MSS.* *L.* 28. ἐπεδέχετο *Reg. B. Aug. Ven.* *L.* 38. Κλεοπάτρα *Edd. Subſcripſi Jota.*

ſed, diviſo per hiberna exercitu, *in Ægyptum ad Cleopatram profectus eſt.*

11. Ibi ſplendide exceptus, *hiemem apud reginam tranſegit Antonius*, depoſitis inſignibus imperatoriis, habitu & more privati; ſive quod in alieno imperio verſaretur civitateque regia; ſive ut in hibernis feſtos dies celebraret. Sepoſitis enim curis, & ſemotis ducum officiis, pro habitu patrio *ſtolam* ſumſit *Græcanicam quadratam*, & calceamentum album Atticum, quo Athenienſium & Alexandrinorum ſacerdotes utuntur, vocantque *Phæcaſium*: & ad templa tantum, aut ad gymnaſia progrediebatur, aut ad philoſophorum conſeſſus; cum Græcis conſuetudinem habens, *in obſequiis Cleopatræ*; cui nimirum uni potiſſimum totam hanc peregrinationem conſecratam voluerat. Hæc igitur tunc agebat *Antonius.*

12. Interea *Cæſar* in itinere, quo *Urbem repetebat*, gravius laborabat ex adverſa valetudine, periculoſiſſime vero Brunduſii; ita ut rumoribus jactaretur etiam, mortuum eum eſſe. Remittente ſe morbo, *Urbem ingreſſus Cæſar*, ne-

ἐς τὴν πόλιν, καὶ τοῖς Ἀντωνίου τὰ γράμματα ἐδείκνυε τὰ Ἀντωνίου. οἱ δὲ Καληνόν τε προσέτασσον ἀποδοῦναι τὰ δύο τέλη τῷ Καίσαρι, καὶ ἐς Λιβύην ἐπέστελλον Σεξστίῳ, Λιβύης καὶ αὐτὸν Καίσαρι ἀποστῆναι. καὶ οἱ μὲν οὕτως ἐποίουν. Ὁ δὲ Καῖσαρ οὐδὲν ἀνήκεστον ἁμαρτεῖν δόξαντι Λεπίδῳ Λιβύην ἀντὶ τῶν προτέρων ἐθνῶν ἐνήλλασσε· καὶ τὰ λοιπὰ τῶν ἐπὶ ταῖς προγραφαῖς δεδημευμένων διεπίπρασκε. Καταλέγοντι δ' αὐτῷ τὸν στρατὸν ἐς τὰς ἀποικίας, καὶ τὴν γῆν ἐπινέμοντι, δυσεργὲς ἦν. οἵ τε γὰρ στρατιῶται τὰς πόλεις ᾔτουν, αἳ αὐτοῖς ἀριστίνδην ἦσαν ἐπειλεγμέναι πρὸ τοῦ πολέμου· καὶ αἱ πόλεις ἠξίουν, τὴν Ἰταλίαν ἅπασαν ἐπινείμασθαι τὸ ἔργον, ἢ ἐν ἄλλαις διαλαχεῖν, τῆς τε γῆς τιμὴν τοὺς δωρουμένους ᾔτουν· καὶ ἀργύριον οὐκ ἦν. ἀλλὰ συνιόντες ἀνὰ μέρος ἐς τὴν Ῥώμην οἵ τε νέοι καὶ γέροντες, ἢ αἱ γυναῖκες ἅμα τοῖς παιδίοις, ἐς τὴν ἀγορὰν, ἢ τὰ ἱερὰ, ἐθρήνουν· οὐδὲν μὲν ἀδικῆσαι, λέγοντες, Ἰταλιῶται δὲ ὄντες ἀνί- A. U. 713.

Lin. 46. Λιβύης καὶ τῷ Καισ. *Edd. ex Reg. A. & Reg. B. a sec. manu.* Λιβ. καὶ τοῦ Καισ. *Reg. B. a prim. manu. Verum ded. Aug. Ven.* *L.* 55. *Forsan* ἐν ἀλλήλαις.

ceſſariis Antonii literas ab illo datas exhibuit. Qui mox & *Calenum* juſſerunt duas legiones reddere Cæſari, & in Africam ſcripſerunt *Sextio*, ut & ille eidem Africa decederet. Atque ita utrumque factum eſt. Tum Cæſar *Lepido*, quoniam nihil gravius ab eo peccatum deprehenderat, *Africam* vice ademtarum provinciarum tradidit: &, quod ex bonis proſcriptorum adhuc ſupererat, divendidit. *Deſcribenti* autem *milites in colonias*, & agros dividenti, *magna difficultas objecta* eſt: milites enim petebant optimam quamque urbem tota Italia, ut ante bellum ſelectæ fuerant: contra civitates illæ poſtulabant, ut univerſa Italia hoc onus participaret, aut ut inter ſe ſortirenter civitates; & agrorum pretium repetebant ab imperatoribus: nec ſuppetebat pecunia. Conveniebantque agminatim in urbem promiſcue juvenes pariter ac ſeniores, mulieresque cum parvulis, & per fora templaque cœtus faciebant lamentabundi; conquerentes, *nullo ſuo peccato ſe*, *Italici*

A. U. 713. στᾶσθαι γῆς τε καὶ ἑστίας, οἷα δορίληπτοι. Ἐφ᾽ οἷς οἱ Ῥωμαῖοι συνήχθοντο καὶ ἐπεδάκρυον· καὶ μάλιστα, ὅτε ἐνθυμηθεῖεν, οὐχ ὑπὲρ τῆς πόλεως, ἀλλὰ ἐπὶ σφίσιν αὐτοῖς καὶ τῇ μεταβολῇ τῆς πολιτείας τόν τε πόλεμον γεγονότα, καὶ τὰ ἐπινίκια διδόμενα· καὶ τὰς ἀποικίας συνισταμένας, τοῦ μηδ᾽ αὖθις ἀνακύψαι τὴν δημοκρατίαν, παρῳκισμένων τοῖς ἄρχουσι μισθοφόρων, ἑτοίμων ἐς ὅ τι χρῄζοιεν.

XIII. Ὁ δὲ Καῖσαρ ταῖς πόλεσιν ἐξελογεῖτο τὴν ἀνάγκην, καὶ ἐδόκουν οὐδ᾽ ὡς ἀρκέσειν. οὐδ᾽ ἤρκουν· ἀλλ᾽ ὁ στρατὸς καὶ τοῖς γείτοσιν ἐπέβαινε σὺν ὕβρει, πλέονά τε τῶν δεδομένων σφίσι περισπώμενοι, καὶ τὸ ἄμεινον ἐκλεγόμενοι· οὐδὲ, ἐπιπλήσσοντος αὐτοῖς καὶ δωρουμένου πολλὰ ἄλλα τοῦ Καίσαρος, ἐπαύοντο· ἐπεὶ καὶ τῶν ἀρχόντων, ὡς δεομένων σφῶν ἐς τὸ ἐγκρατὲς τῆς ἀρχῆς, κατεφρόνουν. καὶ γὰρ αὐτοῖς ἡ πενταετία παρώδευε, καὶ τὸ ἀσφαλὲς ἡ χρεία συνῆγεν ἀμφοτέροις παρ᾽ ἀλ-

Lin. 60. δορύληπτοι *Edd. invitis MSS.* *L.* 61. συνηχέοντο *Ven.* συνήχεοντο *Aug. corrupte.* *Ibid. sq.* ὅταν ἐνθυμ. *Edd. ex Reg. A.* ὅτε ἐνθυμ. *Reg. B. Recte Aug. Ven.* *L.* 71. τῶν διδομένων *Aug.*

nominis homines, pelli agris focisque, tamquam jure belli captos. Itaque & populus condolebat, & illacrimabat eorum calamitatibus; præsertim dum reputabat „non pro republica, sed contra se ipsum evertendæque reipublicæ causa, & gestum illud bellum esse, & nunc reddi victoriæ præmia; & colonias has eo consilio deduci, ut numquam posthac caput attollere queat respublica; quoniam coloni, hac mercede obstricti, parati semper ad omne obsequium futuri sint principibus.

13. At *Cæsar* civitatibus necessitatis rationem exponebat; intelligens etiam, ne sic quidem satis fore. Nec fuit satis: & *milites vicinorum etiam prædia contemtim invadebant*; & plura, quam quæ illis adtributa fuerant, ad se rapiebant, *optima quæque præripientes.* Neque objurgationibus Cæsaris movebantur: neque aliis ejusdem largitionibus, quas multas eis faciebat, adducebantur ut ab injuriis desisterent. Nam & principum imperia, quippe sua ope ad confirmandam do-

A. U. 713.

λήλων· τοῖς μὲν ἡγεμόσιν, ἐς τὴν ἀρχὴν παρὰ τοῦ στρατοῦ· τῷ στρατῷ δὲ, ἐς τὴν ἐπικράτησιν ὧν ἔλαβον, ἡ τῶν δεδωκότων ἀρχὴ παραμένουσα. ὡς γὰρ αὐτῶν οὐ βεβαίως * ἄρχοιεν οἱ δόντες, ὑπερεμάχουν ἀπ' εὐνοίας ἀναγκαίου. Πολλὰ δὲ καὶ ἄλλα τοῖς ἀπορουμένοις αὐτῶν ἐδωρεῖτο, δανειζόμενος ἐκ τῶν ἱερῶν, ὁ Καῖσαρ. ὅθεν τὴν γνώμην ὁ στρατὸς ἐς αὐτὸν ἐπέστρεφε· καὶ πλείων ὑπήντα χάρις, ὡς γῆν ἅμα καὶ πόλεις καὶ χρήματα καὶ οἰκήματα δωρουμένῳ, καὶ καταβοωμένῳ μὲν ἐπιφθόνως ὑπὸ τῶν ἀφαιρουμένων, φέροντι δὲ τὴν ὕβριν ἐς χάριν τοῦ στρατοῦ.

XIV. Ταῦτα δὲ ὁρῶν ὅ τε ἀδελφὸς ὁ τοῦ Ἀντωνίου Λεύκιος Ἀντώνιος, ὑπατεύων τότε, καὶ ἡ γυνὴ τοῦ Ἀντωνίου Φουλβία, καὶ ὁ τῆς ἀποδημίας ἐπιτροπεύων τῷ Ἀντωνίῳ Μάνιος, ἵνα μὴ Καίσαρος δόξειε τὸ ἔργον ἅπαν

Lin. 77. Ante ἐς τὴν ἀρχὴν *insertum Musgr. voluit artic.* ἡ, *scil.* ἡ χρεία. *L. 78.* τῷ δὲ στρατῷ *Edd. ex Reg. A. Secus Aug. Reg. B. L. 79 sq.* αὐτῶν βεβαίως *Aug. & caret* οὐ. *Signum* lacunæ *adposui, quam hac ipsa vel simillima quadam ratione explendam puto:* ὡς γὰρ αὐτῶν οὐ βεβαίως ΕΠΙΚΡΑΤΗΣΟΝΤΕΣ, ΕΙ ΜΗ ΒΕΒΑΙΩΣ ἄρχοιεν *&c.*

minationem egentium, contemtim habebant. Decurrebat enim illis quinquennium; & utrisque ad securitatem opus erat favore mutuo: imperatoribus, ut per milites principatum confirmarent: militibus, ut accepta retinerent, opus erat ut maneret penes auctores ejus donationis imperium; itaque necessitate coacti favebant illorum potestati, quoniam, ea nutante, ne ipsis quidem præmiorum acceptorum firma futura erat possessio. Sed *Cæsar*, quum alias quoque multas largitiones, pecunia e fanis mutuo sumta, egenis militibus faceret, animos illorum sibi conciliavit omnium, & præcipuam ab illis gratiam iniit; quippe cui agros, urbes, pecunias, domos acceptas ferebant, invidiose quidem obclamantibus qui spoliabantur, illo vero fortiter contumeliam eam ferente in gratiam militum.

14. His animadversis, *Antonii frater*, LUCIUS ANTONIUS *Consul*, & *uxor Antonii Fulvia*, & qui absentis Antonii res procurabat *Manius*; ne *Cæsaris* videretur to-

A. C. εἶναι, μηδὲ μόνος αὐτοῦ τὴν χάριν ἀποφέροιτο, μηδ'
713. ἔρημος ὁ Ἀντώνιος εὐνοίας στρατιωτῶν γένοιτο, τὰς κατοικίσεις ἐτέχναζον ἐς τὴν ἐπιδημίαν Ἀντωνίου διατρίβειν. Οὐ δυνατοῦ δὲ φαινομένου διὰ τὸν στρατὸν ἐπείγοντα, τοὺς οἰκιστὰς τῶν Ἀντωνίου τελῶν ἠξίουν Καίσαρα παρὰ σφῶν λαβεῖν· τῆς μὲν συνθήκης Ἀντωνίου μόνῳ Καίσαρι διδούσης, ἐπιμεμφόμενοι δὲ ὡς οὐ παρόντι τῷ Ἀντωνίῳ. Καὶ ἐς τὸν στρατὸν αὐτοὶ τήν τε Φουλβίαν παράγοντες, καὶ τὰ παιδία τὰ Ἀντωνίου, μάλα ἐπιφθόνως ἱκέτευον, μὴ περιιδεῖν Ἀντώνιον, ἢ δόξης ἢ χάριτος ἢ ἐς αὐτοὺς ὑπηρεσίας ἀφαιρούμενον. ἤκμαζε δὲ ἐν τῷ τότε μάλιστα τὸ κλέος τὸ Ἀντωνίου καὶ παρὰ τῷ στρατῷ καὶ παρὰ τοῖς ἄλλοις ἅπασι· τὸ γὰρ ἔργον τὸ ἐν Φιλίπποις, διὰ τὴν τότε Καίσαρος ἀῤῥωστίαν, ἅπαν ἡγοῦντο Ἀντωνίου γεγονέναι. Ὁ δὲ Καῖσαρ οὐκ ἠγνόει μὲν ἀδικούμενος ἐς τὰ συγκείμενα, εἶξε δὲ ἐς χάριν Ἀντωνίου. καὶ οἱ μὲν τοὺς

Lin. 93 *sq.* κατοικήσεις *Reg. A.* *L.* 98. ὡς οὐ παραδόντι *Edd. cum Reg. A. & Coisl.* ὡς παρόντι *Reg. B. & caret particula negante: quod probarem, si sequeretur* τὰ Ἀντωνίου. *Dedi lect. Aug. Ven. Sed sic vereor, ne post* Ἀντωνίῳ *exciderit nonnihil. L.* 2. *Malim* χάριτος τῆς ἐς αὐτούς. *L.* 8. εἶξε *Edd. mend. ex Reg. B.*

tum hoc beneficium, neve soli illi haberetur gratia, & Antonius fraudaretur favore militum; vaframentis agebant, ut coloniarum deductio differretur in adventum Antonii. Quod quum fieri tamen non posse videretur, propter festinationem militum; postularunt a *Cæsare*, ut Antonianas legiones amicis Antonii in colonias traderet deducendas: quod munus quamquam ex pacto *Antonius* soli Cæsari cesserat, conquerebantur tamen illi de Antonii absentia; productaque in conspectum exercitus *Fulvia* cum parvis Antonii liberis, invidiose supplicabant militibus, ne Antonium paterentur meritorum in ipsos collatorum honore gratiave spoliari. Erat autem tunc maxime *inclytum Antonii nomen* & apud milites & apud ceteros: nam Philippensis victoria, propter adversam Cæsaris valetudinem, tota videbatur ad unum Antonium referenda. Itâque *Cæsar*, quamvis non ignarus injuriam sibi fieri pactaque violari, cessit tamen, in gratiam Antonii: atque ita ab Antonii necessa-

οἰκιστὰς ἐπὶ τοῖς Ἀντωνίου τέλεσιν ἀπέφαινον. Οἱ δὲ οἰκισταὶ τοῖς στρατιώταις, ἵνα τι καὶ δοκοῖεν εὐνούστεροι τοῦ Καίσαρος ἐς αὐτοὺς εἶναι, συνεχώρουν ἔτι πλέον ἀδικεῖν. Ἄλλο δὴ πλῆθος ἦν ἑτέρων πόλεων, αἱ ταῖς νενεμημέναις γειτονεύουσαί τε, καὶ πολλὰ πρὸς τῶν στρατιωτῶν ἀδικούμεναι, κατεβόων τοῦ Καίσαρος· ἀδικωτέρας εἶναι τὰς ἀποικίσεις τῶν προγραφῶν. τὰς μὲν γὰρ ἐπὶ ἐχθροῖς, τὰς δὲ ἐπὶ μηδὲν ἀδικοῦσι γίγνεσθαι.

A. U. 713.

XV. Ὁ δὲ Καῖσαρ οὐκ ἠγνόει μὲν ἀδικουμένους, ἀμήχανα δ' ἦν αὐτῷ. οὔτε γὰρ ἀργύριον ἦν ἐς τιμὴν τῆς γῆς δίδοσθαι τοῖς γεωργοῖς, οὔτε ἀναβάλλεσθαι τὰ ἐπινίκια διὰ τοὺς ἔτι πολέμους· Πομπηίου μὲν ἐν τῇ θαλάσσῃ κρατοῦντος, καὶ τὴν πόλιν κλείοντος ἐς λιμόν· Ἀηνοβάρβου δὲ καὶ Μούρκου στρατὸν καὶ ναῦς ἄλλας ἀγειρόντων· ἀθυμοτέρων δὲ ἐς τὰ ἐσόμενα ὄντων, εἰ μὴ

Lin. 10. δοκεῖεν *Edd. Recte Aug.* *L.* 20. ἔτι πολεμίους *Reg. B. a pr. manu, & Cand.* *L.* 22 *sq.* συναγειρόντων *Edd. ex Reg. A. invitis Aug. Ven. Reg. B.* *L.* 23. ἐς τὰ τῶν ἐσόμενα ὄντων *Edd. Delevi importunum* τῶν *cum Aug. Sed magis corruptum ac mutilatum locum puto, hoc fere modo restituendum:* ἀθυμοτέρων δὲ ἐς τὰ λοιπὰ ἐσομένων τῶν στρατιωτῶν. *Brevius Musgravius:* ἀθυμοτέρων δὲ ἐς ταῦτα ἐσομένων αὐτῶν.

riis nominati sunt, qui Antonianas legiones in colonias deducerent. Et deductores illi, ut viderentur melius etiam quodam modo, quam ipse Cæsar, adfecti in milites, eo majorem etiam injuriarum licentiam colonis suis concessērunt. Itaque alia rursus multitudo ex aliis civitatibus, vicinis harum coloniarum, multas injurias a militibus passa, clamores jactabat in Cæsarem „ *iniquiores coloniarum deductiones nunc esse, quam proscriptiones ante fuissent: tunc enim inimicos mulctatos, nunc vero innoxios.* "

15. Et intelligebat quidem *Cæsar*, fieri eis injuriam; sed mederi non poterat: nam neque pecuniam habebat, unde pretium agrorum veteribus possessoribus redderet; neque victoriæ merces differri, propter instantia etiam nunc bella, poterat; *Pompejo*, maria tenente, & Urbi interclusis commeatibus famem intentante; *Ahenobarbo* vero & *Murco* classem aliam & exercitum colligentibus: militibus vero ad reliqua segniorem operam præbituris, nisi prio-

A. U. 713. τὰ πρότερα ἐπινίκια λάβοιεν. πολὺ δὴ ἦν καὶ τὸ παροδεύειν σφίσιν ἤδη τὴν τῆς ἀρχῆς πενταετίαν, καὶ χρῄζειν αὖθις εὐνοίας στρατοῦ. διόπερ αὐτῶν καὶ τῆς ὕβρεως ἢ καταφρονήσεως ἐν τῷ τότε ἑκὼν ὑπερεώρα. Ἐν γέ τοι τῷ θεάτρῳ, παρόντος αὐτοῦ, στρατιώτης ἀπορῶν οἰκείας ἕδρας, παρῆλθεν ἐς τοὺς καλουμένους ἱππέας· καὶ ὁ μὲν δῆμος ἐπεσημήνατο, καὶ ὁ Καῖσαρ τὸν στρατιώτην ἀνέστησεν. ὁ δὲ στρατὸς ἠγανάκτησε· καὶ, περιστάντες αὐτὸν ἀποχωροῦντα τοῦ θεάτρου, τὸν στρατιώτην ἀπῄτουν, οὐχ ὁρώμενον ἡγούμενοι διεφθάρθαι. ἐπελθόντα δὲ, ἐνόμιζον ἐκ τοῦ δεσμωτηρίου νῦν προαχθῆναι· ἀρνούμενόν τε, καὶ τὰ γεγονότα διηγούμενον, ψεύδεσθαι διδαχθέντα ἔλεγον, καὶ ἐλοιδόρουν ὡς τὰ κοινὰ προδιδόντα. Καὶ τὸ μὲν ἐν τῷ θεάτρῳ γενόμενον, τοιόνδε ἦν.

XVI. Κεκλημένοι δὴ ἐπὶ νέμησιν τότε γῆς ἐς τὸ πεδίον τὸ Ἄρειον, ὑπὸ σπουδῆς ἔτι νυκτὸς ἀφίκοντο· καὶ

Lin. 25 sq. καὶ χρῆζον *edit.* 1. *cum Regiis. Emendavit H. Steph. ut est in Aug. L. 38.* ποτὲ, *pro* τότε, *maluit Musgrav. Ibid.* τότε τῆς ἐς τὸ πεδ. *Edd. & MSS. nostri. Delendum* τῆς *censuit Musgrav. Malui in* γῆς *mutare, quod jam visum erat C. Stephano.*

ris victoriæ præmia accepissent. Neque vero illud exigui erat momenti, quod jam progressum ipsis erat imperii quinquennium, ut mox nova rursus opus eis esset exercitus benevolentia. Quamobrem ultro tum dissimulabatur *militaris insolentia.* Certe quum miles in theatro, Cæsare præsente, vacuam loco suo sedem non inveniens, ad subsellia equitum transiisset; postquam, adclamante populo, Cæsar excitari de illis subselliis militem jussit; exercitus rem indigne ferens, principem e theatro discedentem circumstitit, & militem, quem, quoniam nusquam adparebat, interemtum erant suspicati, sibi coram sisti postularunt. Ubi vero supervenit miles, rati productum e carcere, quum id negaret, remque ut erat narraret, mentiri subornatum ajebant, & ut proditorem communium commodorum conviciabantur. Et tale quidem fuit *insolentiæ specimen in spectaculo admissæ.*

16. Iisdem vero diebus ad divisionem agrorum in *campum Martium* vocati, præ-

βραδύτερον αὐτοῖς τοῦ Καίσαρος ἐπιόντος, ἠγανάκτουν. Νώνιος δὲ λοχαγὸς ἐπέπληξεν αὐτοῖς σὺν παρρησίᾳ, τό τε πρέπον τοῖς ἀρχομένοις ἐς τὸν ἄρχοντα προφέρων, καὶ τὴν Καίσαρος ἀσθένειαν, οὐχ ὑπεροψίαν. οἱ δὲ αὐτὸν τὰ μὲν πρῶτα ἔσκωπτον, ὡς κόλακα· πλείονος δὲ ἑκατέρωθεν τοῦ ἐρεθίσματος γενομένου, ἐλοιδόρουν τε καὶ ἔβαλλον, καὶ φεύγοντα ἐδίωκον, ἔς τε τὸν ποταμὸν ἐξαλόμενον, ἐξειρύσαντες ἔκαινον, καὶ ἔρριψαν ἔνθα παροδεύσειν ὁ Καῖσαρ ἔμελλεν. οἱ μὲν δὴ φίλοι τῷ Καίσαρι παρῄνουν, μηδὲ ἐπελθεῖν ἐς αὐτούς, ἀλλ' ἐκστῆναι μανιώδει φορᾷ. Ὁ δ' ἐπῄει μέν, ἀναθρέψειν ἔτι αὐτῶν μᾶλλον ἡγούμενος τὸ μανιῶδες, εἰ μὴ ἀφίκοιτο. καὶ τὸν Νώνιον ἰδών, ἐξέκλινεν. ὡς δὲ ὀλίγων ταῦτα δρασάντων, ἐπεμέμφετο, καὶ ἐς τὸ μέλλον ἀλλήλων φείδεσθαι παρῄνει, καὶ τὴν γῆν διένεμε, καὶ δωρεὰς αἰτεῖν τοῖς ἀξίοις ἐπέτρεπε, καὶ τῶν οὐκ ἀξίων ἐνίοις ἐδίδου παρὰ γνώμην. A. U. 713.

Lin. 46. ἔβαλον *Aug.* *L.* 47. ἐξείρυσάν τ' ἐς ἐκεῖνον *Edd.* ἐξείρυσάν τ' ἐς ἐκεῖνον *Reg. A.* ἐξείρυσάν τ' ἐς ἐκεῖνον *Reg. B.* ἐξείρυσάν τε ἐκεῖνον *Aug.* [illegible] *Gelenio.* *L.* 51. μᾶλλον ἡγουμ. τὸ μανιῶδες αὐτῶν *Edd.* *Prætuli Aug.* *L.* 54. διένειμε *Aug.*

propere ante lucem convenerunt; & Cæsare tardius adveniente, indignari tumultuose cœperunt. Quos quum *Nonius centurio* libere objurgaret, admonens reverentiæ imperatori debitæ, & in Cæsaris valetudinem, non ipsorum contemtum, moræ caussam rejiciens: hunc illi, ut adulatorem, cavillis adorti, mox aucta utrimque irritatione conviciis & saxis petierunt, & fugientem persecuti sunt; denique quum fuga se in flumen projecisset, aquis extractum necarunt, projeceruntque qua transeundum erat Cæsari. Quamobrem monebant *Cæsarem* amici, ne se furentibus committeret. Sed ille, veritus ne per absentiam suam illorum insaniam aleret, tamen prodiit: conspectoque *Nonii cadavere*, paulisper de via deflexit. Tum vero, veluti ad paucos auctores pertineret illud facinus, hortatus est milites, ut posthac sibi invicem parcerent, & agros eis divisit, & militaria dona meritis petere permisit: deditque nonnullis immeritis etiam, præter ipsorum opinionem; donec stupe-

A. U. 713. μέχρι τὸ πλῆθος ἐκπλαγὲν αὐτοῦ τῆς βαρύτητος μετενόει καὶ ᾐδεῖτο, καὶ κατεγίνωσκον αὐτῶν, καὶ τοὺς ἐς τὸν Νώνιον ἁμαρτόντας ἠξίουν ἀνευρόντα κολάσαι. Ὁ δὲ, καὶ γιγνώσκειν αὐτοὺς, ἔφη, καὶ κολάσειν αὐτῷ τῷ συνειδότι σφῶν μόνῳ, καὶ τῇ παρ᾽ ὑμῶν καταγνώσει. Οἱ δὲ, συγγνώμης τε ὁμοῦ καὶ τιμῆς καὶ δωρεῶν ἀξιωθέντες, εὐθὺς αὐτὸν εὐφήμουν ἐκ μεταβολῆς.

XVII. Καὶ δύο μὲν εἰκόνες ἐκ πλεόνων αἵδε ἔστων τῆς τότε δυσαρχίας. Αἴτιον δ᾽ ἦν, ὅτι καὶ οἱ στρατηγοὶ ἀχειροτόνητοι ἦσαν οἱ πλείους, ὡς ἐν ἐμφυλίοις, καὶ οἱ στρατοὶ αὐτῶν οὐ τοῖς πατρίοις ἔθεσιν ἐκ καταλόγου συνήγοντο, οὐδ᾽ ἐπὶ χρείᾳ τῆς πατρίδος, οὐδὲ τῷ δημοσίῳ στρατευόμενοι μᾶλλον, ἢ τοῖς συνάγουσιν αὐτοὺς μόνοις, οὐδὲ τούτοις ὑπὸ ἀνάγκῃ νόμων, ἀλλ᾽ ὑποσχέσεσιν ἰδίαις, οὐδὲ ἐπὶ πολεμίους κοινοὺς, ἀλλὰ ἰδίους ἐχθροὺς, οὐδὲ

Lin. 56. βαρύτητος *ad superiora referunt Edd. cum MSS. Sic &* *Cand.* multitudo gravitatem ejus admirata. βαθύτητος *maluit Musgr. Pro* ἐκπλαγὲν *aliud quid fuerat in Aug. Sed id erasum ab ead. manu. Mihi delenda visa est hypostigme post* βαρύτητος: *sed etiam nunc addubito de integritate loci.* *L.* 58. ἀνευρόντας *Edd. Rectius Aug. Reg. B.* *L.* 67. ἐπὶ χρείας *Edd. perperam ex Reg. B. Recte reliqui MSS.*

factam tandem multitudinem pœnitentia cepit suæ importunitatis, pudorque incessit, postularuntque ut ad supplicium quærerentur qui *Nonium* interfecissent. Sed *Cæsar* nosse se illos, ait, & sola conscientia ipsa criminis condemnationeque commilitonum illos puniturum. Sic milites, venia simul & præmiis donisque dignati, ad faustas adclamationes subito versi sunt.

17. Hæc duo *contumaciæ*, quæ tunc erat *militum*, specimina, e multis selecta, sufficiant. Cujus rei *causa* hæc fuit, quod & duces plerique, ut consentaneum est in bellis Civilibus, non essent legitimis suffragiis creati; & exercitus eorum non essent more majorum delectibus conscripti, neque in usum patriæ, neque sub auspiciis Senatus Populique Romani stipendia facerent; sed his tantum militarent, qui eos collegissent; ac ne his quidem legitima quadam conditione, sed privatis inducti pollicitationibus; nec adversus hostes publicos, sed adversus eos qui privatim essent ducibus inimici; nec

ἐπὶ ξένους, ἀλλὰ πολίτας καὶ ὁμοτίμους. Τάδε γὰρ πάντα αὐτοῖς τὸν στρατιωτικὸν φόβον ἐξέλυεν, οὔτε στρατεύεσθαι νομίζουσι μᾶλλον, ἢ βοηθεῖν οἰκείᾳ χάριτι καὶ γνώμῃ, καὶ τοὺς ἄρχοντας ἡγουμένοις ὑπὸ ἀνάγκης αὐτῶν ἐς τὰ ἴδια ἐπιδεῖσθαι. τό τε αὐτομολεῖν, πάλαι Ῥωμαίοις ἀδιάλλακτον ὄν, τότε καὶ δωρεῶν ἠξιοῦτο· καὶ ἔπρασσον αὐτὸ οἵ τε στρατοὶ κατὰ πλῆθος, καὶ τῶν ἐπιφανῶν ἀνδρῶν ἔνιοι, νομίζοντες οὐκ αὐτομολίαν εἶναι τὴν ἐς τὰ ὅμοια μεταβολήν. ὅμοια γὰρ δὴ πάντα ἦν· καὶ οὐδὲ ἕτερα αὐτῶν ἐς ἔχθραν κοινὴν Ῥωμαίοις ἀπεκέκριτο· ἥ τε τῶν στρατηγῶν ὑπόκρισις μία, ὡς ἁπάντων ἐς τὰ συμφέροντα τῇ πατρίδι βοηθούντων, εὐχερεστέρους ἐποίει πρὸς τὴν μεταβολήν, ὡς πανταχοῦ τῇ πατρίδι βοηθοῦντας. ἃ καὶ οἱ στρατηγοὶ συνιέντες ἔφερον, ὡς οὐ νόμῳ μᾶλλον αὐτῶν ἄρχοντες, ἢ ταῖς δωρεαῖς.

A. U. 713.

Lin. 74. ὑπὸ ἀνάγκης *Ven.* *L.* 82. τῇ πατρίδι βοηθεῖν *Edd. mend. Post* τῇ πατρίδι *duas lineas per errorem omisit Aug.* βοηθούντων *recte dedit Ven. quod & primum scripserat librarius Aug. sed mox, aberrante in tertiam abhinc lineam oculo, in* βοηθοῦντας *mutavit.*

contra exteros, ſed contra cives & dignitate pares. *Hæc* ſunt, quæ *militarem diſciplinam peſſum dederunt;* dum quiſque non tam militare ſe putabat, quam privata gratia privatoque conſilio partes defendere ducis ſui; quem privatorum commodorum cauſa, cogente neceſſitate, indigere opera ſua quiſque arbitrabatur. Itaque & *transfugium*, quod *apud priſcos Romanos crimen* fuerat *inexpiabile*, ea temporum iniquitate præmiis etiam remunerabatur: & integri exercitus ſigna transferebant, & cum eis illuſtres nonnulli viri; neque transfugium hoc eſſe exiſtimabant, ſi ad ſimiles ex adverſo partes tranſirent. Erant enim partes omnibus rebus ſimiles, & neutra eorum in communem Romani populi inimicitiam ſeceſſionem fecerat. Et una eademque imperatorum ſimulatio, quum pro patria & pro republica arma ferre cuncti vellent videri, leviores efficiebat ad tranſitionem milites, quippe ab utraque parte pro republica pugnaturos. Quas res bene intelligentes imperatores, multa ferre in militibus cogebantur; quippe non tam lege, quam largitionibus, imperium in eos con-

A. U. 713. Οὕτω μὲν ἐς στάσεις τότε πάντα, καὶ ἐς δυσαρχίαν τοῖς στασιάρχαις τὰ στρατόπεδα, ἐτέτραπτο.

XVIII. Τὴν δὲ Ῥώμην λιμὸς ἐπίεζεν, οὔτε τῆς θαλάσσης τι αὐτοῖς φερούσης διὰ Πομπήϊον, οὔτε τῆς Ἰταλίας διὰ τοὺς πολέμους γεωργουμένης. ὃ δὲ καὶ γένοιτο, ἐς τοὺς στρατοὺς ἐδαπανᾶτο. Ἐκλώπευόν τε οἱ πολλοὶ νυκτὸς ἐν τῇ πόλει, καὶ κλοπῆς ἔτι βιαιότερον ἠνώχλουν, καὶ ἠνώχλουν ἀδεῶς, καὶ ἡ δόξα ἐς τοὺς στρατιώτας ἐφέρετο. ὁ δὲ λεὼς ἀπέκλειε τὰ ἐργαστήρια, καὶ τὰς ἀρχὰς ἐξανίστη, ὡς οὔτε ἀρχῶν οὔτε τεχνῶν χρήζοντες ἐν ἀπορούσῃ καὶ λῃστευομένῃ πόλει.

XIX. Λευκίῳ δὲ ὄντι δημοτικῷ, καὶ δυσχεραίνοντι τῇ τῶν τριῶν ἀρχῇ, οὐδὲ ἐπὶ τῷ χρόνῳ παύσεσθαι νομιζομένῃ, προσκρούσματα ἐς τὸν Καίσαρα ἐγίγνετο καὶ διαφοραὶ μείζους. τούς τε γεωργοὺς, ὅσοι τῆς γῆς ἀφῃροῦντο, ἱκέτας γιγνομένους τῶν δυνατῶν ἑκάστοι, μόνος ὑπεδέχετο,

Lin. 87. στασιάρχεις Aug. L. 92. βιαιότερον Edd. mend. βιώτερον Reg. B. Recte Reg. A. Aug.

secuti. Atque adeo, ad seditionem spectantibus omnibus, ne principes quidem factionum in suis quisque exercitibus disciplinam militarem potuerunt obtinere.

18. *Roma* interim *fame laborabat*; impeditis per Pompejum frumentationibus maritimis, in Italia vero propter continua bella agricultura neglecta, &, si quid agri ferrent, absumente id milite. Et in ipsa Urbe permulti furtis nocturnis atrocioribusque aliis violentiæ generibus, & impune quidem, grassabantur, eorumque facinorum milites vulgo auctores sunt habiti. Plebs vero officinas clausit, & magistratus loco movit; neque artibus opus esse, dictitans, neque magistratibus, in urbe fame pressa & latrociniis impune infestata.

19. Ceterum *Lucio Antonio*, bene adfecto erga rempublicam, & *infenso Triumvirorum potentiæ*, ultra præfinitum tempus (ut videbatur) mansuræ, graviores subinde offensiones *contentionesque cum Cæsare* exoriebantur. Nam veteres agrorum possessores, bonis suis exutos, & suppliciter nunc ad optimatium

ὑπεδέχετο, καὶ βοηθήσειν ὑπισχνεῖτο, κἀκείνων ὑπισχνουμένων ἀμύνειν ἐς ὃ κελεύοι. Ὅθεν αὐτὸν ὁ στρατὸς ὁ Ἀντωνίου κατεμέμφετο καὶ ὁ Καῖσαρ, ὡς ἀντιπράσσοντα Ἀντωνίῳ· καὶ Φουλβία, ὡς πολεμοποιοῦντα ἐν ἀκαίρῳ. μέχρι τὴν Φουλβίαν ὁ Μάνιος πανούργως μετεδίδαξεν, ὡς, εἰρηνευομένης μὲν τῆς Ἰταλίας, ἐπιμενεῖν Ἀντώνιον Κλεοπάτρᾳ· πολεμουμένης δὲ, ἀφίξεσθαι κατὰ τάχος. Τότε γὰρ δὴ γυναικός τι παθοῦσα ἡ Φουλβία, τὸν Λεύκιον ἐπέτριβεν ἐς τὴν διαφοράν. ἐξιόντος δὲ τοῦ Καίσαρος ἐς τὰ λοιπὰ τῶν κατοικίσεων, ἔπεμπεν ἑψομένους αὐτῷ τοὺς Ἀντωνίου παῖδας ἅμα τῷ Λευκίῳ, ὡς μηδὲν ἐκ τῆς ὄψεως ὁ Καῖσαρ ἐν τῷ στρατῷ πλέον ἔχοι. Ἱππέων δὲ Καίσαρος ἐκτρεχόντων ἐπὶ τὴν Βρουττίων ἠϊόνα, πορθουμένην ὑπὸ Πομπηΐου, δόξας ὁ Λεύκιος, ἢ ὑποκρινάμενος, ἐφ᾽ ἑαυτὸν καὶ τοὺς Ἀντωνίου παῖδας τόδε τὸ ἱππικὸν ἀπεστάλθαι, διέδραμεν ἐς τὰς Ἀντωνίου κα- A. U. 713.

Lin. 4. κελεύει *Aug.* *L. 6.* καὶ Φουλβίαν ὡς πολεμοποιοῦσαν *Edd. cum Regiis. Prætuli Aug. in cujus tamen ora etiam (ab eadem fortaſſe manu) ſcriptum legitur* πολεμοποιοῦσαν. *In* πολεμοποιοῦντα *cum Aug. conſentit Ven.* *L. 12.* κατοικήσεων *h. l. Aug.*

matium fidem confugientes, ſolus *Lucius* excipiebat, opem ſuam pollicens; & illi viciſſim ad quidvis ei ſuam operam promittebant. Quo factum eſt, ut eum & Antoniani milites & *Cæſar* incuſarent, tamquam adverſantem Antonio; itemque *Fulvia*, ut bellum excitantem alieno tempore. Sed *Fulvia* quidem mox mutavit conſilium, monita a *Manio* „pacata Italia, moraturum Antonium apud Cleopatram; bello vero turbata, adventurum propere." Tunc enim *Fulvia*, muliebri quodam adfectu commota, magis etiam incitare cœpit *Lucium* ad diſcordiam. Et quum *Cæſar* proficiſceretur ad deducendas reliquas colonias, miſit illa filios Antonii una cum Lucio, qui ſequerentur Cæſarem, ne potior Cæſar haberetur ab exercitu, ſi illum ſolum conſpicerent. Quumque Cæſaris equites excurriſſent in Bruttiorum littora, a Pompejo infeſtata; *Lucius*, ſive timens, ſive fingens ſe timere, ne contra ſe & contra liberos Antonii equitatus ille miſſus ſit, ad colonias An-

A. U. 713.

τοικίας, συλλεγόμενος φρουρὰν τῷ σώματι, καὶ τὸν Καίσαρα τῷ στρατῷ διέβαλλεν ἐς ἀπιστίαν πρὸς Ἀντώνιον. ὁ δὲ ἀντεδίδασκεν αὐτοὺς, ὅτι αὐτῷ μὲν καὶ Ἀντωνίῳ πάντα εἶναι φίλια καὶ κοινά· Λεύκιον δὲ ὑφ' ἑτέρας γνώμης αὐτοὺς πολεμοποιεῖν ἐς ἀλλήλους, ἀντιπράσσοντα τῇ τῶν τριῶν ἀρχῇ, δι' ἣν οἱ στρατευόμενοι τὰς ἀποικίας ἔχουσι βεβαίους· καὶ τοὺς ἱππέας εἶναι καὶ νῦν ἐν Βρουττίοις, τὰ ἐντεταλμένα φυλάσσοντας.

XX. Ὧν οἱ ἡγεμόνες τοῦ στρατοῦ πυνθανόμενοι, διῄτησαν αὐτοῖς ἐν Τεάνῳ, καὶ συνήλλαξαν ἐπὶ τοῖσδε· Τοὺς μὲν ὑπάτους τὰ πάτρια διοικεῖν, μὴ κωλυομένους ὑπὸ τῶν τριῶν ἀνδρῶν· μηδενὶ δὲ γῆν ὑπὲρ τοὺς στρατευσαμένους ἐν Φιλίπποις ἐπινέμεσθαι· τά τε χρήματα τῶν δεδημευμένων καὶ τιμὰς τῶν ἔτι πιπρασκομένων καὶ τὸν στρατὸν Ἀντωνίου τὸν περὶ τὴν Ἰταλίαν ἐπίσης διανέμεσθαι· καὶ μηδέτερον αὐτῶν ἔτι καταλέγειν ἐκ τῆς Ἰταλίας· στρατεύοντι δὲ ἐπὶ Πομπήϊον τῷ Καίσαρι

Lin. 27 *sq.* διῄτησαν αὐτῷ *Edd. cum Reg. A. Aug. Prætuli Reg. B.*
L. 33. τοῖς περὶ τὴν Ἰταλ. *Edd. Recte* τὸν *Aug.*

tonianorum se proripuit, satellitium sibi collecturus, calumniando Cæsarem, ut perfidum erga Antonium. Sed *Cæsar* eos contra docebat „*integram sibi cum Antonio manere amicitiam* : *Lucium vero alia de causa bellum inter ipsos serere*; nimirum quod infensus sit Triumvirorum potentiæ, per quam novi coloni firmam possessionem habeant: equites vero etiam tum in Bruttiis esse, & mandata sua exsequi."

20. His intellectis, *duces legionum Teani* convenerunt; ibique, tamquam arbitri disceptantes controversiam, his conditionibus *L. Antonium cum Cæsare reduxerunt in gratiam* : „ Ut *Consulibus* non obstent *Triumviri*, quo minus illi rempublicam administrent more majorum : agri dividantur nemini præter defunctos Philippensi militia: de pecuniis proscriptorum, & de pretiis eorum quæ etiam nunc venderentur, illæ quoque ex Antonianis legionibus, quæ in Italia mansissent, partem suam ex æquo ferant: neuter imperatorum posthac delectus militum instituat in Italia: *Cæsari* in expeditione

δύο συμμαχεῖν τέλη παρὰ Ἀντωνίου· ἀνεῷχθαι δὲ τὰς Ἄλπεις τοῖς ὑπὸ Καίσαρος πεμπομένοις ἐς τὴν Ἰβηρίαν, καὶ μὴ κωλύειν αὐτοὺς ἔτι Ἀσίνιον Πολλίωνα· Λεύκιον δὲ, ἐπὶ τοῖσδε συνηλλαγμένον, ἀποθέσθαι τὴν φρουρὰν τοῦ σώματος, καὶ πολιτεύειν ἀδεῶς. Τάδε μὲν ἦν ἃ συνέθεντο ἀλλήλοις διὰ τῶν ἡγεμόνων τοῦ στρατοῦ. ἐπράχθη γε μὴν αὐτῶν δύο μόνα τὰ τελευταῖα· καὶ Σαλβιδιηνὸς ἄκων αὐτῷ * συμπεριῆλθε τὰς Ἄλπεις. A. U. 713.

XXI. Οὐ γιγνομένων δὲ τῶν ἄλλων, ἢ βραδυνόντων, ἐς Πραινεστὸν ἀνεχώρει Λεύκιος, δεδιέναι λέγων Καίσαρα, διὰ τὴν ἀρχὴν δορυφορούμενον, αὐτὸς ἀφρούρητος ὤν. Ἀνεχώρει δὲ καὶ Φουλβία πρὸς Λεύκιον, ἤδη λέγουσα περὶ τοῖς τέκνοις τὸν Λέπιδον δεδιέναι· τοῦτον γὰρ ἀντὶ τοῦ Καίσαρος προὐτίθει. Καὶ τάδε μὲν ἐγράφετο παρ' ἑκατέρων Ἀντωνίῳ, καὶ φίλοι μετὰ τῶν γραμμάτων ἐς αὐτὸν ἐπέμποντο, οἳ διδάξειν ἔμελλον περὶ ἑκάστων. καὶ

Lin. 38. Ἀσίννιον *Regii, Aug. ut alibi.* *L.* 42. Σαλβιδιηνὸς *rursus Edd. invitis MSStis.* *L.* 43. *Pro* ἄκων *fortasse* ἄγων *reponendum. Ceterum non corrupta solum, verum etiam mutilata h. l. utique videtur oratio.* *L.* 45. Πραινεστὸν *h. l. & in seqq. Edd. & MSSti nostri.* *L.* 47 *sq.* ἀνεχώρει δὲ καὶ Φουλβία, Λέπιδον εἶναι λέγουσα περὶ τοῖς τέκνοις δεδιέναι *Edd. & in edit.* 1. 2. *asterisco in margine adposito indicatur corruptum aut mutilum esse locum: quem partim ex MSStis, partim ex facili conjectura, restitui.*

„contra *Pompejum* duæ legiones *Antonii* militent: Alpes missis a Cæsare in Hispaniam pateant, nec *Asinius Pollio* eos amplius prohibeat: denique ut his conditionibus *Lucius* pacatus amoveat satellitium, & securus administret rempublicam." Hæ tum fuere conditiones renovati fœderis opera ductorum exercitus: quarum duæ tantum postremæ ratæ fuerunt; & *Salvidienus* * Alpes superavit.

21. Quum vero reliqua non præstarentur, aut differrentur; *Lucius* *Præneste secessit*, dicens „se Cæsarem timere, pro magistratu munitum satellitibus, quum ipse nullis stipatus sit." Ad eumdemque se recepit *Fulvia* quoque; „liberis suis a *Lepido* jam se timere," dictitans: hunc enim, loco *Cæsaris*, nunc commemorare malebat. Ac de his rebus utrique literas scripserunt ad *Antonium*, easque perferendas ad eum dederunt amicis, qui certiorem erant facturi de

A. U. 713. οὐχ εὗρον, ἐρευνώμενος, ὅ τι σαφῶς ἀντεγράφετο αὐτοῖς. Οἱ δὲ τῶν στρατῶν ἡγεμόνες, συνομόσαντες κρίνειν τοῖς ἄρχουσιν αὖθις ὃ δοκοίη δίκαιον εἶναι, καὶ τοὺς ἀπειθοῦντας ἐς αὐτὸ συναναγκάσειν, ἐκάλουν ἐπὶ ταῦτα τοὺς περὶ Λεύκιον. οὐ δεξαμένων δ' ἐκείνων, ὁ Καῖσαρ ἐπιφθόνως αὐτοὺς ἔν τε τοῖς ἡγεμόσι τοῦ στρατοῦ, καὶ παρὰ τοῖς Ῥωμαίων ἀρίστοις, ἐμέμφετο. οἱ δὲ ἐξέθεον ἐς τὸν Λεύκιον, καὶ παρεκάλουν, οἰκτεῖραι μὲν ἐπὶ τοῖς ἐμφυλίοις τὴν πόλιν καὶ τὴν Ἰταλίαν, δέξασθαι δὲ κοινωνὸν, ὧ τὴν κρίσιν ἢ ἐπὶ σφῶν ἢ ἐπὶ τῶν ἡγεμόνων γενέσθαι.

XXII. Αἰδουμένου δὲ τοῦ Λευκίου τά τε λεγόμενα καὶ τοὺς λέγοντας, ὁ Μάνιος μάλα θρασέως ἔφη· Τὸν μὲν Ἀντώνιον οὐδὲν ἀλλ' ἢ χρήματα μόνα ἀγείρειν ἐν ξένοις ἀνδράσι, τὸν δὲ Καίσαρα καὶ τὴν στρατιὰν καὶ τὰ ἐπίκαιρα τῆς Ἰταλίας ταῖς θεραπείαις προκαταλαμβάνειν· τήν τε γὰρ Κελτικὴν Ἀντωνίῳ πρότερον δεδομένην ἐλευθεροῦν μετ' ἐξαπάτης Ἀντωνίου, καὶ τὴν Ἰταλίαν

Lin. 53. κρίνειν Edd. Prætuli Aug. L. 58. ἐπεμέμφετο Edd. Rectius Aug. L. 60 sq. An κοινὴν οἷ τὴν κρίσιν? Mendosam ibi esse orationem, Musgravius etiam adnotavit.

ſingulis: quarum quidem literarum exemplaria, ſedulo quæſita, invenire non potui. Tum utriuſque exercitus proceres conjurarunt, ſe rurſus ex æquo diremturos hanc litem imperatorum, & coacturos parere eum qui noluiſſet: ad eamque rem conficiendam *Lucium* cum ſuis invitarunt. Qui poſtquam venire renuerunt, *Cæſar* invidioſe eos cum apud primores exercitus, tum apud urbanos optimates incuſabat. Moxque concurſus optimatium ex Urbe ad *Lucium* factus eſt, deprecantium „ut miſereretur Italiæ, adflictæ bellis Civilibus; permitteretque, ut in commune lis iſta, arbitrio vel ad ſe vel ad militum præfectos delato, diſceptaretur."

22. Quumque *Lucius* tum ipſos loquentes revereretur, tum ea quæ ab his dicebantur; *Manius* præfracte admodum reſpondit: „ *Antonium* pecunias tantum colligere ab exteris; *Cæſarem* vero & exercitus favorem, & opportuna loca Italiæ, conciliatis ſibi hominum ſtudiis, præoccupare: nam & Galliam, quæ prius obvenerat Antonio, nunc in fraudem illius liberari; & Italiam propemodum univer-

σχεδὸν ἅπασαν ἀντὶ μόνων ὀκτωκαίδεκα πόλεων τοῖς ἐστρατευμένοις καταγράφειν· τέσσαρσί τε καὶ τριάκοντα τέλεσιν ἀντὶ ὀκτὼ καὶ εἴκοσι τῶν συμμαχησάντων ἐπινέμειν οὐ γῆν μόνην, ἀλλὰ καὶ τὰ ἐκ τῶν ἱερῶν χρήματα, συλλέγοντα μὲν ὡς ἐπὶ Πομπήϊον, ἐφ᾽ ὃν οὐδέ πω παρατάττεται, λιμωττούσης ὧδε τῆς πόλεως· διαιροῦντα δὲ τοῖς στρατοῖς ἐς θεραπείαν κατὰ Ἀντωνίου, καὶ τὰ δεδημευμένα οὐ πιπράσκοντα μᾶλλον ἢ δωρούμενον αὐτοῖς. χρῆναι δὲ, εἰ τῷ ὄντι εἰρηνεύειν ἐθέλοι, τῶν μὲν ἤδη διωκημένων ὑποσχεῖν λόγον· ἐς δὲ τὸ μέλλον, ἃ ἂν κοινῇ βουλευομένοις δοκῇ, μόνα πράσσειν. Οὕτω μὲν θρασέως ὁ Μάνιος ἠξίου, μήτε τὸν Καίσαρά τινος εἶναι κύριον ἔργου, μήτε τὴν Ἀντωνίου συνθήκην βέβαιον· ὡρισμένον, τῶν ἐγκεχειρισμένων ἑκάτερον αὐτοκράτορα εἶναι, καὶ τὸ πρασσόμενον ὑπὸ ἀλλήλων εἶναι κύριον. Πανταχόθεν οὖν ὁ Καῖσαρ ἑώρα πολεμησείοντας αὐτούς· καὶ παρεσκευάζοντο αὐτῶν ἑκάτεροι.

A. U. 713.

Lin. 77. ἐθέλει *Edd. Prætuli Aug.* *L.* 81. ἀρισμένου *Edd. Prætuli Aug.*

„ſam, pro octodecim civitatibus, adtribui veteranis; præterea, pro Legionibus XXVIII, quæ pugnæ interfuiſſent, XXXIV legionibus non ſolum agros dividi, verum etiam pecuniam diſtribui e fanis deſumtam: eam pecuniam prætextu quidem Pompejani belli colligi a Cæſare; quod tamen bellum, in tanta licet Urbis famê, nondum ne inſtruatur quidem; ſed revera *Cæſarem* pecuniis illis uti ad parandum largitionibus favorem militum adverſus Antonium; atque bona etiam proſcriptorum non tam vendere, quam donare militibus. Quod ſi pacem quærat ſerio, debere eum prius actorum rationem reddere, & in poſterum nihil agere, niſi de communi ſententia." Hæc fuit *arrogans Manii poſtulatio*, ut neque *Cæſar* quidquam poſſet arbitratu ſuo facere, neque rata manerent ea de quibus cum *Antonio* fuerat conventum: quandoquidem inter illos diſerte convenerat „ut abſolutum imperium uterque haberet in commiſſis ſibi rebus atque provinciis, utque alter alterius acta rata haberet." Tum vero *Cæſar*, videns eos bellum omnino cupere, ſe quoque pariter atque illi parabat.

A. U. 713.

XXIII. Δύο δὲ στρατοῦ τέλη τὰ ἐς Ἀγκῶνα πόλιν ᾠκισμένα, Καίσαρί τε ὄντα πατρῷα, καὶ ἐστρατευμένα Ἀντωνίῳ, τῆς τε ἰδίας παρασκευῆς αὐτῶν πυθόμενοι, καὶ τὴν εἰς ἑκάτερον σφῶν οἰκειότητα αἰδούμενοι, πρέσβεις ἔπεμψαν ἐς Ῥώμην, οἳ ἔμελλον ἑκατέρων ἐς διαλύσεις δεήσεσθαι. Καίσαρος δ᾽ αὐτοῖς εἰπόντος, οὐκ Ἀντωνίῳ πολεμεῖν, ἀλλ᾽ ὑπὸ Λευκίου πολεμεῖσθαι, συμβαλόντες οἱ πρέσβεις τοῖς ἡγεμόσι τοῦδε τοῦ στρατοῦ, κοινῇ πάντες ἐς Λεύκιον ἐπρέσβευον, ἀξιοῦντες αὐτὸν ἐς δίκην Καίσαρι συνεισελθεῖν· δῆλοί τε ἦσαν ὃ πράξειν ἔμελλον, εἰ μὴ τὴν κρίσιν ὑποδέχοιτο. Δεξαμένων δὲ τῶν ἀμφὶ τὸν Λεύκιον, χωρίον τε ὥριστο τῇ δίκῃ Γάβιοι πόλις ἐν μέσῳ Ῥώμης τε καὶ Πραινεστοῦ, καὶ συνέδριον τοῖς κρίνουσιν ἐγίγνετο, καὶ βήματα ἐν μέσῳ δύο τοῖς ἐροῦσιν, ὡς ἐν δίκῃ. Πρότερος δ᾽ ὁ Καῖσαρ ἐλθὼν, ἱππέας ἔπεμψεν ἐς τὴν

Lin. 86. τοῦ στρατοῦ *Edd. Delevi artic. cum Aug.* *L.* 88. αὐτῶν παρασκευῆς *Edd. ex Reg. A. Secus Aug. Reg. B.* *L.* 91. δεήσασθαι *edit.* 2. 3. *minus bene & invit. MSS.* *L.* 92. συμβαλλόντες (*sic*) *Aug.* συμβάλλοντες *Reg. B.* *L.* 93. *Verba* τοῖς ἡγεμόσι *usque* ἐπρέσβευον *absunt a Reg. A.* *L.* 94. *Pro* ἐπρέσβευον *dant* ἔπεμπον *Edd. quod a secunda manu adjectum est in Reg. B. cum in eodem a prima manu post verba* ἐς Λεύκιον *omissæ fuissent quatuor lineæ, usque* ἀμφὶ τὸν Λεύκιον. *Prætuli Aug.* *L.* 95. συνελθεῖν *Edd. Prætuli Aug.*

23. Ceterum duæ legiones *Anconam* in coloniam deductæ, quæ & patri Cæsaris & post Antonio militaverant, postquam bellum ab his privatim parari audiverunt, pro adfectu quo utrumque imperatorem prosequebantur, legatos miserunt Romam, qui utrosque precarentur, ut pacem mallent. Quibus quum *Cæsar* respondisset, *se non Antonium impugnare, sed impugnari a Lucio*; legati cum præfectis earumdem legionum congressi sunt, & communem omnes legationem miserunt ad *Lucium*, postulantes ab eo „ut controversiam quam habebat cum Cæsare, sineret decerni judicio;" nec occultabant, quid facturi essent, si admittere nollet judicium. Conditionem autem postquam accepit Lucius, *locus judicio definitus* est *Gabii*, urbs Romam inter & Præneste media. Ibi paratum arbitris consistorium, & in medio suggesta duo posita sunt verba facturis, velut in justo judicio. *Cæsar*, qui prior adve-

πάροδον τοῦ Λευκίου, ἐρευνησομένους ἄρα, μή τις ποθὲν ὁρῷτο ἐνέδρα. καὶ οἱ ἱππεῖς οἵδε ἑτέροις ἱππεῦσι τοῦ Λευκίου, προδρόμοις ἄρα, ἢ καὶ τοῖσδε κατασκόποις, συμβαλόντες, ἔκτειναν τινας αὐτῶν. καὶ ἀνεχώρησε δείσας ὁ Λεύκιος, ὡς ἔλεγεν, ἐπιβουλήν· καλούμενός τε ὑπὸ τῶν ἡγεμόνων τοῦ στρατοῦ, παραπέμψειν αὐτὸν ὑπισχνουμένων, οὐκ ἔτι ἐπείθετο. A. U. 713.

XXIV. Οὕτω μὲν ἦσαν αἱ διαλύσεις ἄπρακτοι, καὶ πολεμεῖν ἐγνώκεσαν, καὶ διαγράμμασιν ἤδη πικροῖς κατ' ἀλλήλων ἐχρῶντο. Στρατὸς δὲ ἦν, Λευκίῳ μὲν, ὁπλιτῶν ἓξ τέλη, ὅσα αὐτὸς ἐς τὴν ὑπατείαν ἐλθὼν ἐστράτευσε, καὶ τὰ Ἀντωνίου ἕνδεκα ἕτερα, ὧν ἐστρατήγει Καληνὸς, σύμπαντα ταῦτα ἀνὰ τὴν Ἰταλίαν· Καίσαρι δὲ ἐν μὲν Καπύῃ τέσσαρα ἦν τέλη, καὶ περὶ αὐτὸν αἱ στρατηγίδες, ἓξ δὲ ἕτερα Σαλβιδιηνὸς ἦγεν ἐξ Ἰβηρίας. Καὶ χρήματα ἦν Λευκίῳ μὲν ἐξ ἐθνῶν τῶν ὑπὸ τὸν Ἀντώνιον οὐ πολεμουμένων. Καίσαρι δὲ, ἃ εἰλήχει πάντα,

Lin. 7. παραπέμπειν *Reg. B. a prim. manu.* *L.* 15. Καπύῃ *Aug. ut sæpius alibi, non male.* *L.* 16. Σαλβιδιηνὸς *Edd. invit. Aug. Reg B. & sic deinceps constanter.*

nerat, equites misit qua transiturus erat *Lucius*, dispecturos num quæ struantur insidiæ: hi in Antonianos inciderunt equites, sive præcursores Lucii, sive speculatores pariter; consertisque manibus, occiderunt ex illis aliquot. Tum *Lucius* retrocessit, metu insidiarum, ut dicebat: revocatusque a præfectis exercitus, deducturos se eum pollicentibus, persuaderi amplius non potuit.

24. Itaque frustrato pacificatorum consilio, *bello et armis rem decernere* CÆSAR LUCIUSQUE *statuerunt*; statimque amarulenta Edicta alter contra alterum edere cœpit. Erant autem *Lucio* sex legiones, ex delectu quem Consul creatus habuerat, præter easque Antonianæ XI sub *Caleno* duce, omnes hæ in Italia. *Cæsar* Capuæ quatuor legiones habebat, & circa se cohortes prætorias. Sex alias legiones Salvidienus adducebat ex Hispania. Pecuniæ *Lucio* suppetebant e provinciis pacatis Antonii. Sed *Cæsar*, quoniam provinciæ omnes, quas sortitus fuerat,

A. U. 713.

χωρὶς Σαρδοῦς, ἐπολεμεῖτο· ὅθεν ἐκ τῶν ἱερῶν ἐδανείζε-
το, σὺν χάριτι ἀποδώσειν ὑπισχνούμενος, ἀπό τε Ῥώ- 2
μης ἐκ τοῦ Καπιτωλίου, καὶ ἀπὸ Ἀντίου καὶ Λανουβίου
καὶ Νεμοῦς καὶ Τίβυρος, ἐν αἷς μάλιστα πόλεσι καὶ νῦν
εἰσι θησαυροὶ χρημάτων ἱερῶν δαψιλεῖς.

XXV. Τετάρακτο δὲ αὐτῷ καὶ τὰ τῆς Ἰταλίας ἔξω.
Πομπήϊος γὰρ, ἐκ τῶν προγραφῶν, καὶ κατοικίσεων 2
τοῦ στρατοῦ, καὶ τῆσδε τῆς Λευκίου διαφορᾶς, ἐπὶ μέ-
γα δόξης καὶ δυνάμεως ἦρτο. οἱ γὰρ περὶ σφῶν δεδιότες,
ἢ τὰ ὄντα ἀφαιρούμενοι, ἢ τὴν πολιτείαν ὅλως ἀποστρε-
φόμενοι, ἐς αὐτὸν ἐχώρουν μάλιστα· καὶ ἡ ἄλλη νεότης
ὡρμημένη στρατεύεσθαι διὰ τὰ κέρδη, καὶ οὐδὲν ἡγούμενοι 3
διαφέρειν ὑφ᾽ ὅτῳ στρατεύσονται, Ῥωμαίοις πανταχοῦ
συστρατευόμενοι, μᾶλλον ἐς τὸν Πομπήϊον ἐχώρουν, ὡς
δικαιότερα αἱρούμενον. γεγένητό τε πλούσιος ἐκ τῆς θα-

Lin. 19. ἢ ἐπολεμεῖτο *Edd. ex Reg. B. mend.* ἢ *pro* ἢ *dant Aug. Reg. A. Cand. quæ particula locum tueri non poteſt, NI ante eam ALIUD VERBUM EXCIDERIT. L.* 21. *Pro* Ἀντίου *dant* Ἀντανίου *quatuor noſtri MSSti & Cand. quod correxit C. Steph. Ib.* καὶ Λιβανούβιος *dant iidem omnes.* Λανουϊνίου *conjecerat C. Steph.* Λανουβίου *poſui cum Gelen. & Cluvero. L.* 22. Τίβυρις *Aug. Ven. L.* 25. κατοικήσεων *Edd. cum Reg. B. Aug. Recte Reg. A. L.* 33. γεγένητό ποτε *edit.* 1. *cum Regiis.* γεγένη τῶν τε (*ſic*) *Aug. Correxit H. Stephanus.*

excepta Sardinia, bello tunc erant infeſtatæ, e fanis accipiebat mutuo, promittens, cum gratia ſe redditurum; videlicet e Romano Capitolio, ex Antio, Lanuvio, Nemore, Tibure; quibus maxime locis hodieque ſunt copioſi *ſacrarum pecuniarum theſauri.*

25. Interea *Cæſari* extra Italiam quoque tumultibus commota erant omnia. Namque *Pompejus* cum ex proſcriptionibus Triumvirorum, tum ex exercituum in colonias deductionibus, & ex hac ipſa *Lucii contentione* multum & exiſtimatione & viribus creverat. Qui enim ſaluti ſuæ metuebant, aut bonis fuerant ſpoliati, aut præſentem rerum ſtatum omnino non probabant, ad ipſum accedebant maxime: ſimulque alia manus juvenum, militiæ lucrique cupida, nihil referre putans cujus ductu ſtipendia faciat, quoniam ab utraque parte Romani & duces & exercitus eſſent, *Pompejum* ſequi malebant, cujus cauſa videbatur juſtior. Quin & ex maritimis

λασσίου λείας, καὶ ναῦς εἶχε πολλὰς, καὶ πληρώματα ἐντελῆ. Μοῦρκός τε ἀφῖκτο αὐτῷ, δύο ἄγων στρατοῦ τέλη, καὶ τοξότας πεντακοσίους, καὶ χρήματα πολλὰ, καὶ ναῦς ὀγδοήκοντα· καὶ τὸν ἄλλον στρατὸν ἐκ Κεφαλληνίας μετεπέμπετο. Ὅθεν τισὶ δοκεῖ, τότε ὁ Πομπήϊος ἐπελθὼν, εὐμαρῶς ἂν τῆς Ἰταλίας κρατῆσαι, ὑπό τε λιμοῦ καὶ στάσεως διεφθαρμένης, καὶ ἐς αὐτὸν ἀφορώσης. ἀλλὰ Πομπηΐῳ μὲν, ὑπὸ ἀφροσύνης, οὐκ ἐπιχειρεῖν, ἀλλὰ ἀμύνεσθαι μόνον, ἐδόκει· μέχρι καὶ τοῦδε ἥσσων ἐγένετο. A. U. 713.

XXVI. Ἐν δὲ Λιβύῃ Σέξτιος, ὕπαρχος Ἀντωνίου, παραδεδώκει μὲν ἄρτι τὸν στρατὸν, ὑπὸ Λευκίου κεκελευσμένος, Φάγγωνι τῷ Καίσαρος· ἐπισταλεὶς δὲ αὖθις ἀναλαμβάνειν αὐτὸν, οὐκ ἀποδιδόντι τῷ Φάγγωνι ἐπολέμει, συναγαγών τινας τῶν ἀπεστρατευμένων, καὶ Λιβύων πλῆθος ἄλλο, καὶ ἑτέρους παρὰ τῶν βασιλέων. ἡττηθέντων δὲ τῶν κεράτων ἑκατέρων, καὶ ληφθέντων τῶν στρατοπέδων, ὁ Φάγγων ἡγούμενος ἐκ προδοσίας τάδε πα-

Lin. 46. ἐπισταμὲν δὲ *Aug.* ἐπισταλῆ *Reg. B.* ἐπισταλὲν *Reg. A. Correxit C. Steph. Quamquam teneri fortasse* ἘΠΙΣΤΑΛΕΝ *debuerat,*
L. 50. τῶν *post.* ληφθέντων *inserui ex Aug.*

prædis ditatus fuerat, navesque habebat cum supplemento permultas. Tum *Murcus* quoque duas ei legiones adduxerat, & quingentos sagittarios, & pecunias multas, navesque octoginta: & reliquum exercitum acciebat e Cephalenia. Quapropter sunt qui putent, si tum *Pompejus* invasisset Italiam, facile potiturum ea fuisse; quæ, fame simul & intestinis dissensionibus adflicta, illum respiciebat. Sed is, per imprudentiam, sua solum defendere maluit, quam aliena invadere; donec tandem hac quoque facultate excidit.

26. *In Africa Sextius*, *legatus Antonii*, nuper exercitum, ex Lucii mandato, *Fangoni Cæsaris legato* tradiderat; mox vero rursus eumdem exercitum recipere jussus, cum *Fangone* reddere nolente bellum gerebat, collecta emeritorum manu & Afrorum multitudine, regulorumque auxiliis. Et quum in utroque cornu profligatus castra quoque amisisset *Fango*, ratus id proditione sibi accidisse, se-

A. U. 713. θεῖν, αὐτὸν διεχρήσατο· καὶ Λιβύης μὲν αὖθις ὁ Σέξτιος ἑκατέρας ἐκράτει. Βόκχον δὲ, τὸν Μαυρουσίων βασιλέα, Λεύκιος ἔπεισε πολεμεῖν Καῤῥίνᾳ τῷ τὴν Ἰβηρίαν ἐπιτροπεύοντι τῷ Καίσαρι. Αηνόβαρβός τε, ἑβδομήκοντα ναυσὶ καὶ στρατοῦ δύο τέλεσι καὶ τοξόταις καὶ σφενδονήταις τισὶ καὶ ψιλοῖς καὶ μονομάχοις περιπλέων τὸν Ἰόνιον, ἐπόρθει τὰ τοῖς τρισὶν ἀνδράσιν ὑπήκοα· ἔς τε τὸ Βρεντέσιον ἐπιπλεύσας, τῶν Καίσαρος τριηρῶν τὰς μὲν εἷλε, τὰς δὲ ἐνέπρησε, καὶ τοὺς Βρεντεσίους ἐς τὰ τείχη κατέκλεισε, καὶ τὴν χώραν προυνόμευεν.

XXVII. Ὁ δὲ Καῖσαρ ἐς τὸ Βρεντέσιον στρατιωτῶν τέλος ἔπεμπε, καὶ Σαλβιδιηνὸν κατὰ σπουδὴν ἐκ τῆς ἐς Ἰβηρίαν ὁδοῦ μετεκάλει. τούς τε στρατολογήσοντας σφίσιν ἀνὰ τὴν Ἰταλίαν ὁ Καῖσαρ καὶ ὁ Λεύκιος περιέπεμπον· πεῖραί τε τούτων τῶν ξεναγῶν ἦσαν ἐς ἀλλήλους, βραχύτεραι καὶ μείζους, καὶ ἐνέδραι πολλάκις. Ἡ δὲ εὔνοια τῶν Ἰταλῶν ἐς τὸν Λεύκιον παρὰ πολὺ ἐποίει, ὡς

Lin. 52. αὐτὸν *Edd. invit. Aug. Reg. B.* *L.* 53. *Malim* Βόγον, *monente Fabricio ad Dionem.*

ipſum interemit. Ita *Sextius* iterum utraque Africæ provincia potitus eſt. *Bocchus* item, rex Maurorum, a Lucio perſuaſus, *Carinati*, Hiſpaniam pro Cæſare curanti, bellum intulit. *Ahenobarbus* vero, cum ſeptuaginta navibus & duabus legionibus, adjuncta etiam ſagittariorum funditorumque manu, & nonnullis velitibus ac gladiatoribus, vagando per mare Ionium, vaſtabat regiones agnoſcentes *Triumvirorum* imperium: &, quum adpuliſſet Brunduſium, triremes Cæſarianas partim cepit, partim cremavit, & Brunduſinorum intra mœnia compulſorum agros deprædatus eſt.

27. Itaque Brunduſium Cæſar unam legionem miſit; & *Salvidienum* ex itinere in Hiſpaniam propere revocavit. Certatim vero & *Cæſar et Lucius* per totam Italiam, qui delectus militum haberent, circummiſerunt: inter quos ipſos ſubinde minoribus quibuſdam præliis, atque etiam majoribus, cum aperto Marte, tum ſæpius ex inſidiis, pugnatum eſt. *Italorum* vero *favor erga Lucium* erat multo propenſior; quod hic pro ipſis,

ὑπὲρ σφῶν τοῖς κληρουχουμένοις πολεμοῦντα. καὶ οὐχ αἱ καταγραφόμεναι τῷ στρατῷ πόλεις ἔτι μόναι, ἀλλ' ἡ Ἰταλία σχεδὸν ἅπασα ἀνίστατο, δεδιυῖα τὰ ὅμοια· τούς τε τῷ Καίσαρι χρωμένους ἐκ τῶν ἱερῶν χρημάτων ἐκβάλλοντες ἐκ τῶν πόλεων ἢ ἀναιροῦντες, τὰ τείχη σφῶν διὰ χειρὸς εἶχον, καὶ πρὸς τὸν Λεύκιον ἐχώρουν. ἐχώρουν δὲ καὶ οἱ κατοικιζόμενοι τῶν στρατιωτῶν ἐς τὸν Καίσαρα· ὡς ἐς οἰκεῖον ἤδη πόλεμον ὑπὲρ σφῶν, ἑκάτεροι διαιρούμενοι.

A. U. 713.

XXVIII. Καὶ τῶνδε γιγνομένων, ὁ Καῖσαρ ὅμως ἔτι τήν τε βουλὴν καὶ τοὺς καλουμένους ἱππέας συναγαγὼν, ἔλεγεν ὧδε· Καταγιγνώσκομαι μὲν, εὖ οἶδα, ὑπὸ τῶν περὶ Λεύκιον, οὐκ ἀμυνόμενος αὐτοὺς, εἰς ἀσθένειαν ἢ ἀτολμίαν, ἃ καὶ νῦν μου καταγνώσονται διὰ τήνδε τὴν σύνοδον ὑμῶν. ἐμοὶ δὲ ἔρρωται μὲν ὁ στρατὸς, ὅσος τέ μοι συναδικεῖται, τὴν κληρουχίαν ἀφαιρούμενος ὑπὸ Λευκίου, καὶ ὁ ἄλλος ὃν ἔχω. ἔρρωται δὲ καὶ τὰ λοιπὰ,

Lin. 72. κεχρημένους (*f.* κιχρωμένους) *Ven.* *L.* 82. καταγινώσκονται *Edd. ex Reg. A. Rectius Reg. B. Aug. Ven.*

contra novos colonos, bellum gerere videretur. Nec solum civitates, quarum agri militibus divisi fuerant, sed *Italia ferme universa commota* erat, dum quisque sibi similem calamitatem timebat: ejectisque aut occisis qui pro *Cæsare* sacram ex templis pecuniam mutuabantur, servabant sua mœnia, & ad *Lucium* accedebant. E diverso novi coloni adjungebant se *Cæsari*. Adeo utrique in diversas partes, velut ad bellum quisque pro sua re susceptum, discindebantur.

28. Quæ dum fiunt, interim tamen etiam tum CÆSAR, *convocato senatu et equestri ordine*, hujusmodi ad eos verba fecit: „Scio, me a *Lucii* factione, eo quod vim eorum non repello, contemni, ut parum fortem aut viribus meis parum confidentem, & eum contemtum auctum nunc iri propter hunc ipsum vestrum conventum. Ego vero exercitum validum habeo, tum eum qui una mecum injuste læditur, cui debita victoriæ præmia a *Lucio* eripiuntur, tum eum qui aliâs meis auspiciis militat: nec minus valida sunt cetera, nisi quod

A. U. 713.

πλὴν τῆς γνώμης μόνης. οὐ γάρ ἡδύ μοι πολεμεῖν ἐμφυλίους πολέμους χωρὶς ἀνάγκης βαρείας, οὐδὲ καταχρῆσθαι τῶν πολιτῶν τοῖς ἔτι λοιποῖς κατ᾽ ἀλλήλων· καὶ μάλιστα, τοῦδε τοῦ ἐμφυλίου οὐκ ἐκ Μακεδονίας ὑμῖν ἢ Θρᾴκης ἀκουσθησομένου, ἀλλ᾽ ἐν αὐτῇ τῇ Ἰταλίᾳ γενησομένου· ἣν πόσα χρὴ, χωρὶς τῶν ἀπολλυμένων ἀνδρῶν, κακοπαθῆσαι, γιγνομένην στάδιον ἡμῖν; Ἐγὼ μὲν δὴ διὰ τάδε ὀκνῶ. καὶ νῦν ἔτι μαρτύρομαι, μηδὲν ἀδικεῖν Ἀντώνιον, μηδὲ ἀδικεῖσθαι πρὸς Ἀντωνίου. Ὑμᾶς δὲ, ἐλέγξαι τοὺς ἀμφὶ τὸν Λεύκιον τάδε δι᾽ ὑμᾶς αὐτοὺς, καὶ συναλλάξαι μοι, παρακαλῶ. Καὶ εἰ μὴ πείθοιντο μηδὲ νῦν, ἐκείνοις μὲν αὐτίκα δείξω τὰ μέχρι νῦν εὐβουλίαν, οὐ δειλίαν, οὖσαν. Ὑμᾶς δὲ, καὶ παρ᾽ ὑμῖν αὐτοῖς καὶ πρὸς Ἀντώνιον, ἀξιῶ, μάρτυρας εἶναί μοι, καὶ συνίστασθαι διὰ τὴν ὑπεροψίαν Λευκίου.

XXIX. Ταῦτ᾽ εἶπεν ὁ Καῖσαρ. Καὶ τούτων οἱ μὲν δὴ πάλιν εἰς τὸ Πραινεστὸν ἐξέτρεχον· καὶ ὁ Λεύκιος τοσόνδε

„ipſum bellandi conſilium nondum ſatis mihi firmum ſit. Non enim delector bellis civilibus, præter urgentem neceſſitatem ſuſceptis: nec abutendum cenſeo his qui ſuperſunt civibus in mutuam perniciem; præſertim quum hujus civilis belli facinora non e Macedonia nobis aut e Thracia nuncianda, ſed in ipſa Italia ſpectanda forent; quæ ſi hujus belli campus fuerit, quantas calamitates, præter hominum etiam jacturam quos ferrum abſumet, patiatur neceſſe eſt? Hoc eſt, cur me priorem incipere pigeat. Et nunc quoque *proteſtor, me nec de Antonio queri, nec facere quidquam cur ille de me queri debeat.* Sed vos hortor, ut veſtra etiam cauſa coarguatis *Lucium* cum ſuis inſtigatoribus, eoſque mecum in gratiam reducatis. Qui ſi nunc quoque perſtabunt in ſua pervicacia, protinus illis oſtendam, me hactenus non timore cunctatum eſſe, ſed conſilio. A vobis autem poſtulo, ut non ſolum apud voſmet ipſos, ſed etiam apud Antonium, teſtes mihi ſitis, & meæ cauſæ faveatis, propter inſolentiam *Lucii.*"

29. Hæc CÆSAR. Illi rurſus propere legatos *Præneſte* mittunt: quibus *Lucius* hoc tantum reſpondit: „ſero nunc

εἶπεν, ὅτι καὶ τῶν ἔργων ἤδη προειλήφασιν ἀμφότεροι, καὶ ὁ Καῖσαρ ὑποκρίνεται, τέλος ἄρτι πέμψας ἐς τὸ Βρεντέσιον, κωλύειν Ἀντώνιον ἐπανιόντα. Ὁ δὲ Μάνιος καὶ ἐπιστολὴν ἐδείκνυε τοῦ Ἀντωνίου, εἴτε πλασάμενος, εἴτε ἀληθῆ, πολεμεῖν, ἐάν τις αὐτοῦ τὴν ἀξίωσιν καθαιρῇ. Ἐρομένων δὲ τῶν ἀπὸ τῆς βουλῆς, εἰ καθαιροῖτό τι τῆς ἀξιώσεως Ἀντωνίου, καὶ προκαλουμένων ἐς δίκην περὶ τοῦδε, ἕτερα αὖ πολλὰ ἐσοφίζετο ὁ Μάνιος· ἕως οἱ μὲν ἀπῆλθον ἄπρακτοι. καὶ οὐ συνῆλθον ἐς τὴν ἀπόκρισιν τῷ Καίσαρι, εἴτε καθ' ἑαυτὸν ἀπαγγείλας ἕκαστος, εἴτε δι' ἑτέραν γνώμην, εἴτε ὑπὸ αἰδοῦς. Ὁ δὲ πόλεμος ἀνέῳκτο, καὶ ὁ Καῖσαρ ἐπ' αὐτὸν ἐξῄει, φύλακα τῆς Ῥώμης Λέπιδον σὺν δύο τέλεσι καταλιπών. οἱ δὲ πολλοὶ τῶν ἐπιφανῶν τότε μάλιστα ἐπεδείκνυον, οὐκ ἀρέσκεσθαι τῇ τῶν τριῶν ἀρχῇ· ἐς γὰρ τὸν Λεύκιον ἐχώρουν. A. U. 713.

XXX. Καὶ ἦν τὰ κεφάλαια τοῦ πολέμου τοιάδε. Λευκίου μὲν δὴ δύο τέλη περὶ Ἄλβην ἐστασίασε, καὶ τοὺς

Lin. 6. Μάνιος *h. l. & mox iterum Aug.* *L. 9.* εἰ καθαιρεῖτο *Edd. Prætuli Aug.*

hæc jactari; utrimque rem ad manus jam venisse: *Cæsarem* vero ficte agere omnia, qui nuperrime Brundusium legionem miserit, quæ Antonium prohibeat reditu in Italiam." *Manius* vero etiam epistolam ostendebat Antonii, (veram, an fictam, incertum;) quæ jubebat vel armis tueri dignitatem ipsius, si quis eam convelleret. *Legatis* autem *senatus* porro quærentibus, ecquis dignitatem Antonii convelleret? & ad judices ea de re provocantibus; *Manius* rursus multa comminiscebatur, donec abierunt rebus infectis. Neque vero dein ad Cæsarem se contulerunt legati, ut responsum ad eum perferrent: sive quod privatim singuli rem ei renunciarent, sive ob pudorem, sive aliam ob causam. Jamque *manifestum bellum* erat: & *Cæsar* in expeditionem profectus est, *præside Romæ Lepido* cum duabus legionibus relicto. Quo tempore præsertim magnus nobilium numerus, ad *Lucium* se conferentes, declaraverunt, sibi non placere Triumvirorum potestatem.

30. Id bellum, ut summa rerum momenta exponam, sic gestum est. Duæ *Lucii* legiones, apud Albam exorta

A. U. 713. ἄρχοντας ἐκβαλόντα, ἐς ἀπόστασιν ἐχώρει. ἐπειγομένων δὲ ἐς αὐτὰ Καίσαρός τε καὶ Λευκίου, φθάσας τὸν Καίσαρα ὁ Λεύκιος, ἀνεσώσατο αὐτὰ χρήμασί τε πολλοῖς καὶ ὑποσχέσεσι μεγάλαις. Φουρνίου δ' ἄλλον στρατὸν ἄγοντος τῷ Λευκίῳ, ὁ Καῖσαρ ἐξήπτετο τῆς οὐραγίας· ἐς δὲ λόφον ἀναδραμόντι τῷ Φουρνίῳ, καὶ νυκτὸς ἐς ὁμογνώμονα πόλιν ἐπειγομένῳ Σεντίαν, νυκτὸς μὲν οὐχ ἕσπετο ὁ Καῖσαρ, ἐνέδρας ὑποπτεύων· ἡμέρας δὲ, τήν τε Σεντίαν ὁμοῦ καὶ τὸ τοῦ Φουρνίου στρατόπεδον ἐπολιόρκει. Λεύκιος δὲ, ἐς Ῥώμην ἐπειγόμενος, τρεῖς μὲν τάξεις προὔπεμψεν, αἳ νυκτὸς ἔλαθον ἐς τὴν πόλιν ἐσδραμοῦσαι· αὐτὸς δὲ σὺν πολλῷ στρατῷ καὶ ἱππεῦσι καὶ μονομάχοις εἵπετο. καὶ αὐτὸν Νωνίου τοῦ φύλακος τῶν πυλῶν δεξαμένου τε, καὶ τὸν ὑφ' αὐτῷ στρατὸν ἐγχειρίσαντος, ὁ μὲν Λέπιδος ἐς Καίσαρα ἔφευγεν, ὁ δὲ Λεύκιος Ῥωμαίοις ἐδημηγόρει· Καίσαρα μὲν καὶ Λέπιδον αὐτίκα δώσειν

Lin. 24. 26. 29. Φιρμίου *&* Φιρμίῳ *h. l. Edd. & MSSti, niſi quod l.* 26. Φερμίῳ *dat Reg. B. & l.* 29. Φερμίου *Aug.* *L.* 28. ἐνέδραι *Edd. Prætuli Aug.* *L.* 33. Ναvίου τε φύλακος *mend. Edd. ex Reg. B. Recte Aug. Ven.* Ναvίου τε τοῦ φύλακος *Reg. A. & omiſit* τε *poſt* δεξαμένου. *L.* 34. ἐγχειρήσαντος *Edd. Rectius Aug.* *L.* 35. ἔφυγεν *Edd. ex Reg. A. Prætuli Aug. Ven. Reg. B.*

ſeditione, tribunis expulſis, ad defectionem ſpectabant: ad quas quum & *Cæſar* properaret & *Lucius*, prior hic eo pervenit, & multis largitionibus pollicitationibuſque retinuit eas in officio. *Furnio* deinde adducente illi alium exercitum, *Cæſar* poſtremum agmen invaſit, & *Furnium* in tumulum quemdam compulit. Proxima nocte abeuntem in oppidum ſuæ factionis *Sentiam*, perſequi noluit, metuens inſidias; ſed poſtero die oppidum obſedit & exercitum. At *Lucius*, *Romam* properans, tribus præmiſſis cohortibus, quæ clam noctu Urbem ſunt ingreſſæ, ipſe cum numeroſo exercitu & equitatu gladiatoribuſque ſubſecutus eſt: exceptuſque a *Nonio* portæ cuſtode, milites ejuſdem in fidem recepit. *Lepidus* evaſit ad Cæſarem. *Lucius*, advocato in concionem populo, ſpem fecit „fore, ut mox Cæſar & Lepidus pœnas dent eorum quæ in magiſtratu violenter egiſ-

δίκην ἀρχῆς βιαίου, τὸν δὲ ἀδελφὸν αὐτὴν ἑκόντα ἀποθήσεσθαι, καὶ ὑπατείαν ἀλλάξεσθαι, νομιμωτέραν ἀρχὴν, παρανόμου, καὶ πάτριον, ἀντὶ τῆς τυραννικῆς. *A. U.* 713.

XXXI. Καὶ ὁ μὲν τάδε εἰπὼν, ἡδομένων ἁπάντων, καὶ ἡγουμένων ἤδη λελύσθαι τὴν τῶν τριῶν ἀρχὴν, αὐτοκράτωρ ὑπὸ τοῦ δήμου προσαγορευθεὶς, ἐπὶ τὸν Καίσαρα ἐχώρει, καὶ στρατὸν ἤθροιζεν ἄλλον ἐκ τῶν ἀποικίδων Αντωνίου πόλεων, καὶ αὐτὰς ἐκρατύνατο. Αἱ δὲ δι' εὐνοίας μὲν ἦσαν Αντωνίῳ· Βαρβάτιος δὲ, ὁ Αντωνίου ταμίας, Αντωνίῳ τι προσκρούσας, καὶ διὰ ταῦτ' ἐπανιὼν, ἔλεγε πυνθανομένοις, τὸν Αντώνιον χαλεπαίνειν τοῖς πολεμοῦσι τῷ Καίσαρι κατὰ τῆς κοινῆς σφῶν δυναστείας. καὶ οἱ μὲν, ὅσοι μὴ τῆς ἐξαπάτης ᾔσθοντο τῆς Βαρβατίου, ἐς τὸν Καίσαρα ἀπὸ τοῦ Λευκίου μετετίθεντο. Ὁ δὲ Λεύκιος ὑπήντα Σαλβιδιηνῷ, μετὰ στρατοῦ πολλοῦ πρὸς Καίσαρα ἐκ Κελτῶν ἐπανιόντι· καὶ εἵποντο τῷ

Lin. 38. ἀλλάξασθαι *Edd. Recte Aug.* *L. 39.* πατρικὴν *Reg. B. a pr. manu.* *Ib.* ἀντὶ τοῦ τυραννικῆς *mend. Edd. cum Regiis. Recte Aug.* *L. 43 sq.* ἀποικιῶν *Edd. & MSSti nostri: quod, quin ex* ἀποικίδων *corruptum sit, non dubitandum duxi.* *L. 46.* προσκούσας *edit. 3. oper. errore.*

ſent; frater vero ipſius ſponte deponat poteſtatem illegitimam, conſulatum pro ea recepturus, legitimum magiſtratum & a majoribus traditum, pro dominatione tyrannica."

31. Hæc locutus *Lucius*, omnibus lætis, & Triumviratum jam antiquatum exiſtimantibus, *Imperator a populo conſalutatus*, profectus eſt *contra Cæſarem*, & alium exercitum ex Antonianis colonis collegit, oppidaque eorum communivit. Erantque coloniæ illæ bene erga Antonium adfectæ: ſed quum per id tempus *Barbatius*, *Antonii quæſtor*, ab offenſo neſcio qua cauſa imperatore dimiſſus, ſciſcitantibus colonis reſpondiſſet „iraſci *Antonium* eis, qui contra Cæſarem atque adeo contra communem ipſorum potentiam arma ferrent;" factum eſt, ut, quotquot dolum Barbatii non ſenſerunt, a Lucio deficerent ad Cæſarem. *Lucius* vero *Salvidieno* profectus eſt obviam, cum magnis copiis revertenti ad Cæſarem ex Gallia: & Salvi-

A. U. 713. Σαλβιδιηνῷ Ἀσίνιός τε καὶ Οὐεντίδιος, Ἀντωνίου στρατηγοὶ καὶ οἵδε, κωλύοντες αὐτὸν ἐς τὸ πρόσθεν ἰέναι. Ἀγρίππας δὲ, φίλτατος Καίσαρι, δείσας ἐπὶ τῷ Σαλβιδιηνῷ μὴ κυκλωθείη, Σούτριον κατέλαβε, χωρίον τι χρήσιμον τῷ Λευκίῳ· νομίσας, τὸν Λεύκιον ἀπὸ τοῦ Σαλβιδιηνοῦ περισπάσειν ἐφ' ἑαυτὸν, καὶ οἱ τὸν Σαλβιδιηνὸν βοηθήσειν, κατόπιν τοῦ Λευκίου γενόμενον. καὶ τάδε μὲν, ὡς προσεδόκησεν ὁ Ἀγρίππας, ἐγίγνετο ἅπαντα. Ὁ δὲ Λεύκιος, ἀποτυχὼν ὧν ἐπενόει, πρὸς Ἀσίνιον καὶ Οὐεντίδιον ᾔει, ἐνοχλούντων αὐτὸν ἑκατέρωθεν Σαλβιδιηνοῦ τε καὶ Ἀγρίππου, καὶ φυλασσόντων ὅτε μάλιστα περιλάβοιεν ἐν τοῖς στενοῖς.

XXXII. Ἐκφανείσης δὲ παρ' αὐτὰ τῆς ἐπιβουλῆς, ὁ Λεύκιος οὐ θαῤῥῶν ἀμφοτέροις ἑκατέρωθεν οὖσιν ἐς χεῖρας ἰέναι, ἐς Περυσίαν παρῆλθεν, ὀχυρὰν πόλιν, καὶ παρ' αὐτὴν ἐστρατοπέδευσε, τοὺς περὶ τὸν Οὐεντίδιον περιμένων. Ὁμοῦ δ' αὐτόν τε καὶ τὴν Περυσίαν ὁ Ἀγρίππας καὶ ὁ Σαλβιδιηνὸς,

Lin. 54. *Verba* καὶ οἵδε *rectius fortasse ad seqq. referrentur.* *L.* 55. *Malim* δείσας περὶ τῷ Σαλβιδ. *aut* δείσας τῷ Σαλ. *L.* 56. Σούβριον *Edd. MSS. & Cand. Correxi, monente Cluvero.* *L.* 67. ἰχυρὰν *h. l. Aug. Reg. B.*

dienum a tergo sequebantur *Asinius et Ventidius*, *Antoniani duces*, vetantes ne ulterius procederet. Tum *Agrippa*, *Cæsari amicissimus*, veritus, ne Salvidienus circumveniretur, *Sutrium* occupavit, oppidum opportunum Lucio; sperans fore, ut *Lucius* a Salvidieno in se averteretur; quo facto *Salvidienus*, qui a tergo erat Lucii, copiis suis sibi posset subvenire. Et sicut speraverat *Agrippa*, sic res cecidit. Tum *Lucius*, cœpto frustratus, cum *Asinio* et *Ventidio* se conjungere constituit; utrimque semper eum infestantibus *Salvidieno et Agrippa*; & tempus maxime, quo in angustiis eum circumvenire possent, observantibus.

32. *Lucius*, ubi insidias sibi parari cognovit, non ausus cum utrimque imminente hoste manus conserere, ad *Perusiam* deflexit, urbem munitam; ibique castra metatus est, Ventidium Asiniumque exspectaturus. Moxque *Agrippa et Salvidienus*, *ipseque Cæsar*, ad illos accedens, & *Lucium et Perusiam*

ὁ Σαλβιδιηνὸς, καὶ ὁ Καῖσαρ ἐπελθὼν, τρισὶ στρατοπέδοις ἐκυκλώσαντο· καὶ τὸν ἄλλον στρατὸν ὁ Καῖσαρ ἐκάλει πανταχόθεν κατὰ σπουδὴν, ὡς ἐπὶ τοῦτο δὴ κεφάλαιον τοῦ πολέμου, ἐν ᾧ Λεύκιον εἶχε περιειλημμένον. προὔπεμπε δὲ καὶ ἑτέρους, ἐμποδὼν εἶναι τοῖς ἀμφὶ τὸν Οὐεντίδιον ἐπιοῦσιν. οἱ δὲ καὶ αὐτοὶ διὰ σφῶν ὤκνουν ἐπείγεσθαι, τόν τε πόλεμον ἀποδοκιμάζοντες ὅλως, καὶ τὴν Ἀντωνίου γνώμην οὐκ ἐπιστάμενοι, καὶ τὴν ἡγεμονίαν τῆς στρατιᾶς οὐ παριέντες ἀλλήλοις κατὰ ἀξίωσιν οὐδέτερος. Ὁ δὲ Λεύκιος οὔτ' ἐς μάχην ᾔει τοῖς περικαθημένοις, ἀμείνοσι καὶ πλέοσιν οὖσι καὶ γεγυμνασμένοις, νεοστράτευτον ἔχων τὸ πλέον, οὔτε ἐς ὁδοιπορίαν, ἐνοχλησόντων αὐτὸν ὁμοῦ τοσῶνδε. Μάνιον δὲ ἐς τὸν Οὐεντίδιον καὶ Ἀσίνιον ἔπεμπεν, ἐπείγειν αὐτοὺς βοηθεῖν πολιορκουμένῳ Λευκίῳ· καὶ Τισιηνὸν μετὰ τετρακισχιλίων ἱππέων, λεηλατεῖν τὰ Καίσαρος, ἵνα ἀνασταίη. αὐτὸς

A. U. 713.

Lin. 78. παρέντες *Edd. Recte Aug. Ven.* *L.* 79. Οὐδὲ Λεύκιος *Aug.* *L.* 84. Τισιηνὸν *Edd.* Τισηνὸν *Regii.* Τισηνὸν *Aug.* Tiffinium *Cand.*

et *Perufiam* tribus fimul exercitibus *obfederunt.* Ac ceteras quoque copias *Cæfar* ad eamdem urbem, tamquam ad fedem belli, in qua claufum Lucium teneret, undique convocavit: & alios mifit, qui adventantibus Ventidio Afinioque fe opponerent. Quamquam illi ne per fe quidem admodum properabant; quod nec bellum id probarent, & incerti effent de mente Antonii: quo accedebat inter ipfos duces æmulatio, dignitate pares, ut neuter alteri cedere imperio totius exercitus vellet. *Lucius* interim, obfeffus, nec prælio fe committebat, impar hofti non numero folum, fed & genere militum; fruftraque tirones, cujus generis major pars erat fuorum, objecturus veteranis: neque vero iter ingredi audebat, a tam multis undique infeftatus. Quapropter *Manium* mifit ad *Ventidium* & *Afinium*, qui urgeret eos ad fubveniendum obfeffis: fimulque *Tifienum* juffit cum quatuor equitum millibus e Cæfarianorum agris prædas agere, ut Cæfar ab obfidione abftraheretur. Ipfe vero intra *Perufiæ* mœnia fe recepit; ut, fi

A. U. 713. δὲ παρῆλθεν ἐς τὴν Περυσίαν, ὡς ἐν ὀχυρᾷ πόλει χειμάσων, εἰ δέοι, μέχρι τοὺς περὶ τὸν Οὐεντίδιον ἀφικέσθαι.

XXXIII. Καὶ ὁ Καῖσαρ αὐτίκα μετὰ σπουδῆς ἅπαντι τῷ στρατῷ τὴν Περυσίαν ἀπετείχιζε χάρακι καὶ τάφρῳ, πεντήκοντα καὶ ἓξ σταδίους περιιὼν, διὰ τὸ τῆς πόλεως λοφῶδες, καὶ σκέλη μακρὰ ἐπὶ τὸν Τίβεριν ἐκτείνων, ἵνα τι ἐς τὴν Περυσίαν μὴ ἐσφέροιτο. Ἀντεπονεῖτό γε μὴν καὶ ὁ Λεύκιος, ἑτέροις ὁμοίοις χαρακώμασι καὶ τάφροις τὴν πέζαν ὀχυρούμενος τοῦ λόφου. καὶ Φουλβία Οὐεντίδιον καὶ Ἀσίνιον καὶ Ἀτήϊον καὶ Καληνὸν ἐκ τῆς Κελτικῆς ἤπειγε βοηθεῖν Λευκίῳ· καὶ στρατὸν ἄλλον ἀγείρασα, Πλάγκον ἔπεμπεν ἄγειν Λευκίῳ. Πλάγκος μὲν δὴ τέλος τοῦ Καίσαρος, ἐς Ῥώμην ὁδεῦον, διέφθειρεν. Ἀσινίου δὲ καὶ Οὐεντιδίου, σὺν μὲν ὄκνῳ καὶ διχονοίᾳ τῆς Ἀντωνίου γνώμης, διὰ δὲ Φουλβίαν ὅμως καὶ διὰ Μάνιον, ἐς τὸν Λεύκιον ἰόντων, καὶ τοὺς ἀποκλείοντας βιαζομένων, ὁ Καί-

Lin. 89. ἀπετείχισε *edit.* 2. 3. *Reg. A. Prætuli Aug. Ven. Reg. B. edit.* 1. *Ibid.* τάφῳ *edit.* 2. 3. *oper. errore.* *L.* 92. ἐσφέρηται *Reg. B. ex emend.* *L.* 95. Στήϊον *h. l. mend. Edd. & MSS. Sed* Atejum *recte Cand.* *L.* 96 *sq.* Πλάκκον, Πλάκκος *vel* Πλάκος, *MSS. ut alibi: & sic porro.* *L.* 98. Ἀσιννίου *MSSti, ut plerumque alibi, saltem unus vel alter.*

opus esset, in urbe munita hiemaret, donec Ventidius cum Asinio advenisset.

33. At *Cæsar*, universis copiis propere opus facere jussis, *Perusiam fossa atque aggere*, circuitu VII millium passuum, propter tumulum in quo urbs sita est, *cinxit*; brachiaque longa ad Tiberim usque duxit, ne quid in urbem importaretur. E diverso *Lucius* simili vallo fossaque radices tumuli muniebat. Et *Fulvia* quoque Ventidium Asiniumque, tum *Atejum* & *Calenum* hortata est, e Gallia properarent in auxilium obsessi; simulque alium exercitum, recens nunc collectum, *Planci* ductu misit ad Lucium. *Plancusque* legionem Cæsarianam, quæ Romam petebat, concidit in itinere. Quum autem *Asinius Ventidiusque*, segniter quidem, ut incerti voluntatis Antonii, irent tamen ad Lucium propter Fulviam & Manium, & vi erumpere per eos, qui ad aditum illis præcludendum missi erant, conarentur; tum *Cæsar* cum *A-*

A. U. 713.

σαρ ὑπήντα σὺν Ἀγρίππᾳ, φυλακὴν τῆς Περυσίας καταλιπών. οἱ δὲ, οὐδέ πω συμβαλόντες ἀλλήλοις, οὔτε σὺν προθυμίᾳ χωροῦντες, ὁ μὲν αὐτῶν ἐς Ῥάβενναν, ὁ δ᾽ ἐς Ἀρίμινον, ὁ δὲ Πλάγκος ἐς Σπωλήτιον συνέφυγεν. Καὶ ὁ Καῖσαρ αὐτῶν ἑκάστῳ στρατὸν ἐπιστήσας, ἵνα μὴ πρὸς ἀλλήλους συνέλθοιεν, ἐς τὴν Περυσίαν ἐπανῆλθε· καὶ μετὰ σπουδῆς τὰς τάφρους προσεσταύρου, καὶ ἐδιπλασίαζε τὸ βάθος καὶ πλάτος, ὡς τριάκοντα πόδας ἀμφότερα εἶναι· τό τε περιτείχισμα ὕψου, καὶ πύργους ἐπ᾽ αὐτοῦ ξυλίνους δι᾽ ἑξήκοντα ποδῶν ἵστη χιλίους καὶ πεντακοσίους· καὶ ἐπάλξεις τε ἦσαν αὐτῷ πυκναὶ, καὶ ἡ ἄλλη παρασκευὴ πᾶσα διμέτωπος, ἔς τε τοὺς πολιορκουμένους, καὶ εἴ τις ἔξωθεν ἐπίοι. Ἐγίγνετο δὲ ταῦτα σὺν πείραις πολλαῖς καὶ μάχαις, ἀκοντίσαι μὲν ἀμεινόνων ὄντων τῶν Καίσαρος, συμπλέκεσθαι δὲ τῶν Λευκίου μονομάχων· καὶ πολλοὺς ἔκτεινον συμπλεκόμενοι.

Lin. 6. ἐς πωλίτιον *Edd.* ἐς πωλήτιον *Aug. Reg. B. Cand. Correxi mendum. L.* 9. προσεσταύρου *Reg. A. L.* 10. βάτος *erat in edit.* 1. *mend. L.* 12. πυργ. ἐξ αὐτοῦ *Edd. Rectius Aug.*

grippa, relicta Perusina obsidione, obviam eis profectus est. At illi, quum nondum ne copias quidem suas conjunxissent, ac ceteroquin non nimis promta voluntate essent progressi, contulerunt se alter Ravennam, alter Ariminum; *Plancus* vero Spoletium se recepit. *Cæsar*, opposita cuique parte sui exercitus, ne inter se conjungerentur, *Perusiam* rediit: ibique celeriter fossas vallo præmunivit, earumque cum altitudinem tum latitudinem duplicavit, ut utraque pedum esset triginta; tum murum circumcirca altiorem fecit, & turres in eo ligneas MD, spatio LX pedum inter se distantes, erexit, densisque propugnaculis murum instruxit; denique omnes munitiones ancipites effecit, tam contra obsessos, quam contra impetus qui extrinsecus fieri possent. Interim non semel eruptiones a *Lucio* tentatæ sunt, pugnæque commissæ; in quibus Cæsariani melius missilibus rem agebant, quum ex adverso gladiatores Lucii audacius consererent manus, multosque cominus trucidarent.

A. U. 713. XXXIV. Ὡς δὲ ἐξείργαστο πάντα τῷ Καίσαρι, λιμὸς ἥπτετο τοῦ Λευκίου, καὶ τὸ κακὸν ἤκμαζεν ἀγρίως, ἅτε μηδὲν αὐτοῦ μηδὲ τῆς πόλεως προπαρεσκευασμένης. ὧν ὁ Καῖσαρ αἰσθανόμενος, ἀκριβεστέρας τὰς φυλακὰς ἐποίει. Νουμηνίας δὲ ἔτους ἐς τὴν ἐπιοῦσαν ἡμέραν οὔσης, φυλάξας ὁ Λεύκιος τὴν ἑορτὴν, ὡς ἀμελείας τοῖς πολεμίοις αἰτίαν, ἐξέθορε νυκτὸς ἐπὶ τὰς πύλας αὐτῶν, ὡς διεκπαίσων αὐτοὺς, καὶ στρατιὰν ἐπαξόμενος ἑτέραν· πολλὴ γὰρ ἦν αὐτῷ πολλαχοῦ. ταχὺ δὲ τοῦ πλησίον ἐφεδρεύοντος τέλους καὶ τοῦ Καίσαρος αὐτοῦ σὺν ταῖς στρατηγίσι σπείραις ἐπιδραμόντων, ὁ Λεύκιος μάλα προθύμως ἀγωνιζόμενος ἀνεώσθη. Τῶν δ' αὐτῶν ἡμερῶν ἐν Ῥώμῃ, τοῦ σίτου τοῖς στρατευομένοις φυλασσομένου, τὸ πλῆθος τῷ πολέμῳ καὶ τῇ νίκῃ φανερῶς ἐπηρῶντο, καὶ ἐς τὰς οἰκίας ἐστρέχοντες ἐπὶ ἐρευνῇ σίτου, ὅσα εὕροιεν ἥρπαζον.

714. XXXV. Οἱ δ' ἀμφὶ τὸν Οὐεντίδιον, αἰδούμενοι λιμῷ

Lin. 21. ἤκμ. ἀθρόως *Edd.* ἀγρίως *ded. Aug. Ven.* *L.* 23. αἰσθόμενος *Edd. Prætuli Aug.* *L.* 26 *sq.* ὡς ἐκδιεκπαίσων *Edd. mend. ex Reg. B. Recte Aug. Reg. A.* *L.* 29. στρατηγίαις *Edd. mend. Recte Aug. Ven.* *L.* 35 *sq.* κάμνοντα λιμῷ *Edd. Prætuli seriem verb. Aug.*

34. Postquam vero perfectum est opus *a Cæsare, fame premebatur Lucius*; atque eo ferocius ingruebat malum, quod nec oppidani, nec ipse, ullos commeatus præparaverant. Quod intelligens *Cæsar*, diligentiores adhibuit custodias. Nocte autem, quæ præcessit *Calendas Januarias*, *Lucius*, ratus id solenne adlaturum hostibus negligentiam, in ipsam portam eorum fecit impetum; sperans, se per hostium munimenta erumpere, & alias copias, quas multas multis locis habebat, adducere posse. Sed celeriter excita legione e proximis excubiis, & *Cæsare* ipso cum prætorianis cohortibus succurrente, *Lucius* post acre certamen repulsus est. Per eosdem dies *Romæ*, quum frumentum omne adservaretur in usum militum, *plebs*, palam imprecationes jactans contra bellum & contra nuperam victoriam, discurrit per privatas ædes, *frumentum* quærens; & quidquid invenit, *diripuit*.

35. Jam vero *Ventidius* reliquique earum partium du-

κάμνοντα Λεύκιον περιορᾶν, ἐχώρουν ἐς αὐτὸν ἅπαντες, βιαζόμενοι τοὺς Καίσαρος, πανταχόθεν αὐτοὺς περικειμένους καὶ ἐνοχλοῦντας. ὑπαντώντων δ' αὐτοῖς Ἀγρίππου τε καὶ Σαλβιδιηνοῦ μετὰ δυνάμεως ἔτι πλείονος, ἔδεισαν μὴ κυκλωθεῖεν, καὶ ἐς Φουλκίνιόν τι χωρίον ἐξέκλιναν, ἑξήκοντα καὶ ἑκατὸν σταδίους τῆς Περυσίας διεστηκός· ἔνθα αὐτοὺς τῶν ἀμφὶ τὸν Ἀγρίππαν περικαθημένων, πυρὰ πολλὰ ἤγειραν, σύμβολα τῷ Λευκίῳ. καὶ γνώμην ἐποιοῦντο Οὐεντίδιος μὲν καὶ Ἀσίνιος, βαδίζειν καὶ ὡς μαχουμένοι· Πλάγκος δὲ, ἔσεσθαι μέσους Καίσαρός τε καὶ Ἀγρίππου, χρῆναι δ' ἔτι καραδοκεῖν τὰ γιγνόμενα· καὶ ἐκράτει λέγων ὁ Πλάγκος. Οἱ δ' ἐν τῇ Περυσίᾳ, τὰ μὲν πυρὰ ἰδόντες, ἥδοντο· τῶν δ' ἀνδρῶν βραδυνόντων, εἴκασαν καὶ τούσδε ἐνοχλεῖσθαι, καὶ παυσαμένου τοῦ πυρὸς διεφθάρθαι. Ὁ δὲ Λεύκιος, τοῦ λιμοῦ πιέζοντος, ἐνυκτομάχησεν αὖθις ἐκ πρώτης φυλακῆς ἐς ἕω, περὶ ἅπαν τὸ περιτείχισμα· καὶ οὐ

| A. U. 714.

Lin. 37. βιαζομ. τοῦ Καίσαρος *Aug.* *Forte leg.* τοὺς τοῦ Καισ. *L.* 40. Φουλκίνιόν τε *Edd.* *Rectius Aug.*

ces, ignominiosum rati, non subvenire laboranti fame *Lucio*, omnes ad eum proficisci instituerunt, rejectis Cæsarianis, qui undique eos obsederant presserantque. Sed, *Agrippa Salvidienoque* advenientibus cum majoribus copiis, veriti ne circumvenirentur, deflexerunt *Fulginium*, oppidum XX. M. P. a *Perusia* distans. Ubi ab Agrippa obsessi, nocturnis ignibus multis accensis signum dabant *Lucio*. Ibi dum inter se deliberant, *Ventidio Pollionique* placuit, ut vel sic proficiscerentur, prœlioque decernerent: sed *Plancus* amplius exspectandum censebat, ne ingererent se periculose medios inter Agrippam & Cæsarem: quæ sententia visa est potior. Qui *Perusiæ* obsidebantur, ad primum conspectum ignium gavisi, tardantibus sociis, conjectabant premi eos ab hostibus: ubi vero cessarunt ignes, deletos socios putabant. *Lucius* autem, *fame pressus*, rursus alia nocte a prima vigilia usque diluculum eruptionem tentavit locis omnibus: sed & tunc, irrito conatu, in

A. U. 714. δυνηθεὶς, ἀνέθορεν αὖθις ἐς τὴν Περυσίαν, καὶ τὰς ὑπολοίπους συλλογισάμενος τροφὰς, ἀπεῖπε δίδοσθαι τοῖς θεράπουσι, καὶ ἐφύλασσεν αὐτοὺς, μηδ᾽ ἐκφυγεῖν, ἵνα μὴ γνωριμώτερον γένοιτο τοῖς πολεμίοις τὸ δεινόν. ἠλῶντο οὖν οἱ θεράποντες κατὰ πλῆθος, καὶ κατέπιπτον ἔν τε αὐτῇ τῇ πόλει καὶ μέχρι τοῦ σφετέρου διατειχίσματος, πόαν εἴ τινα εὕροιεν, ἢ φυλλάδα χλωρὰν, νεμόμενοι. καὶ τοὺς ἀποψύχοντας ὁ Λεύκιος ἐς τάφρους ἐπιμήκεις κατώρυσσεν· ἵνα μήτε καιομένων, ἐπίδηλον τοῖς ἐχθροῖς γένοιτο, μήτε σηπομένων, ἀτμὸς καὶ νόσος.

XXXVI. Ἐπεὶ δὲ οὔτε τοῦ λιμοῦ τι τέλος ἦν οὔτε τῶν θανάτων, ἀχθόμενοι τοῖς γιγνομένοις οἱ ὁπλῖται, παρεκάλουν τὸν Λεύκιον αὖθις ἀποπειράσαι τῶν τειχῶν, ὡς διακόψοντες αὐτὰ πάντως. ὁ δὲ, τὴν ὁρμὴν ἀποδεξάμενος, Οὐκ ἀξίως, ἔφη, πρώην τῆς παρούσης ἀνάγκης ἠγωνισάμεθα· καὶ νῦν ἢ παραδιδόναι σφᾶς, ἢ, τοῦτο χεῖρον ἡγουμένους θανάτου, μάχεσθαι μέχρι θανάτου. Δεξαμένων δὲ προθύμως ἁπάντων, καὶ, ἵνα μή τις ὡς

urbem rejectus eſt. Jamque, ſubducta ratione quantum cibariorum eſſet reliquum, ſervis porro præberi victum vetuit: ipſos autem cuſtodivit, ne transfugiendo magis patefacerent hoſtibus mali gravitatem. Errabant igitur agminatim *ſervi*, paſſim humum ſeſe projicientes vel in urbe vel in pomœriis, & *herbam*, ſicubi invenirent, *depaſcentes* aut frondes virides. Exanimes autem *Lucius* in altis foveis defodiebat, ne rogos hoſtis animadverteret, neve ex cadaverum exhalatione peſtis gigneretur.

36. Quum vero nec famis finis adpareret, nec funerum; milites pertæſi orabant *Lucium*, ut rurſus tentaret erumpere, quaſi munimenta hoſtium omnino nunc perfracturi. Ille, comprobato eorum ardore: „Nuper, inquit, non tam ſtrenue, quam neceſſitas poſtulabat, certavimus: nunc aut deditio facienda, aut, ſi hæc morte videtur deterior, uſque ad mortem pugnandum eſt." Accipientibus promte conditionem omnibus, &, ne nox ullam præberet occaſio-

ἐν νυκτὶ πρόφασις γένοιτο, κατὰ φῶς ἄγειν σφᾶς κελευόντων, ὁ Λεύκιος ἦγε πρὸ ἡμέρας· σίδηρόν τε τειχομάχον εἶχον πολὺν, καὶ κλίμακας ἐς εἴδη πάντα διεσκευασμένας. ἐφέρετο δὲ καὶ τάφρων ἐγχωστήρια ὄργανα, καὶ πύργοι πτυκτοὶ σανίδας ἐς τὰ τείχη μεθιέντες, καὶ βέλη παντοῖα, καὶ λίθοι, καὶ γέρρα τοῖς σκόλοψιν ἐπιρριπτεῖσθαι. Προσπεσόντες δὲ μεθ' ὁρμῆς βιαίου, τὴν τάφρον ἐνέχωσαν, καὶ τοὺς σταυροὺς ὑπερέβησαν· καὶ τοῖς τείχεσι προσελθόντες, οἱ μὲν ὑπώρυσσον, οἱ δὲ τὰς κλίμακας ἐπῆγον, οἱ δὲ τοὺς πύργους· ἐνεχείρουν τε ὁμοῦ, καὶ ἠμύνοντο λίθοις καὶ τοξεύμασι καὶ μολιβδαίναις, σὺν πολλῇ θανάτου καταφρονήσει. καὶ τάδε ἐγίγνετο κατὰ μέρη πολλά· ἐπειδὴ δέ τινας * ἐς πολλὰ διαιρουμένοις τοῖς πολεμίοις ἀσθενέστερα πάντα ἦν.

A. U. 714.

XXXVII. Ἐκπαθεισῶν δέ που τῶν σανίδων ἐς τὸ τεῖχος, βία τότε μάλιστα ἐπικίνδυνος ἦν τῶν Λευκιανῶν ἐπὶ ταῖς σανίσι μαχομένων, καὶ βέλη πλάγια πάντοθεν ἦν ἐς

Lin. 74. ἀγχαστήρια Edd. mend. Recte Aug. L. 75. πυκτοὶ edit. 1. ex Reg. A. πυκλοὶ edit. 2. 3. Verum deder. Reg. B. & Aug. L. 76. καὶ λίθους Edd. Rectius Aug. L. 80. πύργους ἐπεχείρουν Edd. omissa distinctione, quam recte dedit Aug. L. 83. Post τινας adjeci signum lacunae: cujus nulla suspicio foret, si abesset τινας & lin. abhinc tertia pro δέ που legeretur δή που.

nem ignaviæ, clara luce signum sibi dari postulantibus; *Lucius* duxit eos sub diluculum, instructos affatim ferramentis, & scalis variarum formarum, machinisque quibus fossæ complentur aggere, & *turribus plicatilibus, ex quibus pontes jaciuntur in mœnia:* adhæc telorum omne genus accedebat, lapidesque, & crates quas palis injicerent. Itaque connixi totis viribus, repleta fossa, vallum transcenderunt: subeuntesque murum, alii eum suffodiebant, scalas alii adplicabant, alii turres admovebant: simulque operi erant intenti, simul dimicabant, saxis, sagittis, glandibus, cum multo mortis contemtu: eaque omnia multis simul locis agebantur. Ita hostes in diversa distracti resistebant segnius.

37. Postquam vero alicubi jam pontes injecti sunt in mœnia, tum maxime summa & ferocia & summo periculo ex ipsis pontibus pugnabant *Lu-*

A. U. 714. αὐτοὺς καὶ ἀκόντια. ἐβιάσαντο δὲ ὅμως, καὶ ἐς τὸ τεῖχος ἐξήλαντο ὀλίγοι, καὶ αὐτοῖς εἵποντο ἕτεροι· καὶ τάχα ἄν τι ἐξειργάσαντο αὐτοῖς μετὰ ἀπονοίας, εἰ μὴ, γνωσθέντος οὐ πολλὰ εἶναι τὰ τοιαῦτα μηχανήματα, οἱ ἄριστοι τῶν Καίσαρος ἐφεδρειῶν ἀκμῆτες ἐπήγοντο κεκμηκόσι. Τότε γὰρ δὴ τῶν τειχῶν αὐτοὺς κατήρειψαν, καὶ τὰ μηχανήματα συνέτριψαν, καὶ ἔβαλλον ἄνωθεν ἤδη σὺν καταφρονήσει. τοῖς δὲ τὰ μὲν ὅπλα καὶ τὰ σώματα ὅλα συνεκέκοπτο, καὶ βοὴ σφᾶς ἐπελελοίπει· παρέμενον δ' ὅμως τῇ προθυμίᾳ. ὡς δὲ καὶ τὰ νεκρὰ τῶν ἐπὶ τοῦ τείχους ἀνῃρημένων ἐσκυλευμένα κάτω διερρίπτειτο, τὴν ὕβριν οὐκ ἔφερον, ἀλλὰ ἀνετρέποντο ὑπὸ τῆς ὄψεως, καὶ μικρὸν ἔστησαν ἀποροῦντες, ὥσπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν οἱ διαναπαυόμενοι. Ὧδε δὲ αὐτοὺς ἔχοντας ἐλεῶν ὁ Λεύκιος ἐκάλει τῇ σάλπιγγι ἀναχωρεῖν. ἡσθέντων δὲ τῶν Καίσαρος ἐπὶ τῷδε, καὶ τὰ ὅπλα παταγησάντων οἷον ἐπὶ νίκῃ, ἐρεθισθέντες οἱ τοῦ Λευκίου, τὰς κλίμακας

Lin. 94. ἔβαλον *Edd. invitis MSStis.* *L.* 95. *Pro* ὅλα *est* ὅπλα *in Aug. Eam vocem omisit Cand.* *L.* 96. *Pro* βοὴ *repositum* πνοὴ *vel* βία *maluerat Musgrav.* *L.* 99. ὑπὲρ τῆς ὄψεως *Edd. ex Reg. B. mend. Recte Reg. A. Aug. Ven.*

ciani, a lateribus undique telorum omni genere petiti. At perruperunt tamen, & in mœnia prosilierunt nonnulli, quos mox plures sunt secuti. Et fortassis, ut desperati, effecissent aliquid, ni, cognito non multas esse tales machinas, fortissimi Cæsarianorum fessis recentes ex subsidiis essent objecti: qui tum deturbarunt hos e mœnibus, &, confractis machinis, jam contemtim e sublimi feriebant reliquos. Illi, perfossis scutis, totoque corpore consauciati, voce quoque jam deficiente, durabant tamen acriter. Ut vero cadavera etiam eorum, qui in muro cæsi erant, spoliata viderunt dejici; non tulerunt contumeliam: sed horrore ejus spectaculi resilientes, constiterunt paulisper dubii, sicut athletæ inter certamen interquiescentes. Ita adfectos miseratus *Lucius*, receptui cecinit. Sed quum Cæsariani læti complođerent arma, tamquam in victoria; irritati Lucii milites, rursus arreptis scalis (turres enim nul-

αὖθις ἀρπάσαντες (οὐ γὰρ ἔτι πύργους εἶχον) ἔφερον ἐς τὰ τείχη μετὰ ἀπονοίας, οὐδὲν ἔτι βλάπτοντες· οὐ γὰρ ἐδύναντο. περιθέων δὲ αὐτοὺς ὁ Λεύκιος, ἐδεῖτο μὴ ψυχομαχεῖν ἔτι, καὶ οἰμώζοντας ἀπῆγεν ἄκοντας. A. U. 714.

XXXVIII. Τὸ μὲν δὴ τέλος τῆσδε τῆς τειχομαχίας, ἐκθυμοτάτης γενομένης, ἐς τοῦτο ἐτελεύτα. Ὁ δὲ Καῖσαρ, ἵνα μὴ αὖθις ἐπιτολμήσειαν οἱ πολέμιοι τοῖς τείχεσι, τὴν στρατιὰν, ὅση τοῖς γιγνομένοις ἐφήδρευε, παρ' αὐτὸ τὸ τεῖχος ἵδρυσε, καὶ ἐδίδαξεν ἀναπηδᾶν ἐς τὸ τεῖχος ἄλλους ἀλλαχοῦ κατὰ σύνθημα σάλπιγγος. Συνεχῶς τε ἀνεπήδων, οὐδενὸς ἐπείγοντος· ἵνα διδαχή τε σφίσι, καὶ φόβος εἴη τοῖς πολεμίοις. Ἀθυμία δὲ ἐπεῖχε τοὺς τοῦ Λευκίου· καὶ, ὅπερ ἐν τοῖς τοιούτοις εἴωθε γίγνεσθαι, τῆς φυλακῆς οἱ φύλακες ἠμέλουν· ἐκ δὲ τῆς ἀμελείας αὐτομολίαι πολλῶν ἐγίγνοντο, καὶ οὐχ οἱ ἀφανέστεροι τοῦτο μόνοι, ἀλλὰ καὶ τῶν ἡγεμονικῶν τινες, ἔδρων. Ἐνεδίδου τε ὁ Λεύκιος ἤδη πρὸς διαλύσεις, ἐλεῶν τοσοῦδε πλήθους ἀπολλυμένου. ἐχθρῶν δέ τινων Καίσαρος περὶ σφῶν δεδιότων, ἔτι ἐπεῖχεν. Ὡς δὲ ὁ Καῖσαρ ὤφθη

Lin. 18. ἐν τούτοις εἴωθε *Edd. Rectius Aug.*

his amplius habebant) cum deſperatione denuo in muros hoſtium ruebant; ſed irrito conatu, nec enim quidquam amplius lædere poterant. Itaque *Lucius*, circumcurſans eos, orabat, ne amplius de vita pugnarent; & gementes ac invitos reduxit.

38. Hic fuit acerrimæ illius oppugnationis exitus. Tum *Cæſar*, ne rurſus hoſtes muros tentarent, milites, quotquot jam non in ipſis ſtationibus eſſent, poſt murum collocavit; docuitque ſigno tuba dato alios alibi in murum proſilire. Atque id continue illi faciebant, nemine etiam urgente; exercitantes ſe pariter, & hoſtem territantes. Lucii vero milites occupavit mœſtitia; &, quod in tali ſtatu rerum fieri ſolet, cuſtodiæ remiſſius agebantur; atque inde crebra fiebant transfugia, non vulgarium tantum militum, ſed & præfectorum aliquot. Jamque etiam *Lucius ad pacem flectebatur*, pereuntium multitudinem miſeratus: ſed unum hoc eum remorabatur, quod Cæſaris inimici ſibi timebant. Ubi vero clementer

A. U. 714.

τοὺς αὐτομόλους φιλανθρώπως ἐκδεχόμενος, καὶ πλείων ὁρμὴ πᾶσιν ἐς τὰς διαλύσεις ἐγίγνετο, δέος ἥπτετο τοῦ Λευκίου, μὴ ἀντιλέγων ἐκδοθείη. 2

XXXIX. Γενομένης οὖν τινος ἐς τοῦτο πείρας καὶ ἐλπίδος οὐκ ἀηδοῦς, τὸν στρατὸν συναγαγὼν, ἔλεξεν ὧδε· ΓΝΩΜΗ μὲν ἦν μοι, τὴν πάτριον ὑμῖν ἀποδοῦναι πολιτείαν, ὦ Συστρατιῶται, τυραννίδα τὴν τῶν τριῶν ἀνδρῶν ἀρχὴν ὁρῶντι, καὶ οὐδ' ἐφ' ᾗ συνέστη προφάσει, Κασσίου καὶ Βρούτου τεθνεώτων, διαλυθεῖσαν. Λεπίδου γὰρ τὸ μέρος τῆς ἀρχῆς ἀφῃρημένου, καὶ Ἀντωνίου πορρωτάτω χρήματα συλλέγοντος, εἷς οὗτος ἅπαντα πρὸς τὴν ἑαυτοῦ γνώμην διῴκει· τὰ δὲ πάτρια Ῥωμαίοις πρόσχημα μόνον ἦν καὶ γέλως. ἅπερ ἐγὼ μεταβάλλειν ἐς τὴν ἄνωθεν ἐλευθερίαν τε καὶ δημοκρατίαν ἐπινοῶν, ἠξίουν, τῶν ἐπινικίων διαδοθέντων ἐκλυθῆναι τὴν μοναρχίαν. Ἐπεὶ δὲ οὐκ ἔπειθον, ἐπειρώμην ἐπὶ τῆς ἐμῆς ἀρχῆς κα- 3

Lin. 31. τὴν carent Edd. male. Dederunt Aug. Ven. Reg. A. L. 40. ἔπειθον, ἐπὶ Ῥώμην Edd. invit. MSS. ἐπιρώμην Reg. B. Verum (quod jam viderat Gelenius) dederunt Reg. A. & Aug.

a *Cæſare* excipi transfugas adparuit, & majus jam pacis deſiderium omnes inceſſit; tum vero timere cœpit, ne, ſi ſolus obſtaret, dederetur Cæſari.

39. Quapropter, poſtquam prætentanti ſpes haud ingrata oſtenſa eſt, convocatis militibus, LUCIUS ſic apud eos concionatus eſt: „ERAT mihi quidem animus, *COMMILITONES*, rempublicam vobis reſtituere a majoribus acceptam, quum *Triumviratum* vidiſſem *in tyrannidem verſum*, neque poſt Brutum & Caſſium ſublatos, qui prætextus conſtituendæ illius poteſtatis fuerat, ceſſantem. Lepido enim amoto a collegio, Antonio in remotiſſimis provinciis colligente pecunias, unus hic arbitratu ſuo gerebat omnia: populi Romani inſtituta a majoribus accepta ludibrio habebantur, & vix vana eorum ſpecies relinquebatur. Quibus malis ego remedium quærens, & priſtinam libertatem remque publicam reſtituere cogitans, poſtulaveram, ut, redditis militibus victoriæ præmiis, abrogaretur unius dominatio. Quod poſtquam precibus non impetravi, conatus ſum pro po-

καταναγκάσαι. ὁ δέ με τῷ στρατῷ διέβαλλε, κωλύειν τὰς κληρουχίας ἐλέῳ τῶν γεωργῶν· καὶ τὴν διαβολὴν ἐγὼ τήνδε ἠγνόησα ἐπὶ πλεῖστον· ἀλλ' οὐδὲ ἐπιγνοὺς, ἐπίστευσά τινα πιστεύσειν, ὁρῶντα τοὺς οἰκιστὰς καὶ παρ' ἐμοῦ δεδομένους, οἳ μερίζειν ἔμελλον ὑμῖν τὰς κληρουχίας. ἀλλὰ ἐδημαγώγησε γάρ τινας ἡ διαβολὴ, καὶ πρὸς ἐκεῖνον ᾤχοντο· πολεμήσοντες ἡμῖν, ὡς νομίζουσι· σὺν χρόνῳ δ' εἴσοντες, στρατευσάμενοι καθ' ἑαυτῶν. Ὑμῖν δ' ἐγὼ μαρτυρῶ μὲν, ἑλομένοις τὰ ἀμείνονα, καὶ ὑπὲρ δύναμιν κακοπαθήσασιν. ἡττήμεθα δὲ οὐχ ὑπὸ τῶν πολεμίων, ἀλλὰ τοῦ λιμοῦ, ᾧ δὴ καὶ πρὸς τῶν ἡμετέρων στρατηγῶν ἐγκαταλελείμμεθα. Ἐμοὶ μὲν δὴ καλῶς εἶχεν ἀγωνίσασθαι μέχρι τοῦ τελευταίου δαίμονος ὑπὲρ τῆς πατρίδος· καλὸν γάρ μοι τὸν ἔπαινον ἐπὶ τῇ γνώμῃ καὶ τὸ τέλος ἐποίει. οὐχ ὑφίσταμαι δὲ δι' ὑμᾶς, οὓς τῆς ἐμῆς

A. U. 714.

Lin. 44. Verbo πιστεύσειν, quod dedit Aug. & cujus vestigia in Reg. B. adparent, carent Edd. cum Reg. A. Ibid. ὁρῶν Edd. Recte Aug. L. 47 sq. σὺν χρόνῳ δείσαντες Edd. Cand. δ' εἴσαντας Aug. Ven. quod pronum fuerat corrigere; præeunte etiam Gelenio. L. 48. καθ' ἑαυτοὺς Edd. καθ' αὐτῶν (sic) Aug. Recte Ven. L. 51. ὑμετέρων Aug. L. 52. μὲν δὲ edit. 3. operarum errore.

„testate magistratus mei vel vi efficere. Tum iste me apud exercitum falso accusavit, quasi deductioni coloniarum ac distributioni agrorum me opponerem in veterum possessorum gratiam. Quam calumniam quum diu ipse ignorassem, ne tum quidem, quum audivi, fidem apud quemquam inventuram putavi; quandoquidem a me quoque designatos videre licuit, qui in colonias vos deducerent, agrosque vobis dividerent. Verum decepti nonnulli crediderunt tamen calumniæ, pro„fectique sunt ad eum, ut bellum contra nos gererent; comperturi tandem, susceptam contra sese hanc expeditionem. Sed vobis ego testis sum, potiores partes vos esse secutos, & laborasse pro eisdem supra vires etiam. Victi sumus autem non ab hostibus, sed a fame; in qua nimirum & ab nostris ducibus fuimus deserti. Jam me quidem sane, pro patria pugnantem, extremam decebat experiri fortunam; ut honestissimi consilii laudem gloriosa morte cumularem. Sed non

A. U. 714.

προτίθημι εὐκλείας. Πέμψω δὴ πρὸς τὸν κεκρατηκότα, καὶ δεήσομαι, ἐμοὶ μὲν ἀντὶ πάντων ὑμῶν εἰς ὃ θέλει καταχρήσασθαι μόνῳ· ὑμῖν δὲ ἀντ' ἐμοῦ ἀμνηστίαν δοῦναι, πολίταις τε οὖσιν αὐτοῦ, καὶ στρατιώταις ποτὲ γενομένοις, καὶ οὐδὲ νῦν ἀδικοῦσιν, οὐδὲ πολεμήσασιν ἄνευ καλῆς αἰτίας, οὐδὲ ἡσσημένοις πολέμῳ μᾶλλον, ἢ λιμῷ.

XL. Ὁ μὲν οὕτως εἶπε, καὶ εὐθὺς ἔπεμπε τρεῖς ἐπιλεξάμενος ἐκ τῶν ἀρίστων. ἡ δὲ πληθὺς ἀνῴμωζον, οἱ μὲν ἑαυτῶν χάριν, οἱ δὲ τοῦ στρατηγοῦ, γνώμῃ μὲν ὁμοῦ σφίσιν ἀρίστου καὶ δημοκρατικοῦ φανέντος, ὑπὸ δ' ἐσχάτης ἀνάγκης ἡττημένου. Οἱ δὲ τρεῖς, ἐντυχόντες τῷ Καίσαρι, ἀνεμίμνησκον τοῦ γένους τῶν στρατῶν ἑνὸς ἑκατέροις ὄντες, καὶ στρατειῶν ὁμοῦ γενομένων, καὶ φιλίας τῶν ἐπιφανῶν, καὶ ἀρετῆς προγόνων, οὐκ ἐς ἀνήκεστον τὰς διαφορὰς προαγαγόντων· ὅσα τε εἰκὸς ἦν ἄλλα ἐπαγωγὰ, τούτοις ὅμοια, ἔλεγον. Ὁ δὲ Καῖσαρ, εἰδὼς τῶν πολεμίων τοὺς μὲν ἀπειροπολέμους ἔτι, τοὺς δὲ κλη-

Lin. 67. τῶν στρατηγῶν *Edd. ex Reg. B. Recte Reg. A. Aug. Ven. Cand.*

„ſuſtineo propter vos, quorum ego incolumitatem meæ gloriæ antepono. Mittam igitur legatos ad victorem, rogaboque, ut a me uno pœnas, vobis omiſſis, quas vult expetat; vobis vero, quam mihi non peto, det veniam, civibus ſuis & quondam etiam militibus, ac ne nunc quidem peccantibus, ſed honeſtas belli cauſas habentibus, & ne bello quidem victis, ſed fame."

40. Hæc locutus *Lucius*, continuo miſit tres electos ex optimatibus. Reliqua vero multitudo in lamenta effundebatur; aliis ſuam vicem dolentibus, aliis vicem imperatoris, qui, quum & fortiſſimum conſilium ſecutus & optime in rempublicam animatus eſſe videretur, ultimæ tandem neceſſitati ſuccumberet. *Legati*, *ad Cæſarem* admiſſi, commemorabant apud eum communem omnium patriam, communemque etiam olim militiam; tum amicitias virorum utriuſque partis nobilium; moremque majorum, abhorrentium a lethalibus diſſenſionibus; denique alia his ſimilia, ad flectendum victoris animum comparata. *Cæſar*, non ignarus hoſtium exercitum compoſitum eſſe par-

φρούρους γεγυμνασμένους, ἔφη τεχνάζων, τοῖς ὑπ' Ἀντωνίῳ στρατευσαμένοις διδόναι τὴν ἀμνηστίαν, ἐς χάριν A. U. 714. ἐκείνῳ φέρων· τοὺς δ' ἄλλους ἐπιτρέπειν σφᾶς ἑαυτῷ προσέτασσε. Ταῦτα μὲν εἶπεν ἅπασιν. ἰδίᾳ δὲ ἕνα τῶν τριῶν ἀπολαβὼν, Φούρνιον, ἐς μείζονα φιλανθρωπίαν ἐπήλπιζε τοὺς περὶ Λεύκιον καὶ τοὺς ἄλλους, χωρὶς τῶν ἰδίων ἐχθρῶν ἑαυτοῦ.

XLI. Οἵδε οὖν οἱ τοῦ Καίσαρος ἐχθροὶ, τὴν ἰδίᾳ γενομένην ἔντευξιν τοῦ Φουρνίου ὑπονοοῦντες ἐπὶ σφίσι γενέσθαι, αὐτόν τε τὸν Φούρνιον ἐλοιδόρουν ἐπανελθόντα, καὶ τὸν Λεύκιον ἠξίουν, ἢ σπονδὰς αὖθις αἰτεῖν ὁμοίας ἅπασιν, ἢ πολεμεῖν μέχρι θανάτου· οὐ γὰρ ἰδιόν τινι τὸν πόλεμον, ἀλλὰ κοινὸν ὑπὲρ τῆς πατρίδος, γεγονέναι. Καὶ ὁ Λεύκιος ἐπῄνει μὲν, ἐλεῶν ἄνδρας ὁμοτίμους, καὶ πέμψειν ἔλεγεν ἑτέρους· οὐδένα δὲ, εἰπὼν, ἀμείνονα ἔχειν ἑαυτοῦ, εὐθὺς ἄνευ κήρυκος ᾔει, προθεόντων αὐτοῦ δρόμῳ τῶν ἀπαγγελούντων Καίσαρι κατιέναι Λεύκιον. Ὁ δὲ αὐτίκα ὑπήντα. Ἑωρῶντο οὖν ἀλλήλοις ἤδη μετὰ

Lin. 80. τὴν ἰδίαν Edd. Rectius Aug. L. 90. ὅδε αὐτίκα Edd. invitis MSS.

tim e tironibus, partim e veteranis exercitatisque, arte usus, ait: „se Antonii veteranis veniam dare in imperatoris gratiam"; ceteros jussit, ut ipsius potestati sese permitterent. Hæc publice: seorsim autem *Furnio*, uni legatorum, ostendit spem clementiæ in *Lucium* & in reliquos, exceptis duntaxat propriis inimicis.

41. Jam illud ipsum privatum *Furnii* colloquium suspectum habentes inimici *Cæsaris*, conviciis Furnium redeuntem exceperunt; postulaveruntque a *Lucio*, ut aut eamdem omnibus pacem peteret, aut ad internecionem bellum persequeretur: „non enim propter privatas inimicitias susceptum hoc bellum esse, sed pro republica." *Lucius* viros dignitate pares miseratus laudavit, promisitque *se aliam missurum legationem*: &, præfatus neminem se invenire seipso magis idoneum, mox *ipse* absque feciali *profectus est*; præcurrentibus qui nunciarent Cæsari, descendere Lucium. Et confestim *Cæsar ivit obviam*. Jamque in

A. U. 714.

τῶν φίλων, καὶ περιφανεῖς ἦσαν ἀπὸ τῶν σημείων καὶ τῆς στολῆς, οὔσης ἑκατέρῳ στρατηγικῆς. Καὶ ὁ Λεύκιος, ἀποθέμενος τοὺς φίλους, ᾔει σὺν δύο ῥαβδούχοις μόνοις, ἐπιδεικνὺς ἅμα τὴν γνώμην ἀπὸ τοῦ σχήματος· καὶ ὁ Καῖσαρ, συνιεὶς, ἀντεμιμεῖτο ἐς δεῖγμα καὶ ὅδε τῆς εἰς τὸν Λεύκιον εὐνοίας ἐσομένης. ὡς δὲ σπεύδοντα εἶδε τὸν Λεύκιον παρελθεῖν ἐς τὸ Καίσαρος χαράκωμα, ἵνα καὶ τῷδε φαίνοιτο ἑαυτὸν ἐπιτρέπων ἤδη, προλαβὼν ὁ Καῖσαρ ἐξῆλθε τοῦ χαρακώματος, ἵνα ἐλεύθερον εἴη τῷ Λευκίῳ βουλεύεσθαί τε καὶ κρίνειν ἔτι περὶ αὐτοῦ. τοιάδε ἀλλήλοις, προσιόντες, ἀπό τε τῆς στολῆς καὶ τῶν σχημάτων προαπεδείκνυντο.

XLII. Ὡς δὲ ἐπὶ τὴν τάφρον ἀφίκοντο, προσηγόρευσάν τε ἀλλήλους, καὶ ὁ Λεύκιος ἔφη· ΕΙ ΜΕΝ ξένος ὢν ἐπολέμησα, ὦ Καῖσαρ, αἰσχρὰν ἂν τὴν τοιαύτην ἧσσαν ἡγούμην, καὶ αἰσχίονα ἔτι τὴν παράδοσιν· καὶ τῆσδε τῆς αἰσχύνης εἶχον ἀπαλλαγὴν εὔκολον παρ᾽ ἐμαυτοῦ.

Lin. 91. ἀπὸ τῶν ἱμείων *Edd. Cand.* σημείων *recte Aug.* *L.* 95. συνεὶς *Edd. Prætuli Aug.*

mutuum conſpectum, ſtipati amicis, venerant, & uterque inſignibus cultuque imperatorio inter ceteros conſpicuus erat: quum *Lucius*, ſemotis amicis, duobus tantum lictoribus comitatus, prodiit, geſtu ſimul vultuque ſententiam animi ſignificans. Intellexit *Cæſar*, & imitatus eſt ejus exemplum, ut ſignum daret futuræ benevolentiæ. Ut vero *Lucium* vidit accelerare gradum, & intra vallum parare introgredi, ut nimirum hoc ipſo jam declararet, ſe Cæſaris poteſtati permittere ſe velle; tum vero ipſe *Cæſar* prior extra vallum prodiit, ut liberum etiam nunc eſſet Lucio rebus ſuis conſulere. Hæc illi, dum ſe invicem accedunt, ipſo habitu geſtuque ſibi mutuo ſignificabant.

42. Ut vero ad foſſam perventum eſt, poſt mutuam ſalutationem, ſic LUCIUS exorſus eſt: „SI cum externo hoſte bellum hoc geſſiſſem, CÆSAR; vinci turpe putarem, turpius etiam deditionem facere: & ab hac ignominia memet ipſum eximendi facilis ratio patebat. Quo-

Ἐπεὶ δὲ πολίτῃ διηνέχθην, καὶ ὁμοτίμῳ, καὶ ὑπὲρ τῆς *A. U.* πατρίδος· οὐκ αἰσχρὸν ἡγοῦμαι, μετὰ τοιᾶσδε προφά- 714. σεως ὑπὸ τοιοῦδε ἡττῆσθαι. καὶ τάδε λέγω, οὐ παραιτούμενος παθεῖν ὅ τι θέλοις· (διὰ γάρ τοι τοῦτο ἐς τὸ στρατόπεδον τὸ σὸν ἄνευ σπονδῶν ἱέμην·) ἀλλ' ἵνα τοῖς ἄλλοις αἰτήσω συγγνώμην, δικαίαν τε, καὶ τοῖς σοῖς πράγμασι συμφέρουσαν. Δεῖ δέ με, τοῦτο ἐπιδεικνύντα, διελεῖν τὸν λόγον, ὑπέρ τε ἐκείνων, καὶ ὑπὲρ ἐμαυτοῦ· ἵνα, μόνον ἐμὲ τῶν γεγονότων αἴτιον ἐπιγνοὺς, εἰς ἐμὲ τὴν ὀργὴν συναγάγῃς, μὴ νομίσῃς δὲ ἐλεγχθήσεσθαι μετὰ παῤῥησίας, (ἄκαιρον γάρ·) ἀλλὰ μετὰ ἀληθείας, ἧς οὐκ ἔνι μοι χωρὶς εἰπεῖν.

XLIII. Ἐγὼ τὸν πρός σε πόλεμον ἠράμην, οὐχ ἵνα σε καθελὼν διαδέξωμαι τὴν ἡγεμονίαν· ἀλλ' ἵνα τὴν ἀριστοκρατίαν ἀναλάβω τῇ πατρίδι, λελυμένην ὑπὸ τῆς τῶν τριῶν ἀρχῆς, ὡς οὐδ' ἂν αὐτὸς ἀντείποις. καὶ γὰρ ὅτε συνίστασθε αὐτὴν, ὁμολογοῦντες εἶναι παράνομον,

Lin. 12. διὰ γάρ σοι τοῦτο *Aug. Ven.* *L.* 13. ἱέμην *Aug.* *L.* 17 *sq.* τὴν ὀργὴν *Aug.*

„niam autem & cum cive mihi res fuit, & cum pari dignitate prædito, idque pro republica; turpe mihi non existimo, talem caussam postquam defendi, a tali viro me vinci. Atque hoc a me dictum sit, non quod recusem pati quidquid volueris, quippe qui ob id ipsum sine feciali ad tua castra profectus sum: sed ut aliis petam veniam, justam illam quidem, & tuis simul rebus utilem. Quod ut apertius declarem, separabo caussam illorum a mea; ut, postquam me solum fuisse belli auctorem intellexeris, in me „iram effundas, neque vero putes velle me invehi in te licentius, (quod intempestivum sane fuerit;) sed vere tantum eloqui velle quæ dissimulare nec possum nec debeo.

43. „Ego hoc bellum contra te suscepi, non ut, te sublato, in principatum ipse succederem, sed ut reipublicæ moderationem ad optimates revocarem, quæ sub hac triumvirali potestate sepulta jacet; quod ne ipse quidem negaveris. Quum enim hanc potestatem induxistis, fassi non esse legitimam, constituistis

A. U. 714.

ὡς ἀναγκαίαν καὶ πρόσκαιρον ἐτίθεσθε, Κασσίου καὶ Βρούτου περιόντων ἔτι, καὶ ὑμῶν ἐκείνοις οὐ δυναμένων συναλλαγῆναι. ἀποθανόντων δὲ ἐκείνων, οἳ τὸ τῆς στάσεως κεφάλαιον ἦσαν, καὶ τῶν ὑπολοίπων, εἴ τινα λείψανά ἐστιν, οὐ τῇ πολιτείᾳ πολεμούντων, ἀλλὰ ὑμᾶς δεδιότων, ἐπὶ δὲ τούτῳ καὶ τῆς πενταετίας παριούσης· ἀνακύψαι τὰς ἀρχὰς ἐπὶ τὰ πάτρια ἠξίουν, οὐ προτιμῶν οὐδὲ τὸν ἀδελφὸν τῆς πατρίδος, ἀλλ' ἐλπίζων μὲν ἐπανελθόντα πείσειν ἑκόντα, ἐπειγόμενος δὲ ἐπὶ τῆς ἐμῆς ἀρχῆς γενέσθαι. καὶ εἰ κατῆρξας σὺ, μόνος ἂν καὶ τὴν δόξαν εἶχες. ἐπεὶ δὲ δή σε οὐκ ἔπειθον, ᾤμην, ἐλθὼν ἐπὶ Ῥώμην, καὶ ἀναγκάσαι, πολίτης τε ὢν, καὶ γνώριμος, καὶ ὕπατος. Αἱ μὲν αἰτίαι, δι' ἃς ἐπολέμησα, αὗται μόναι· καὶ οὔτε ὁ ἀδελφὸς, οὔτε Μάνιος, οὔτε Φουλβία, οὔτε ἡ κληρουχία τῶν ἐν Φιλίπποις πεπολεμηκότων, οὔτε ἔλεος τῶν γεωργῶν τὰ κτήματα ἀφαιρουμένων. ἐπεὶ κἀγὼ τοῖς τοῦ ἀδελφοῦ τέλεσιν οἰκιστὰς ἔδωκα, οἳ τὰ τῶν

„eam ut ad tempus necessariam, quoad Cassius Brutusque superstites forent, quibuscum in gratiam redire numquam possetis. Jam sublatis illis, qui dissensionis caput fuerant; reliquis vero, si quæ tamen sunt reliquiæ, non contra rempublicam arma ferentibus, sed quod a vobis sibi metuant; decurrente etiam præterea, quod præfinistis, quinquennio; postulavi, ut magistratibus oppressis caput rursus attollere liceret: & ne fratris quidem rationem magis, quam patriæ, habui; sperans, me idem ei persuasurum quamprimum reverterit, & properans rem absolvere magistratus mei tempore. Ejus rei si tu initium fecisses, solus abstulisses gloriam. Verum quoniam persuadere tibi non potui; ad Urbem cum exercitu profectus, putavi vel vi id me effecturum, qui & civis essem, & nobilis, & Consul etiam. Hæ solæ sunt hujus belli, a me suscepti, caussæ; non frater, non Manius, non Fulvia, non agri divisi victori ad Philippos militi, non miseratio veterum colonorum, suis ejectorum possessionibus: nam me quoque auctore adsignati sunt

οἱ τὰ τῶν γεωργῶν ἀφαιρούμενοι τοῖς στρατευσαμένοις διένεμον. ἀλλά με σὺ τήνδε τὴν διαβολὴν αὐτοῖς διέβαλλες, τὴν αἰτίαν τοῦ πολέμου μεταφέρων ἐπὶ τὴν κληρουχίαν ἀπὸ σαυτοῦ· καὶ τῷδε μάλιστα αὐτοὺς ἑλὼν, ἐμοῦ κεκράτηκας. ἀνεπείσθησαν γὰρ, πολεμεῖσθαί τε ὑπ' ἐμοῦ, καὶ ἀμύνεσθαί με ἀδικοῦντα. Τεχνάζειν μὲν δή σε ἔδει, πολεμοῦντα· νικήσαντα δὲ, εἰ μὲν ἐχθρὸς εἶ τῆς πατρίδος, κἀμὲ ἡγεῖσθαι πολέμιον, ἃ ἔδοξα συνοίσειν αὐτῇ, βουληθέντα, οὐ δυνηθέντα δὲ διὰ λιμόν.

A. U. 714.

XLIV. Λέγω δὲ ταῦτα ἐγὼ, ἐγχειρίζων μὲν ἐμαυτόν σοι, καθάπερ εἶπον, εἰς ὅ τι θέλοις· ὑποδεικνὺς δὲ, οἷα καὶ πρότερον καὶ νῦν ἐφρόνησα περὶ σοῦ, καὶ φρονῶν ἔτι μόνος ἀφικόμην. καὶ περὶ μὲν ἐμοῦ τοσαῦτα. Περὶ δὲ τῶν φίλων καὶ τοῦ στρατοῦ παντὸς, εἰ μὲν οὐχ ὑποπτεύσεις με λέγοντα, συμβουλεύσω τὰ σοὶ μάλιστα ὠφελιμώ-

Lin. 47. κεκρατήκασιν *Edd. Cand. male. Recte Aug. ut jam viderant Gelen. & H. Steph.* *L.* 49. νικῆσαι δὲ *mend. Edd. Cand. Verum rursus ded. Aug.* *L.* 51. *Duo verba* οὐ δυνηθέντα (*quæ adjicienda vidit Gelen. & post eum H. Steph.*) *desiderantur in Edd. & Cand. Sed dedit Aug.* *L.* 57. συμβουλεύω *Edd. Prætuli Aug. Ven. Cand. monente etiam H. Stephano.*

„gnati sunt agri fratris legionibus, spoliatis possessoribus pristinis. Sed hanc calumniam tu in me commentus es, ut causam, cur hoc bellum a me susceptum sit, transferres a te in agrorum distributionem. Eaque maxime arte conciliatis veteranorum animis, victoriam de me obtinuisti. Persuasum enim illi habent, se a me bello peti; atque adeo injurias, a me ipsis intentatas, armis sibi esse propellendas. Sed his nimirum artibus utendum tibi fuit, quoad bellum gerebas: nunc, victoriam adeptus, si es ho-„stis reipublicæ, me quoque hostem judices necesse est, qui, quum reipublicæ quocumque modo possem consulere voluerim, fame tantum sum prohibitus.

44. „Atque hæc dum dico, trado me ipsum (ut jam ante declaravi) tibi, ut de me quidquid volueris statuas. Ostendere autem tibi volui, quid & prius de te senserim, & etiam nunc sentiam quum solus ad te veni. Sed hæc *hactenus de meipso.* Quod autem *ad amicos et ad universum exercitum* adtinet, nisi suspectum tibi est, *con-*

A. U. 714. τατα, μηδὲν δεινὸν αὐτοὺς ἐργάσασθαι διὰ τὴν ἐμὴν καὶ τὴν σὴν φιλονεικίαν· μηδὲ, ἄνθρωπον ὄντα, καὶ τύχῃ χρώμενον, οὐ βεβαίῳ πράγματι, κωλῦσαι τοὺς κινδυνεύειν ἐν τύχαις ἢ χρείαις ἐθελήσοντάς ποτε ὑπὲρ σοῦ, μαθόντας ἐκ τοῦδε τοῦ σοῦ νόμου, δυσέλπιστον σώζεσθαι μὴ κατορθοῦσιν. Εἰ δὲ ὕποπτος ἢ ἄπιστος ἐχθροῦ πᾶσα συμβουλὴ, οὐκ ὀκνῶ καὶ παρακαλεῖν σε, μὴ τοὺς φίλους τίνυσθαι τῆς ἐμῆς ἁμαρτίας καὶ τύχης, ἀλλ' εἰς ἐμὲ συναγαγεῖν πάντα, τὸν πάντων αἴτιον. ἀφ' ἧς δὴ γνώμης αὐτοὺς ὑπελιπόμην, ἵνα μὴ δόξαιμι, σοὶ τάδε λέγων ἐκείνων ἀκουόντων, ὑπὲρ ἐμαυτοῦ τεχνάζων εἰπεῖν.

XLV. Τοιαῦτα δὲ εἰπόντος τοῦ Λευκίου καὶ σιωπήσαντος, ὁ Καῖσαρ ἔλεξεν· Ἄσπονδον μέν σε κατιόντα πρὸς ἐμὲ ὁρῶν, ὦ Λεύκιε, ὑπήντησα τῶν ἐμῶν ἐρυμάτων ἔτι ἐκτὸς ὄντα κατὰ σπουδὴν, ἵνα ἔτι κύριος ὢν σεαυτοῦ

Lin. 59. τὴν, *ad* σὴν φιλονεικ. *adjeci ex Aug.* *L.* 61. ἢ χρείαις *caret Reg. B.* *Ibid.* ἐθελήσαντάς ποτε *edit.* 1. 2. *male. Recte Aug. & edit.* 3. *L.* 73. ὄντι *puto legendum.*

„*filium* utiliſſimum dedero: ne quid durius in eos animadvertas propter meam tuamque contentionem: &, quum homo ſis, fortunæ obnoxius, (quæ inſtabilis ſemper res eſt,) ne eos, qui in aliis fortunæ caſibus temporibuſque propugnatores fortaſſe tui erant futuri, deterreas, ſi a teipſo exemplum editum viderint, nihil de ſalute ſperandum niſi victoribus. Quod ſi omne conſilium ab hoſte profectum ſuſpectum eſt atque infidum; non piget me *precibus* etiam tecum agere, ne ab amicis meis pœnas exigas mei ſive „peccati ſive infortunii; ſed in me potius omnia conferas, qui cauſa ſum horum omnium. Quamobrem conſulto etiam illos poſt me reliqui, ne, ſi illis audientibus hæc ad te verba facerem, meam ſimul cauſam callide viderer agere velle."

45. Poſtquam finem dicendi *Lucius* fecit; CÆSAR in hanc ſententiam reſpondit: „Quum viderem te, *LUCI*, ſine feciali ad me deſcendere; extra munimenta mea feſtinus occurri, ut libere etiam nunc rebus tuis conſuleres, eaque dicere facereque poſ-

βουλεύοιο, καὶ λέγοις καὶ πράττοις ἃ νομίζεις σοι συνοίσειν. ἐπεὶ δὲ, ὅπερ ἐστὶ τῶν ἀδικεῖν ὁμολογούντων, σαυτὸν ἡμῖν ἐπιτρέπεις, οὐδὲν ἔτι δέομαι διελέγχειν ὅσα σὺν τέχνῃ μου κατεψεύσω. ἐξαρχῆς δέ με βλάψειν ἑλόμενος, καὶ νῦν ἔβλαψας. σπονδὰς γάρ μοι τιθέμενος, ἔτυχες ἂν ἠδικημένου, καὶ νενικηκότος. ἄσπονδον δὲ σαυτόν τε καὶ τοὺς φίλους ἐπιτρέπων ἡμῖν καὶ τὸν στρατὸν, ἀφαιρῇ μὲν πᾶσαν ὀργὴν, ἀφαιρῇ δὲ καὶ τὴν ἐξουσίαν, ἣν σπενδόμενος ἂν ἔδωκας ὑπ' ἀνάγκης. συμπέπλεκται γὰρ οἷς ἄξιον ὑμᾶς παθεῖν, τὸ προσῆκον ὧν ἐμὲ δίκαιόν ἐστι ποιεῖν· ὃ δὴ προτιμήσω, διά τε τοὺς θεοὺς, καὶ δι' ἐμαυτὸν, καὶ διὰ σὲ, ὦ Λεύκιε· καὶ οὐ ψεύσω σε τῆς προσδοκίας, ἣν ἔχων περὶ ἐμαυτοῦ κατελήλυθας. Ταῦτα μὲν ἔλεξαν ἀλλήλοις, ὡς ἐκ τῶν ὑπομνημάτων ἦν ἐς τὸ δυνατὸν τῆσδε τῆς φωνῆς μεταβαλεῖν τεκμαιρομένῳ τῆς γνώμης τῶν λελεγμένων. Καὶ διεκρίθησαν, ὁ μὲν Καί- A. U. 714.

Lin. 78. μοι, post γὰρ, abest ab Aug. L. 82. ἔδωκα Edd. MSS. & Cand. quod in ἔδωκας utique mutandum putavi.

„ses, quæ tibi putes conducere. Quoniam autem, (quod facere ii solent, qui se peccasse profitentur) in potestatem meam te tradis; non opus est amplius, ut, quæ mihi scite sed falso objecisti, coarguam. Sed, sicut inde ab initio consilium mihi nocendi cepisti, sic etiam nunc mihi noces. Quodsi enim de pacis conditionibus mecum egisses, tum in victorem merito infensum incidisses. Nunc, quum absque ullis conditionibus te & amicos tuos & exercitum nostræ fidei permittis, non solum iram omnem eximis, sed & potestatem aufers, „quam, si pactiones intervenissent, necessario eras concessurus. Etenim mihi non solum, *quid meriti vos sitis*, respiciendum est; verum etiam, *me quid deceat*. Atque hanc equidem partem præfero, vel propter deos, vel propter me ipsum, vel propter te, *Luci*: nec fallam hanc tuam de me exspectationem, quæ huc te adduxit." Talis fuit utriusque oratio, quatenus ex *Commentariis* sententiam dictorum agnoscere & in hujus sermonis vim licuit transferre. His dictis, a se invicem discesserunt: *Cæsar* miratus *Lucium*, quod nul-

A. U. 714. σαρ ἐν ἐπαίνῳ καὶ θαύματι τὸν Λεύκιον ἔχων, οὐδὲν (ὡς ἐν συμφοραῖς) ἀγεννὲς οὐδὲ ἀσύνετον εἰπόντα· ὁ δὲ Λεύκιος τὸν Καίσαρα, τοῦ τε ἤθους καὶ βραχυλογίας. οἱ λοιποὶ δ' ἐτεκμαίροντο τῶν εἰρημένων ἐκ τῆς ὄψεως ἑκατέρων.

XLVI. Καὶ ὁ Λεύκιος ἔπεμπε τοὺς χιλιάρχους, τὸ σύνθημα τῷ στρατῷ ληψομένους παρὰ τοῦ Καίσαρος. Οἱ δὲ ἔφερον αὐτῷ τὸν ἀριθμὸν τοῦ στρατοῦ· καθὰ καὶ νῦν ἔθος ἐστὶ, τὸν αἰτοῦντα τὸ σύνθημα χιλίαρχον ἐπιδιδόναι τῷ βασιλεῖ βιβλίον ἐφήμερον τοῦ ἀριθμοῦ τοῦ παρόντος. οἱ μὲν δὴ τὸ σύνθημα λαβόντες, τὰς φυλακὰς ἔτι διὰ χειρὸς εἶχον· οὕτω κελεύσαντος αὐτοῦ Καίσαρος, νυκτοφυλακεῖν ἑκατέρους τὰ ἴδια. Ἅμα δὲ ἡμέρᾳ ὁ μὲν Καῖσαρ ἔθυεν, ὁ δὲ Λεύκιος αὐτῷ τὸν στρατὸν ἔπεμπε, τὰ μὲν ὅπλα φέροντα, ἐσκευασμένον δ' ὡς ἐν ὁδοιπορίᾳ. οἱ δὲ τὸν Καίσαρα πόῤῥωθεν ὡς αὐτοκράτορα ἠσπάσαντο, καὶ ἔστησαν ἐν μέρει κατὰ τέλος οὗ προσέταξεν ὁ Καῖσαρ, ἐφ' ἑαυτῶν, οἵ τε κληροῦχοι, καὶ οἱ νεοστράτευτοι, κεχωρισμένοι. Ὁ δὲ Καῖσαρ, ἐκτελεσθεί-

Lin. 93. ἐκτεκμαίροντο *Edd. mend. ex Reg. B. Recte Reg. A. Aug. Ibid.* τοῦ εἰρημένων *edit.* 1. *vit.*

lum ei (sicut in calamitatibus fieri fere solet) vel humile verbum vel inconsideratum excidisset; *Lucius*que vicissim, laudans *Cæsaris* clementiam & in dicendo concinnam brevitatem. Reliqui ex utriusque vultu de orationum sententia conjecturam fecerant.

46. Tum *Lucius* tribunos misit, qui *tesseram a Cæsare* acciperent. Iidemque simul *matriculam* ei adtulerunt; sicut hodieque mos est, ut tribunus, quum tesseram petit, simul Imperatori exhibeat *libellum diurnum, in quo præsentium militum numerus est consignatus.* Accepta tessera, non intermiserunt tamen excubias; ita enim jusserat Cæsar, ut ea nocte seorsim uterque excubaret exercitus. Postridie vero, prima luce *Cæsar* sacra peregit; *Lucius*que ad eum misit exercitum, arma gestantem, sed iter facientium habitu: qui Cæsarem e longinquo Imperatorem consalutarunt, & legionatim constiterunt quo loco Cæsar mandaverat, veterani discreti a tironibus. *Cæsar*, peractis sacris, laurea ceu victoriæ sym-

σης τῆς θυσίας, στεψάμενος δάφνῃ, συμβόλῳ νίκης, προὐκάθητο ἐπὶ βήματος, καὶ προσέταξε μὲν ἅπασι θέσθαι τὰ ὅπλα, ἔνθα εἱστήκεσαν. θεμένων δὲ, τοὺς κληρούχους ἐκέλευσεν ἐγγυτέρω προσελθεῖν, διεγνωκὼς ἄρα ὀνειδίσαι τῆς ἀχαριστίας, καὶ φοβῆσαι. προέγνωστο δὲ μέλλων ὧδε ποιήσειν, καὶ ὁ στρατὸς ὁ τοῦ Καίσαρος, εἴτε ἐξεπίτηδες, οἷα προδιδάσκονται πολλάκις, εἴτε ὑπὸ πάθους, ὡς πρὸς οἰκείους ἄνδρας, ἀκρατεῖς τῆς δεδομένης σφίσι τάξεως γενόμενοι, προσιοῦσι τοῖς Λευκιανοῖς οἷα συνεστρατευμένοις ποτὲ περιχυθέντες, ἠσπάζοντο καὶ συνέκλαιον, καὶ τὸν Καίσαρα ὑπὲρ αὐτῶν παρεκάλουν, καὶ οὔτε βοῶντες ἔτι ἐπαύοντο οὔτε συμπλεκόμενοι, κοινωνούντων ἑκατέροις τοῦ πάθους ἤδη καὶ τῶν νεοστρατεύτων· οὐδὲ ἦν τι διακεκριμένον ἔτι οὐδ᾽ εὔκριτον.

A. U. 714.

XLVII. Ὅθεν οὐδὲ ὁ Καῖσαρ ἔτι τῆς γνώμης ἐκράτει, ἀλλὰ, μόλις τὴν βοὴν καταπαύσας, εἶπε τοῖς ἰδίοις· Ὑμεῖς μὲν, ὦ συστρατιῶται, οὕτως αἰεί μοι προσενήνεχθε,

Lin. 9. δάφνην σύμβολον Eld. ex emend. C. Steph. δάφνη σύμβολον Regii. δάφνην συμβόλων Ven. δάφνῃ συμβόλῳ dedit Aug.

bolo redimitus, ſedit pro tribunali, juſſitque omnes in veſtigio arma deponere. Quo facto veteranos propius juſſit accedere; conſtitueratque ingratitudinem exprobrando terrorem eis incutere. Sed quum ante cognitum fuiſſet hoc Cæſaris conſilium; milites ejus, ſive ex compoſito, quemadmodum ſæpe in hujuſmodi occaſionibus præmonentur, ſive ſuopte adfectu moti erga homines neceſſarios, ordinem quo ſtare juſſi erant deſerentes, in progredientium Lucianorum, commilitonum quondam ſuorum, complexus effundebantur, collacrimanteſque rogabant pro eis Cæſarem, nec ab eorum amplexu divellebantur, nec deſinebant obclamare interim. Jamque etiam tirones utrimque ſimili adfectu erant commoti, & erat confuſus omnium diſcurſus clamorque.

47. Quamobrem ne CÆSAR quidem perſtitit in ſententia; ſed, ægre ſedato clamore, ſic ſuos adlocutus eſt: „Ita vos, *COMMILITONES*, ſemper erga me geſſiſtis, ut nihil fru-

A. U. 714. ὡς μηδενὸς ἀτυχῆσαι παρ' ἐμοῦ δύνασθαι. ἐγὼ δὲ τοὺς μὲν νεοστρατεύτους ὑπ' ἀνάγκης ἐστρατεῦσθαι Λευκίῳ νομίζω· τουτωνὶ δὲ, τῶν συνεστρατευμένων τε πολλάκις ὑμῖν, καὶ νῦν ὑφ' ὑμῶν σωζομένων, ἐπενόουν πυθέσθαι, Τί παθόντες ἐξ ἡμῶν, ἢ τίνος χάριτος οὐκ ἀξιωθέντες, ἢ τί μεῖζον παρ' ἑτέρου προσδοκῶντες, ἐναντία ὅπλα ἤραντο ἐμοὶ, καὶ ὑμῖν, καὶ ἑαυτοῖς; ἃ γὰρ ἔκαμνον ἐγὼ, πάντα ἦν ὑπὲρ τῆς κληρουχίας, ἧς τοῦ μέρους καὶ τούτοις μετῆν. καὶ, εἰ συγχωρεῖτέ μοι, καὶ νῦν πεύσομαι. Οὐκ ἐπιτρεπόντων δὲ, ἀλλὰ ἀπαύστως παρακαλούντων· Συγχωρῶ ὑμῖν ὅσα βούλεσθε, ἔφη, καὶ ἀφείσθωσαν ἀπαθεῖς τῶν ἡμαρτημένων, ἂν ἐς τὸ μέλλον ὑμῖν ὅμοια φρονῶσιν. Ὑπισχνουμένων δ' ἑκατέρων, βοαί τε καὶ χάριτες ἦσαν ἐς τὸν Καίσαρα· καί τισιν αὐτῶν ἐπέτρεψέ τινας καὶ ὑποδέξασθαι, τὸ δὲ πλῆθος ἐκέλευε σκηνοῦν ἔνθα περ εἱστήκεσαν ἄποθεν, ἕως ὁ Καῖσαρ αὐτοῖς πόλεις τε ἐς χειμασίαν, καὶ τοὺς ἀπάξοντας ἐς τὰς πόλεις δοίη.

Lin. 26. μηδενὸς εὐτυχῆσαι *Edd. mend. Recte Aug. L. 34.* παύσομαι *edit. 1. mend. L. 37.* ἂν *carent Aug. Ven. male.*

„stra a me petere possitis. Ego vero tirones quidem necessitate coactos militasse puto auspiciis Lucii. Ex his autem vestræ prius militiæ non semel sociis, qui nunc vestris servantur precibus, constitueram quærere: quanam tandem nostra injuria, aut qua frustrati gratia, aut quid majus exspectantes ab alio, arma tulerint contra me, & vos, & seipsos? Nam quos labores pertuli, eos omnes pro agrorum sustinui divisione, cujus & isti fuere participes. Et nunc etiam ex illis equidem, si modo sinitis, id quæram." Non sinentibus vero militibus, sed indesinenter eum deprecantibus: „Concedo, inquit, vobis quidquid petitis: dimittantur impune, dummodo posthac eadem vobiscum sentiant." Id utrique sunt polliciti; & adclamationibus gratiarumque actionibus omnia resonabant. Tum *Cæsar* nonnullis e suis permisit etiam hospitio excipere quosdam; reliquam vero multitudinem seorsim jussit tentoria figere, quo loco primum constiterant, donec ad hiberna eis a Cæsare designarentur oppida, & duces adtribuerentur qui in oppida eos deducerent.

XLVIII. Καθεζόμενος δ' ἐπὶ τοῦ βήματος, ἐκάλει τὸν Λεύκιον ἐκ τῆς Περυσίας μετὰ τῶν ἐν τέλει Ῥωμαίων. Καὶ κατῄεσαν πολλοὶ μὲν ἀπὸ τῆς βουλῆς, πολλοὶ δὲ ἀπὸ τῶν καλουμένων ἱππέων, ἐν ὄψει πάντες οἰκτροὶ καὶ ὀξείᾳ μεταβολῇ. Ἅμα δὲ ἐξῄεσαν οὗτοι τῆς Περυσίας, καὶ φρουρὰ τὴν πόλιν περιέστη. Ἐπεὶ δὲ ἀφίκοντο, Λεύκιον μὲν ὁ Καῖσαρ ἑαυτῷ παρεστήσατο· τῶν δὲ ἄλλων τοὺς μὲν οἱ φίλοι Καίσαρος, τοὺς δὲ οἱ λοχαγοὶ διέλαβον, προδεδιδαγμένοι πάντες, ἐς τιμὴν ἀπάγειν ἅμα καὶ φυλακὴν ἄσημον. Τοὺς δὲ Περυσίους, ἀπὸ τοῦ τείχους παρακαλοῦντας, ἐκέλευσεν ἥκειν, ἄνευ τῆς βουλῆς μόνης· καὶ ἐλθοῦσι συνέγνω. οἱ δὲ βουλευταὶ, τότε μὲν φύλαξι παρεδόθησαν, μετ' οὐ πολὺ δὲ ἀνῃρέθησαν, χωρὶς Αἰμιλίου Λευκίου, ὃς ἐν Ῥώμῃ δικάζων ἐπὶ τῷ φόνῳ Γαΐου Καίσαρος, τὴν καταδικάζουσαν ἤνεγκε φανερῶς, καὶ πάντας φέρειν ἐκέλευεν, ὡς ἐκλυομένους μύσος. *A. U. 714.*

XLIX. Τὴν δὲ Περυσίαν αὐτὴν ἐγνώκει μὲν ὁ Καῖσαρ ἐς διαρπαγὴν ἐπιτρέψαι τῷ στρατῷ. Κέστιος δέ τις αὐ-

Lin. 48. καὶ, *ante* φρουρὰ, *inserui ex Aug.* *L.* 58. μύσος *Reg. A.*

48. Deinde ſedens pro tribunali *Cæſar evocavit Peruſia Lucium, cum nobilioribus ex Romanis.* Et deſcenderunt multi ſenatores, multi item equites Romani; omnes ſqualidi, & ob tam repentinam mutationem miſerabiles. Quibus Peruſiam egreſſis, præſidium ad urbem circumcirca eſt adpoſitum. Ubi vero venerunt, Lucium *Cæſar* adſumſit: e ceteris alios amici Cæſaris, alios centuriones inter ſe partiti ſunt; omnes præmoniti, ut & in honore & in latente cuſtodia eos haberent. *Peruſinos* quoque, deprecantes e mœnibus, accedere ad ſe juſſit, abſque tamen decurionibus; & poſtquam acceſſerunt, venia eos donavit. *Decuriones* vero tunc quidem in carcerem miſſi, ſed paulo poſt *necati* ſunt; *excepto Lucio Æmilio*, qui Romæ olim in judicio, quo percuſſores poſtulabantur Cæſaris, palam atrum tulerat calculum, & alios hortatus erat, ut idem facerent & ab eo ſcelere ſe expiarent.

49. *Peruſiam* ipſam diripiendam militi dare *Cæſar* ſtatuerat. Sed quidam oppidanorum, non ſatis ſanæ mentis

A. U. 714.

τῶν, ὑπομαργότερος, ἐν Μακεδονίᾳ πεπολεμηκὼς, καὶ ἐκ τοῦδε Μακεδονικὸν αὐτὸν ὀνομάζων, ἐνέπρησε τὴν οἰκίαν, καὶ ἑαυτὸν ἐς τὸ πῦρ ἐνέβαλε· καὶ ἄνεμοι τὴν φλόγα ὑπολαβόντες, περιήνεγκαν ἐς ὅλην Περυσίαν, καὶ ἐνεπρήσθη, χωρὶς τοῦ Ἡφαιστείου μόνου. Τόδε μὲν δὴ τῇ Περυσίᾳ τέλος ἦν, δόξαν ἀρχαιότητος ἐχούσῃ καὶ ἀξιώσεως. ὑπὸ γὰρ Τυρρηνῶν πάλαι φασὶν αὐτὴν ἐν ταῖς πρώταις δυόδεκα πόλεσιν ἐν Ἰταλίᾳ γενέσθαι· διὸ καὶ τὴν Ἥραν ἔσεβον, οἷα Τυρρηνοί. τότε δὲ ὅσοι τὰ λείψανα τῆς πόλεως διέλαχον, τὸν Ἥφαιστον σφίσιν ἔθεντο θεὸν εἶναι πάτριον ἀντὶ τῆς Ἥρας. Τῆς δ᾽ ἐπιούσης, ὁ μὲν Καῖσαρ ἐσπένδετο ἅπασιν. ὁ δὲ στρατὸς οὐκ ἐπαύετο ἐπί τισι θορυβῶν, ἕως ἀνῃρέθησαν· καὶ ἦσαν οἱ μάλιστα Καίσαρος ἐχθροὶ, Κανούτιός τε καὶ Γάϊος καὶ Φλάβιος καὶ Κλώδιος ὁ Βιθυνικὸς, καὶ ἕτεροι. Τοῦτο μὲν δὴ τέλος ἦν τῆς ἐν Περυσίᾳ Λευκίου πολιορκίας· καὶ ὁ πόλεμος ὧδε

Lin. 62. αὐτὸν *Edd. invitis MSS.* *L. 73. Pro* καὶ ἦσαν οἱ *dat* οἱ ἦσαν οἱ *Aug.* *L. 74.* Κανεύντιος *h. l. Edd. Aug. Recte Cand.* *Ibid. Utique* ΓΑΙΟΣ ΦΛΑΒΙΟΣ (*vel* Φλαύϊος) *videtur legendum, deleto medio* καὶ, *cum Gelenio.*

homo, *Cestius* nomine, qui, quoniam in Macedonia quondam militaverat, Macedonicum se consueverat vocare, proprias ædes incendit, seque in ignem injecit: tum, ventis flammam per totam urbem difflantibus, *cremata sunt omnia*, fano Vulcani tantum excepto. Hic finis fuit *Perusiæ*, urbis antiquitate & dignitate inclytæ. Ajunt enim, unam e *duodecim priscis Etruscorum urbibus* fuisse. post recentem Tyrrhenorum in Italiam adventum conditis: quamobrem, *Etrusco more*, *Junonem colebant.* Tunc vero qui diviserunt inter se urbis reliquias, *Vulcanum* vice Junonis tutelare numen sibi optaverunt. Postero die Cæsar nobilibus omnibus veniam pacemque concessit. Sed milites ipsius tumultuari contra quosdam non desierunt, donec *interfecti* sunt: erantque iidem *inimicissimi Cæsaris*, *Canutius*, *C. Flavius*, *Clodius Bithynicus*, & alii. Hic fuit EXITUS PERUSINÆ OBSIDIONIS. atque sic simul *bellum*

ἐξελέλυτο, χαλεπώτατός τε καὶ χρόνιος ἐλπισθεὶς ἔσεσθαι τῇ Ἰταλίᾳ. *A. U. 714.*

L. Καὶ γὰρ Ἀσίνιος αὐτίκα καὶ Πλάγκος καὶ Οὐεντίδιος καὶ Κράσσος καὶ Ἀτήιος, καὶ ὅσοι τῆσδε τῆς γνώμης ὄντες ἕτεροι στρατὸν εἶχον οὐκ εὐκαταφρόνητον, ἀλλ' εἰς τρισκαίδεκα τέλη γεγυμνασμένα, καὶ ἱππέας ἑξακισχιλίους ἐπὶ πεντακοσίοις, ἡγούμενοι τὸ κεφάλαιον τοῦ πολέμου Λεύκιον γεγονέναι, ἐπὶ θάλασσαν ᾔεσαν, ἕτεροι ἑτέρας ὁδούς· οἱ μὲν ἐς Βρεντέσιον, οἱ δ' ἐπὶ Ῥαβέννης, οἱ δ' ἐς Τάραντα· καὶ οἱ μὲν ἐς Μοῦρκον ἢ Ἀηνόβαρβον, οἱ δὲ ἐς Ἀντώνιον· διωκόντων αὐτοὺς τῶν Καίσαρος φίλων, καὶ σπονδὰς προτεινόντων, καὶ οὐκ ἐθέλουσιν ἐνοχλούντων τὰ πεζὰ μάλιστα· ὧν δὴ καὶ μόνων Ἀγρίππας ἔπεισε μεταθέσθαι δύο τέλη Πλάγκου, ἀποληφθέντα ἐν Καμερίᾳ. Ἔφυγε δὲ καὶ Φουλβία μετὰ τῶν τέκνων ἐς Δικαιαρχείαν, καὶ ἀπὸ Δικαιαρχείας ἐς τὸ Βρεντέσιον, μετὰ τρισχιλίων ἱππέων, οἳ αὐτῇ παρὰ τῶν στρατηγῶν πομποὶ ἀπεστάλησαν. ἐν δὲ τῷ Βρεντεσίῳ νεῶν πέντε

Lin. 78 sq. τῇ Ἰταλίᾳ γὰρ Ἀσίνιος *Aug. omissa conjunct.* καὶ, *& nulla interposita punctione, male. L. 82. Pro* τέλη *dant vulgo corrupte Edd. Verum id. Aug. Ven. & vidit Musgrav. L. 89.* καὶ μόνων *Edd. invitis MSStis. L. 90.* ἀπολειφθέντα *Edd. invit. MSS.*

hoc, *contra Lucium* gestum, quod & difficillimum fore visum erat & diu Italiam vexaturum, *confectum* est.

50. Nam *Asinius*, *Plancus*, *Ventidius*, *Crassus*, *Atejus*, & quotquot alii harum partium erant, qui copias non spernendas habebant, sed ad XIII legiones exercitatas, & equites quingentos super sex millia, rati *caput belli fuisse Lucium*; ad mare protinus se contulerunt, alius alia via; pars Brundusium, pars Ravennam, pars Tarentum. Et eorum alii Murcum aut Ahenobarbum, alii Antonium petierunt; persequentibus Cæsarianis, & pacem offerentibus, recusantesque infestantibus, & pedites quidem maxime: e quibus solis etiam *Agrippa* duabus legionibus *Planci*, *Cameriæ* interceptis, persuasit ut signa ad se transferrent. Profugit & *Fulvia* cum filiolis suis Puteolos, & inde porro Brundusium, deducentibus tribus millibus equitum, qui ei in hoc a ducibus exercituum fuerant missi. Brundusii

A. U. 714. μακρῶν ἐκ Μακεδονίας οἱ μεταπέμπτων γενομένων, ἐπιβᾶσα ἀνήγετο. καὶ αὐτῇ Πλάγκος συνέπλει, τὸν ἔτι λοιπὸν αὐτοῦ στρατὸν ἐκλιπὼν ὑπὸ δειλίας· οἱ δὲ Οὐεντίδιον σφῶν εἵλοντο ἄρχειν. Ἀσίνιος δὲ Ἀηνοβάρβῳ συνετίθετο φιλίαν εἶναι πρὸς Ἀντώνιον· καὶ ἐπέστελλον ἄμφω τάδε τῷ Ἀντωνίῳ, καὶ ἀποβάσεις αὐτῷ καὶ ἀγορὰν, ὡς αὐτίκα ἥξοντι, εὐτρέπιζον ἀνὰ τὴν Ἰταλίαν.

LI. Ἄλλῳ δ᾽ Ἀντωνίου στρατῷ πολλῷ περὶ Ἄλπεις, οὗ Φούφιος Καλῆνος ἡγεῖτο, ὁ Καῖσαρ ἐπεβούλευεν· ἤδη μὲν τὸν Ἀντώνιον ὑπονοῶν, ἐλπίζων δὲ, ἢ φίλῳ ἔτι ὄντι φυλάξειν, ἢ πολεμοῦντος, μεγάλην ἰσχὺν προσλήψεσθαι. διαμέλλοντος δὲ ὅμως ἔτι αὐτοῦ, καὶ τὸ εὐπρεπὲς περιορωμένου, ὁ Καλῆνος ἐτελεύτησε· καὶ ὁ Καῖσαρ, ὡς ἐς ἀμφότερα πρόφασιν εὑρὼν, ᾔει, καὶ παρελάμβανε τόν τε στρατὸν, καὶ τὴν Κελτικὴν ἐπ᾽ αὐτῷ καὶ Ἰβηρίαν,

Lin. 2. εὐτρέπιζον *Reg.B. Aug.* εὐτρεπίζων *Reg. A. Correxit C.Steph. L.* 4. *Pro* φιλίαν *dant* φίλος *Edd.* φίλιος *Reg. A.* φίλος *Reg.B. Recte Aug. Ven. Cand. L.* 5. ὄντι *carent Edd. cum Reg. A. & Aug. Dedit Ven.* ἔτι ὄντα *Reg. B. L.* 8. ὡς *ante* ἐς *carent Edd. cum Reg. A. Deler. Aug. Ven.* ὡς ἀμφοτ. *Reg.B. & caret* ἐς.

vero quinque naves longas, accitas e Macedonia, conſcendit: ſolvitque una cum ea *Plancus*, qui præ ignavia reliquum etiam ſuum exercitum deſeruit. Planci milites auſpiciis *Ventidii* ſe tradiderunt. *Aſinius vero Ahenobarbum pertraxit ad amicitiam Antonii:* qua de re ambo certiorem illum per literas fecerunt; eidemque, ut mox in Italiam adventuro, loca opportuna quo exſcenderet parabant, & commeatus expediebant.

51. Jam vero de alio Antonii exercitu, qui *Fuſio Caleno* duce circa Alpes agebat, ad ſe pertrahendo *Cæſar* cogitabat. Scilicet quum ipſum Antonium jam ſuſpectum haberet; ſperabat, ſi in amicitia ille permaneret, ſe ei illas copias conſervaturum; ſin bellum agitaret, magno robore contra eum ſe auctum iri. Sed dum cunctatur etiamnum & honeſtam occaſionem quærit, *Calenus fato functus* eſt. Qua occaſione arrepta, ad utrumvis conſilium opportuna, profectus eo *Cæſar*, & *exercitum Caleni occupavit*, et *Galliam Hiſpaniamque*,

καὶ τάσδε οὔσας ὑπὸ Ἀντωνίῳ, Φουφίου τοῦ παιδὸς Καληνοῦ καταπλαγέντος τε αὐτὸν, καὶ παραδόντος ἅπαντα ἀμαχεί. Ὁ μὲν δὴ Καῖσαρ, ἐν τῷδε ἔργῳ ἕνδεκα τέλη στρατοῦ καὶ χώρας τοσάσδε λαβὼν, τοὺς ἡγεμόνας αὐτῶν παρέλυε τῆς ἀρχῆς, καὶ ἰδίους ἐπιστήσας, ἐς Ῥώμην ἀνέστρεφεν. A. U. 714.

LII. Ὁ δὲ Ἀντώνιος, χειμῶνος μὲν ἔτι, τοὺς πρέσβεις κατεῖχε τοὺς ἀπὸ τῶν κληρουχιῶν πρὸς αὐτὸν ἐλθόντας, ἔτι ἐπικρύπτων ἃ ἐφρόνει. Ἦρι δ' ἐκ μὲν Ἀλεξανδρείας ἐς Τύρον ὥδευεν· ἐκ δὲ Τύρου διαπλέων ἐπὶ Κύπρου καὶ Ῥόδου καὶ Ἀσίας, ᾔσθετο τῶν ἐν τῇ Περυσίᾳ γεγονότων, καὶ τὸν ἀδελφὸν ἐμέμφετο, καὶ Φουλβίαν, καὶ μάλιστα πάντων Μάνιον. Φουλβίαν μὲν οὖν εὗρεν ἐν Ἀθήναις, ἐκ Βρεντεσίου φυγοῦσαν. Ἰουλίαν δ' αὐτῷ τὴν μητέρα Πομπήϊος, ἐς αὐτὸν διαφυγοῦσαν, ἔπεμπεν ἐκ Σικελίας ἐπὶ νεῶν μακρῶν, καὶ παρέπεμπον αὐτὴν οἱ τῶν ἀμφὶ τὸν Πομπήϊον ἄριστοι, Λεύκιός τε Λίβων ὁ κηδε-

Lin. 11. Φουλβίου *Edd. mend. ex Reg. A.* Φουφίου *recte Reg. B. Aug. Ven. Cand.* *L.* 18. τοὺς, *post* κατεῖχε, *caret edit.* 3. *oper. errore.* *Ibid.* αὐτὸν *Edd. inv. MSS.* *L.* 19. εἶτε ἐπικρύπτων *Edd. mend.* *Recte* ἔτι *Aug. Cand.* *L.* 21. *Artic.* τῇ *ad* Περυσίᾳ *adjeci ex Aug. & Reg. B.* *L.* 25. αὐτῷ *Edd. invitis Reg. B. Aug. Novem verba ab* Ἰουλίαν *l.* 24. *usque* διαφυγοῦσαν *omisit Reg. A.*

Antonii provincias; Fufio, Caleni filio, per metum omnia dedente sine certamine. Sic *Cæsar* eadem opera undecim legionibus & provinciis amplissimis potitus, amotis præfectis, & ex sua factione substitutis in eorum locum aliis, *Romam reversus* est.

52. At *Antonius* legatos ex coloniis ad se missos, dum hiems durabat, detinuit, sua adhuc celans consilia. Primo autem vere *Alexandria* terrestri itinere Tyrum profectus, inde per Cyprum & Rhodum *in Asiam* navigavit. Ibi nuncio de rebus ad Perusiam gestis accepto, vituperavit fratrem & Fulviam, & maxime omnium Manium. Tum *Fulviam Athenis invenit*, profugam e Brundusio: *Juliam* vero *matrem Pompejus e Sicilia*, quo confugerat, *ad eum misit* longis navibus; deducentibus Pompejanis optimatibus, *L. Libone*, *Pompeji*

A. U. 714. σῆς τοῦ Πομπηίου, καὶ Σατουρνῖνος, καὶ ἕτεροι· ὅσοι, χρήζοντες τῆς Ἀντωνίου μεγαλοπραγίας, ἠξίουν αὐτὸν συναλλαγέντα Πομπηίῳ, σύμμαχον ἐπὶ Καίσαρι λαβεῖν Πομπήιον. Ὁ δὲ αὐτοῖς ἀπεκρίνατο, χάριν μὲν ἐπὶ τῇ μητρὶ γιγνώσκειν Πομπηίῳ, καὶ ἀποτίσειν ἐν χρόνῳ· αὐτὸς δὲ, εἰ μὲν πολεμοίη Καίσαρι, χρήσεσθαι Πομπηίῳ συμμάχῳ· εἰ δ᾽ ἐμμένοι τοῖς πρὸς αὐτὸν ὡμολογημένοις ὁ Καῖσαρ, πειράσεσθαι καὶ Πομπήιον Καίσαρι συναλλάξαι. ὁ μὲν ὧδε ἀπεκρίνατο.

LIII. Ὁ δὲ Καῖσαρ ἐς Ῥώμην ἀπὸ Κελτῶν ἐπανιὼν, ᾔσθετο μὲν τῶν ἐς Ἀθήνας διαπεπλευκότων· τὸ δὲ τῆς ἀποκρίσεως ἀκριβὲς ἄρα οὐκ εἰδὼς, ἐξώτρυνε τοὺς κληρούχους ἐπὶ τὸν Ἀντώνιον, ὡς κατάγοντα μετὰ τῶν γεωργῶν Πομπήιον, ὧν αὐτοὶ τὰ χωρία ἔχουσιν· ἐς γὰρ δὴ Πομπήιον οἱ πλέονες τῶν γεωργῶν ἐπεφεύγεσαν. καὶ πιθανοῦ τοῦ διερεθίσματος ὄντος, οὐδ᾽ ὡς οἱ κληροῦχοι

Lin. 28. Σαρτουρνῖνος *Edd. mend. ex Reg. B. Recte Aug. Reg. A. L.* 30. ἐπὶ Καίσαρος *Aug. Vert. male. L.* 33. πολεμῶν *Edd. Rectius Aug. Ibid.* χρήσασθαι *Edd. Pratuli Aug. L.* 35. πειράσασθαι *Reg. B. a prim. manu. L.* 40. καταγ. μὲν τῶν γεωργῶν *Edd. ex Reg. B.* μὲν γεωργῶν *Reg. A. Verum dedit Aug. L.* 42. ὑπερεύγεσαν *Aug.*

socero, & *Saturnino*, aliisque, qui, desiderantes Antonii ingenium majoribus rebus gerendis aptum, cupiebant Antonium cum Pompejo reducere in gratiam, & socium Pompejo adversus Cæsarem adsciscere. Respondit *Antonius*: „se quidem gratias Pompejo pro remissa matre habere, relaturumque suo tempore: quodsi bellum gerendum sit contra Cæsarem, usurum illius societate; sin pacta servaverit Cæsar, daturum operam, ut Pompejus reconcilietur Cæsari."

53. *Cæsar*, in Urbem reversus e Gallia, cognovit quidem, navigasse illos Athenas: sed quid responsi tulerint nescius, *invidiam apud novos colonos facere instituit Antonio*, quasi is Pompejum cum veteribus colonis in possessiones, quas ipsi nunc tenerent, reduceret: nam illorum plerique ad Pompejum confugerant. Quod quamquam probabile erat ad irritandos novos colonos argumentum; ne sic quidem faciles illi se

προθύμως ἐπὶ τὸν Ἀντώνιον ἐστράτευον· οὕτως ἡ δόξα τῶν ἐν Φιλίπποις γεγονότων ἐδημαγώγει τὸν Ἀντώνιον. ὁ δὲ Καῖσαρ Ἀντωνίου μὲν καὶ Πομπηΐου καὶ Ἀηνοβάρβου κατὰ πλῆθος ὁπλιτῶν ὑπεροίσειν ἐνόμιζεν· ἦρχε γὰρ τελῶν ἐς τότε τεσσαράκοντα πλεόνων· ναῦν δὲ οὐδεμίαν ἔχων, οὐδὲ καιρὸν ἐς ναυπηγίαν, ὠρρώδει, ναῦς ἐκείνων ἐχόντων πεντακοσίας, μὴ τὴν Ἰταλίαν περιπλέοντες ἐς λιμὸν περιενέγκαιεν. ὧν ἐνθυμούμενος (ἐλέλεκτο δὲ αὐτῷ περὶ πολλῶν παρθένων ἐς γάμον) ἐπέστελλε Μαικήνα, συνθέσθαι Σκριβωνίᾳ τῇ Λίβωνος ἀδελφῇ, τοῦ κηδεύοντος Πομπηΐῳ, ἵν᾽ ἔχοι καὶ τήνδε ἀφορμὴν ἐς διαλύσεις εἰ δεήσειε. Καὶ πυθόμενος ὁ Λίβων, ἐπέστελλε τοῖς οἰκείοις, ἐγγυᾶν αὐτὴν τῷ Καίσαρι προθύμως. Ὁ δὲ Καῖσαρ τῶν Ἀντωνίου φίλων καὶ στρατῶν ὅσους ὑπώπτευε, διέπεμπεν ἐπὶ προφάσεων, ἄλλους ἀλλαχοῦ, καὶ Λέπιδον ἐς τὴν ἐψηφισμένην αὐτῷ Λιβύην, ἄγοντα τῶν Ἀντωνίου τελῶν τὰ ὑποπτότατα ἕξ.

Lin. 47. ἐνόμιζεν *Reg. B. Aug. Ven. perperam.* *L.* 52. Μουκήνα *Ven. Sic & Aug. in contextu, sed in marg. recte* Μαικήνα. *L.* 57. ὑπόπτευε *Edd. Recte Aug.* *L.* 60. ὑπόπτα *Edd. ex ingenio C. Steph.* ὑπόπτατα *Regii, mend. Recte Aug. Ven.* & suspectiores *Cand.*

ad militandum contra *Antonium* præbebant: tantum favoris pugna Philippensis Antonio paraverat. *Cæsar* autem Antonium & Pompejum Ahenobarbumque legionum quidem numero superaturum se putabat: habebat enim jam supra quadraginta legiones: sed quum navem nullam haberet, nec tempus ad ædificandas suppeteret; vehementer timebat, ne illi, quingentis instructi navibus, oras Italiæ circumnavigando, famem inferrent. Id secum reputans, quamvis multarum virginum offerretur ei conditio, Mæcenati scripsit, ut cum *Scribonia*, *sorore Libonis*, *soceri Pompeji*, transigeret; ut nimirum hæc quoque occasio ipsi pateret pacem cum Pompejo, si opus esset, componendi. His cognitis *Libo*, suis mandavit per literas, ut eam absque cunctatione collocarent Cæsari. Tum *Cæsar* quotquot Antonianos amicos aut exercitus suspectos habebat, alios alio diversis nominibus ablegavit, & *Lepidum* in designatam ei Africam misit, cum sex legionibus Antonianis, quæ præ ceteris suspectæ ipsi erant.

A. U. 714.

LIV. Λεύκιον δὲ καλέσας, ἐπῄνει μὲν ἐς φιλαδελφίαν, εἰ, τῇ Αντωνίου γνώμῃ ὑπομεμενηκὼς, ἴδιον τὸ ἁμάρτημα ποιοῖτο· ὠνείδιζε δὲ ἐς ἀχαριστίαν, εἰ τοιούτου τυχὼν αὐτοῦ, μηδὲ νῦν ὁμολογοίη περὶ Αντωνίου, σαφῶς ἤδη καὶ Πομπηίῳ συνθέσθαι λεγομένου. Εγὼ δέ σοι πιστεύων, ἔφη, Καληνοῦ τελευτήσαντος, τά τε ἔθνη τὰ ὑπ' αὐτῷ καὶ τὸν στρατὸν, ἵνα μὴ ἄναρχος εἴη, διὰ τῶν ἐμαυτοῦ φίλων διῴκουν Αντωνίῳ· ἀλλὰ νῦν, ἐκφανείσης τῆς ἐνέδρας, ἐκεῖνά τε ἐμαυτοῦ πάντα ποιοῦμαι, καὶ σοὶ πρὸς τὸν ἀδελφὸν ἀπιέναι θέλοντι συγχωρῶ μετὰ ἀδείας. Ὁ μὲν οὕτως εἶπεν, εἴτε πειρώμενος τοῦ Λευκίου, εἴτε τὸ λεχθὲν ἐκπεσεῖν ἐθέλων ἐς τὸν Αντώνιον. Ὁ δὲ, οἷα καὶ πρότερον, εἶπε· Φουλβίας μὲν ᾐσθόμην οὔσης μοναρχικῆς· ἐγὼ δὲ συνεχρώμην τοῖς τοῦ ἀδελφοῦ στρατοῖς ἐς τὴν ἁπάντων ὑμῶν καθαίρεσιν. καὶ νῦν, εἰ μὲν ἐπὶ καταλύσει τῆς μοναρχίας ἔρχοιτο ὁ ἀδελφὸς, καὶ φανερῶς καὶ λαθὼν οἰχήσομαι πρὸς αὐτὸν, ἀγωνιούμενος

Lin. 62. ὑπομεμενηκὼς *Edd. Recte Aug.* *L.* 63. ἐποιεῖτο *Edd:* ποιεῖτο *Regii, Ven. Verum rursus dedit Aug.* *L.* 64. αὐτοῦ *caret Reg. B.*

54. *Lucium* autem *Antonium*, ad ſe accitum, laudavit quidem ut erga fratrem pium, ſi, in fratris ſententia etiam nunc permanens, culpam ſibi propriam faceret: exprobravit autem ingratitudinem, ſi, ne nunc quidem, poſt tantum a ſe acceptum beneficium, fateretur de Antonio, qui jam manifeſte quoque conſpiraſſe cum Pompejo diceretur. „Ego, tibi credens, inquit, poſt Caleni mortem, provincias ejus & exercitum, ne ſine imperatore eſſent, per meos amicos adminiſtravi pro Antonio: nunc vero, deprehenſis inſidiis, & illa omnia mea facio; & tibi, ſi velis ad fratrem abire, ut id ſecure facias, permitto." Hæc *Cæſar:* ſive ut tentaret Lucium, ſive ut ad ipſum Antonium permanarent quæ dixiſſet. Ad hæc LUCIUS in eamdem ſententiam, quam prius *Cæſari* declaraverat, reſpondit: „Fulviæ quidem ingenium noram, dominationis cupidum: ſed ego fratris copiis utendum duxeram ad tollendam dominationem veſtrûm omnium. Et nunc quoque, ſi venturus ſit frater ut ſubvertat monarchiam, clamve palamve proficiſcar ad

A. U. 714.

αὖθις ὑπὲρ τῆς πατρίδος πρὸς σέ, καίπερ ἤδη μοι γενόμενον εὐεργέτην. εἰ δ᾽ ἐπιλέγοιτο κἀκεῖνος καὶ διακρίνοι τοὺς συμμοναρχήσοντας αὐτῷ, πολεμήσω σὺν σοὶ πρὸς αὐτόν, ἕως ἂν ἐγῶμαι μηδὲ σὲ μοναρχίαν καθίστασθαι. Τὸ γὰρ τῆς πατρίδος αἰεὶ προθήσω καὶ χάριτος καὶ γένους. Ὧδε μὲν ὁ Λεύκιος εἶπεν. Ὁ δὲ Καῖσαρ, αὐτὸν καὶ τέως ἐν θαύματι ἄγων, Οὐκ, ἔφη, μὲν οὐδὲ βουλόμενον ἐπάξεσθαι κατὰ ἀδελφοῦ, πιστεύσειν δὲ ὡς τοιῷδε ἀνδρὶ πᾶσαν Ἰβηρίαν καὶ τὸν ἐν αὐτῇ στρατόν, ὑποστρατηγούντων αὐτῷ τῶν νῦν ἡγουμένων αὐτῆς Πεδουκαίου τε καὶ Λευκίου. Οὕτω μὲν δὴ καὶ Λεύκιον ὁ Καῖσαρ ἀπέπεμπε σὺν τιμῇ, καὶ διὰ τῶν ὑποστρατήγων ἐφύλασσεν ἀφανῶς.

LV. Ἀντώνιος δὲ Φουλβίαν μὲν ἐν Σικυῶνι νοσηλευομένην ἀπέλιπεν, ἀπὸ δὲ Κορκύρας ἐς τὸν Ἰόνιον ἔπλει, στρατῷ μὲν οὐ πολλῷ, ναυσὶ δὲ διακοσίαις, ἃς ἐν Ἀσίᾳ πεποίητο. Πυθόμενος δέ, Ἀηνόβαρβον ἀπαντᾶν αὐτῷ ναυσὶ καὶ στρατῷ πολλῷ, οὐ δοκοῦντά τισιν οὐδ᾽ ἐπὶ ταῖς

Lin. 81. *Malim* ἡγῶμαι. *L.* 82. πρεσθήσω *Edd.* [illegible] *Recte Aug.*
L. 87. αὐτῆς Σπεδουκαίου *Edd. mend. Recte Aug.* [illegible]

„eum, certaturus iterum contra te pro patria, quamvis adfectus a te maximo beneficio. Sin & ille denuo quærit feligitque fibi tyrannidis focios; pro te ftabo contra eum, quamdiu nec te putavero monarchiam machinari. *Semper enim apud me plus valebit patriæ amor, quam vel gratia vel cognatio.*" Tum *Cæfar*, & nunc & olim *Lucium admiratus:* „Non ufurum fe, ait, illius opera contra fratrem, ne fi vellet quidem fequi: fed ei, ut tali viro, univerfam *Hifpaniam* cum exercitu, qui in ea fit, crediturum, „legatofque additurum eos, qui nunc pro prætoribus eam provinciam adminiftrent, *Peducæum* & *Lucium* (*Carinatem*)." Ita & *Lucium* (*Antonium*) *Cæfar ablegavit honoris fpecie*, legatis clam eumdem obfervare juffis.

55. Ceterum *Antonius Fulviam Sicyone reliquit* languidam: & folvens Corcyra *navigavit per Ionium mare* cum non magnis copiis, claffe vero ducentarum navium, quas in Afia confecerat. Certiorque factus, *Ahenobarbum* cum claffe & frequentibus copiis *venire fibi obviam*; quum

A. U. 714.

διαπεμφθείσαις σπονδαῖς εἶναι βέβαιον· (ἦν γὰρ Αἠνόβαρβος τῶν κατεγνωσμένων τε ἐκ δίκης ἐπὶ Γαΐῳ Καίσαρι φόνου, καὶ προγεγραμμένων ἐπὶ τῇ καταδίκῃ, καὶ ἐν Φιλίπποις Ἀντωνίῳ καὶ Καίσαρι πεπολεμηκότων·) ὅμως ἔπλει, πέντε ναυσὶν ἐπιβὰς ταῖς ἀρίσταις, ἵνα φαίνοιτο πιστεύων, καὶ τὰς λοιπὰς ἐκ διαστήματος ἕπεσθαι κελεύσας. Καθορωμένου δὲ ἤδη τοῦ Αἠνοβάρβου, παντί τε τῷ στρατῷ καὶ παντὶ τῷ στόλῳ μετ' ὀξείας εἰρεσίας προσπλέοντος, ἔδεισεν ὁ Πλάγκος, Ἀντωνίῳ παρεστώς· καὶ ἐπισχεῖν αὐτὸν ἠξίου τὸν πλοῦν, καὶ προπέμψαι τινὰς ἐς πεῖραν, ὡς πρὸς ἀμφίβολον ἄνδρα. Ὁ δὲ, εἰπὼν, αἱρεῖσθαι παρασπονδούμενος ἀποθανεῖν μᾶλλον, ἢ σώζεσθαι δειλὸς ὀφθεὶς, ἔπλει. Πλησίον τε ἦσαν ἀλλήλων ἤδη, καὶ αἱ ναυαρχίδες ἐκ τῶν σημείων ἐφαίνοντο, καὶ ἀλλήλαις προσέπλεον· καὶ τῶν ῥαβδούχων ὁ ἡγούμενος Ἀντωνίῳ, κατὰ τὴν πρῶραν (ὥσπερ ἔθος ἐστὶν) ἑστὼς, εἴτε ἐκλαθόμενος, ὅτι ἀμφίβολος ἀνὴρ καὶ στρατεῦ

Lin. 4. Πλάγκος *Regii & Aug. ut alibi.*

nonnullis hic videretur parum conſtans futurus in inchoato fœdere; (damnatus enim judicio fuerat, ut conſpirationis in Cæſarem conſcius, tum relatus in proſcriptorum numerum, & Philippenſi prælio contra Cæſarem Antoniumque ſteterat:) nihilo minus pergebat navigare cum quinque optimis navibus, ne videretur diffidere, reliquis ex intervallo ſubſequi juſſis. Quumque jam in conſpectu eſſet *Ahenobarbus*, cum omnibus copiis univerſaque claſſe propinquans citato remigio, *extimuit Plancus*, *adſtans Antonio*: cenſuitque ſiſtendum curſum, & præmittendos qui fidem viri dubiam explorarent. Sed *Antonius*, mori ſe malle, inquit, deceptum fœdere, quam evadere ſpecimine pavoris edito: curſumque continuavit. Jamque propius ad ſe invicem accedebant, & petebant ſe mutuo naves prætoriæ, inſignibus ſuis conſpicuæ; quum primarius *lictor Antonii*, ut mos eſt, *ſtans in prora*, (ſive oblitus, adventare virum dubiæ fidei, qui & ipſe proprium duceret exercitum;

σ̄ρατοῦ κἀκεῖνος ἡγούμενος ἰδίου προσπλέει, εἴτε ἀπὸ εὐγενεστέρου φρονήματος, ὡς ὑπηκόοις ἢ ἐλάσσοσιν ἀνδράσιν ὑπαντῶσι, προσέταξε καθελεῖν τὸ σημεῖον. οἱ δὲ καθῄρουν τε, καὶ τὴν ναῦν ἐς τὰ πλάγια τῆς Ἀντωνίου νεὼς περιέστρεφον. ὡς δὲ καὶ συνιδόντες ἀλλήλους ἠσπάσαντο, καὶ ὁ στρατὸς ὁ τοῦ Ἀηνοβάρβου τὸν Ἀντώνιον ἡγεμόνα προσεῖπεν, ὁ μὲν Πλάγκος ἀνεθάρρει μόλις· ὁ δὲ Ἀντώνιος ἐς τὴν ἑαυτοῦ ναῦν τὸν Ἀηνόβαρβον ἀναδεξάμενος, ἐς Παλόεντα κατέπλευσεν, ἔνθα ἦν Ἀηνοβάρβῳ καὶ τὸ πεζόν· καὶ ὁ Ἀηνόβαρβος τῆς σκηνῆς ἐξίστατο Ἀντωνίῳ.

A. U. 714.

LVI. Ἐντεῦθεν ἐπὶ Βρεντεσίου διέπλεον, φυλασσομένου πρὸς πέντε Καίσαρος τάξεων. καὶ οἱ Βρεντέσιοι τὰς πύλας ἀπέκλειον, Ἀηνοβάρβῳ μὲν, ὡς ἐκ πολλοῦ πολεμίῳ, Ἀντωνίῳ δὲ, ὡς πολέμιον ἐπάγοντι. Ὁ δὲ, ἀγανακτῶν, καὶ ἡγούμενος εἶναι τάδε καλλωπίσματα, τὸ δ᾽ ἀληθὲς ἀποκλείεσθαι πρὸς τῶν Καίσαρος φρουρῶν, γνώμῃ Καίσαρος, διετάφρευε τῆς πόλεως τὸν ἰσθμὸν καὶ ἀπετείχιζεν. ἔστι δ᾽ ἡ πόλις χεῤῥόνησος, ἐν μηνοειδεῖ

Lin. 30. χειῤῥόνησος *Aug. ut alibi.*

citum; ſive generoſa quadam uſus ſuperbia,) velut ſubditis aut inferioribus occurrentibus, imperavit *detraherent inſignia.* Fecerunt illi, & navem adpulerunt ad latus navis Antonii. Secuta deinde eſt ſalutatio inter imperatores; & *milites Ahenobarbi Antonium Imperatorem conſalutarunt*: ac tunc quidem vix animum Plancus recepit. Antonius, recepto in ſuam navem Ahenobarbo, ad *Paloënta* adpulit, ubi erant Ahenobarbi terreſtres copiæ: ibique *Antonio Ahenobarbus ſuo ceſſit tentorio.*

56. Inde quum *Brunduſium* navigaſſent, ubi quinque Cæſarianæ cohortes erant in præſidio; *Brunduſini portas clauſerunt Ahenobarbo*, ut hoſti veteri, *et Antonio*, ut hoſtem adducenti. Tum indignatus *Antonius*, & prætextum hunc exiſtimans, re autem vera ſe a Cæſarianis excludi ex ſententia Cæſaris, cervicem, qua urbs continenti jungitur, *foſſa muroque interſepſit*: ſitum eſt enim *Brunduſium* in peninſula, juxta portum in lunata cornua excurrentem. Jamque

A. U. 714.

λιμένι. καὶ οὐκ ἦν ἔτι τοῖς ἐξ ἠπείρου προσελθεῖν ἀνάντει λόφῳ, διατετμημένῳ τε καὶ διατετειχισμένῳ. ὁ δὲ Αντώνιος καὶ τὸν λιμένα, μέγαν ὄντα, φρουρίοις πυκνοῖς περιεφράξατο, καὶ τὰς νήσους τὰς ἐν αὐτῷ. ἔς τε τὰ παράλια τῆς Ιταλίας περιέπεμπεν, οἷς εἴρητο τὰ εὔκαιρα καταλαμβάνειν. ἐκέλευε δὲ καὶ Πομπήϊον ἐπιπλεῖν τῇ Ιταλίᾳ, καὶ δρᾷν ὅ τι δύναιτο. Ὁ δὲ, ἄσμενος αὐτίκα Μηνόδωρον σὺν ναυσὶ πολλαῖς καὶ στρατοῦ τέσσαρσι τέλεσιν ἐκπέμψας, Σαρδὼ, Καίσαρος οὖσαν, καὶ τὰ ἐν αὐτῇ δύο τέλη, περιέσπασε, τὴν συμφροσύνην Αντωνίου καταπλαγέντας. τῆς δὲ Ιταλίας Σιποῦντα μὲν τῆς Αὐσονίας οἱ τοῦ Αντωνίου κατέλαβον· Θουρίους δὲ καὶ Κωνσεντίαν Πομπήϊος ἐπολιόρκει, καὶ τὴν χώραν ἐπενέμετο τοῖς ἱππεῦσιν.

LVII. Ὁ δὲ Καῖσαρ, ὀξείας καὶ πανταχοῦ τῆς ἐπιχειρήσεως γενομένης, ἐς μὲν τὴν Αὐσονίδα ἔπεμπεν Αγρίππαν, ἐπικουρεῖν τοῖς πονουμένοις. καὶ ὁ Αγρίπ-

Lin. 36. ἐκέλευεν *Aug.* *L.* 39. Σαρδᾶ *Edd.* Σαρδὼ *ded. Aug.* *L.* 40 *sq.* σωφροσύνην *Reg. A. male.* *L.* 41 *sq.* Σιγνοῦντα *Edd. MSS. & Cand. Correxi mendam.* *L.* 42. οἱ Αντωνίου *Edd.* τοῦ *dedit Aug.* *L.* 44. ἐπένεμε *Edd. Verius Aug. Ven.*

non amplius adiri a continente urbs poterat, transverſim interciſo interſeptoque clivo, per quem in eam adſcenditur. Tum portum quoque, ſpatioſum admodum, crebris caſtellis *Antonius* obſedit, &, quas inſulas ſinus complectitur, communivit. Miſitque circum oras Italiæ, qui paſſim loca opportuniora occuparent; hortatus ſimul *Pompejum*, ut claſſe invaderet Italiam, &, quantum poſſet, infeſtaret. Et *Pompejus* perlibenter ſtatim *Menodorum*, cum valida claſſe & quatuor legionibus, miſit; qui *Sardiniam*, quæ tunc erat Cæſaris, duaſque Cæſaris legiones, quæ ibi erant, abſtraxit, attonitas metu *conſpirationis Antonii cum Pompejo*. In ora autem Italiæ *Sipuntem*, Auſoniæ oppidum, ceperunt Antoniani: *Thurios* & *Conſentiam* Pompejus obſedit; equiteſque agros earum juſſit depopulari.

57. *Cæſar*, tam ſubito tot locis impugnatus, *Agrippam* miſit *in Auſoniam*, ut obſeſſis opem ferret. Is ex coloniis ejus viæ veteranos juſſit ſubſequi, quaſi ducturus con-

πας τοὺς ἐν ὁδῷ κληρούχους ἦγεν, ἐκ διαστήματος ἑπομένους, ὡς ἐπὶ Πομπήϊον ἰόντας· μαθόντες δὲ, Ἀντωνίου γνώμῃ τὰ γιγνόμενα εἶναι, ἀνέστρεφον αὐτίκα διαλανθάνοντες. καὶ τοῦτο μάλιστα κατέπληξε τὸν Καίσαρα. Ὁδεύων δ' ὅμως ἐς τὸ Βρεντέσιον αὐτὸς μεθ' ἑτέρου στρατοῦ, τοῖς κληρούχοις αὖθις ἐνετύγχανε, καὶ μετεδίδασκε, καὶ τοὺς ὑφ' ἑαυτοῦ συνῳκισμένους ἦγεν, αἰδουμένους, καὶ γνώμην ἐν ἀποῤῥήτῳ ποιουμένους, Ἀντώνιον καὶ Καίσαρα συναλλάσσειν· εἰ δ' ὁ Ἀντώνιος ἀπειθῶν πολεμοίη, Καίσαρι ἀμύνειν. Ὁ δὲ Καῖσαρ ἐν μὲν Κανυσίῳ τινὰς ἡμέρας ἐνοσηλεύετο· παντὶ δὲ ὢν ἔτι κρείσσων Ἀντωνίου κατὰ τὸ πλῆθος, εὗρε τὸ Βρεντέσιον ἀποτετειχισμένον, καὶ οὐδὲν ἀλλ' ἢ παρεστρατοπέδευε, καὶ τοῖς γιγνομένοις ἐφήδρευεν. A. U. 714.

LVIII. Ὁ δ' Ἀντώνιος ἐκράτει μὲν τοῖς ὀχυρώμασιν, ὡς πολὺ μείονας ἔχων ἀσφαλῶς ἀπομάχεσθαι. ἐκάλει δὲ τὸν στρατὸν ἐκ Μακεδονίας κατὰ σπουδὴν, καὶ

Lin. 52. ἐς τὸν Βρεντ. *edit.* 2. 3. *vitiose.* *L.* 56 *sq.* ἀπείθων *Edd. mend. ex Reg. B. Recte Aug. Reg. A.* *L.* 63. ὡς πολὺ ΠΛΕΟΝΑΣ ἔχων *Edd. Cand. Rectius* (*puto*) *Aug. quem secutus sum.*

tra Pompejum: sed illi, ubi intellexerunt geri hæc ex Antonii sententia, clam domum reversi sunt; quæ res maxime Cæsarem terruit. Mox tamen ipse, cum alio exercitu *Brundusium* iter ingressus, tempestivis alloquiis reducere veteranos ad officium instituit; eosque, qui ab ipso in colonias fuerant deducti, reverentia sui permovit, ut sequerentur. Et hi quidem clam inter se constituebant, Cæsari Antonium reconciliare; sin pertinaciter in bello perseveraret Antonius, tueri Cæsaris dignitatem. *Cæsar*, per aliquot dies valetudinis causa Canusii retentus, *Brundusium pervenit*: ubi, munimentis interclusam urbem deprehendens, quamquam utique copiis adhuc superior erat *Antonio*, tamen nihil aliud agere potuit, nisi ut castris juxta positis tempus occasionemque observaret.

58. *Antonius*, quum munitionibus prævaleret, quamquam multo inferior numero, facile defendere se ab hostili impetu poterat. Sed advocavit tamen propere exercitum

A. U. 714.

ἐτέχναζεν, ἑσπέρας ἀφανῶς ἀνάγεσθαι ναῦς μακρὰς τε καὶ στρογγύλας ἰδιωτικοῦ πλήθους, οἳ μεθ' ἡμέραν ἄλλοι μετ' ἄλλους κατέπλεον ὡπλισμένοι, καθάπερ ἐκ Μακεδονίας ἐπιόντες, ἐφορῶντος αὐτῶν τὸν ἐπίπλουν τοῦ Καίσαρος. ἤδη δ' αὐτῷ καὶ τὰ μηχανήματα γεγένητο, καὶ ἐπιχειρήσειν ἔμελλε τοῖς Βρεντεσίοις, ἀχθομένου τοῦ Καίσαρος, ὅτι μὴ εἶχεν ἐπαμύνειν. περὶ δὲ ἑσπέραν ἑκατέροις ἀγγέλλεται, Σιποῦντα μὲν Ἀγρίππας ἀναλαβὼν, Πομπήϊος δὲ Θουρίων μὲν ἀπεωσμένος, Κωνσεντίαν δ' ἔτι περικαθήμενος· ἐφ' οἷς ὁ Ἀντώνιος ἐδυσχέραινεν. Ὡς δὲ καὶ Σερουΐλιος ἀπηγγέλθη προσιὼν τῷ Καίσαρι μετὰ χιλίων καὶ πεντακοσίων ἱππέων, οὐ κατασχὼν τῆς ὁρμῆς ὁ Ἀντώνιος, εὐθὺς ἀπὸ τοῦ δείπνου μεθ' ὧν εὗρεν ἑτοίμων φίλων, καὶ ἱππέων τετρακοσίων, μάλα θρασέως ἐπειχθεὶς, ἐπέπεσε τοῖς χιλίοις καὶ πεντακοσίοις εὐναζομένοις ἔτι περὶ πόλιν Ὑρίαν· καὶ ἐκπλήξας, ἀμαχεὶ παρέλαβέ τε, καὶ αὐτῆς ἡμέρας ἐς τὸ

Lin. 68. ἀφορῶντος *Reg. B.* *L.* 69. ἤδη δ' αὐτῶν *Edd. male. Recte Aug.* *L.* 72. Σιπιοῦντα *rursus Edd. & MSS. Correxi, ut supra.* *L.* 73 *sq.* Κονσεντίαν *h. l. Aug.* *L.* 76. χιλίων καὶ διακοσίων *h. l. Edd. mend. cum Regiis & Cand. Recte Aug. Ven.*

Macedonia, *stratagemate* interim *usus* hujusmodi: clam, noctu paganorum multitudine cum in longas naves tum in onerarias imposita, interdiu eosdem rursus, alios post alios, armatos adpellere jussit, quasi advectos e Macedonia, inspectante adventum eorum *Cæsare.* Jamque machinis etiam instructus *Antonius, oppugnare parabat Brundusium*; magno dolore Cæsaris, qui opem obsessis ferre non poterat. Tum sub vesperam utrisque nunciatum est „*Sipuntem* ab Agrippa receptam; Pompejum vero a Thuriis repulsum, Consentiam tamen adhuc obsidere:" quem nuncium *Antonius* acerbissime tulit. Qui, per idem tempus certior factus „*Servilium cum mille quingentis equitibus* venire ad Cæsarem" non se continuit, quin statim a cœna, cum amicis quotquot paratos nactus est, & quadringentis equitibus, non minore audacia quam festinatione in illos mille quingentos irrueret: quos quum cubantes adhuc deprehendisset *circa Uriam*, territos, sine certamine *in deditionem ac-*

Βρεντέσιον ἐπανήγαγεν. Οὕτω τὸν Ἀντώνιον, ὡς ἄμαχον, ἐκ τῆς ἐν Φιλίπποις δόξης ἔτι κατεπεπλήγεσαν. *A. U.* 714.

LIX. Αἵ τε στρατηγίδες αὐτοῦ τάξεις, ὑπὸ τῆσδε τῆς δόξης ἐπαιρόμεναι, προσεπέλαζον τῷ χάρακι τῷ Καίσαρος κατὰ μέρη, καὶ τοὺς συνεστρατευμένους σφίσιν ὠνείδιζον, εἰ πολεμήσοντες ἥκοιεν Ἀντωνίῳ, τῷ πάντας αὐτοὺς περισώσαντι ἐν Φιλίπποις. Τῶν δὲ ἀντεπικαλούντων, ὅτι αὐτοὶ σφίσιν ἥκουσι πολεμήσοντες, λόγοι συνισταμένων ἐγίγνοντο, καὶ τὰ ἐγκλήματα ἀλλήλοις προὔφερον, οἱ μὲν τὴν ἀπόκλεισιν τοῦ Βρεντεσίου, καὶ τὴν ἀφαίρεσιν τοῦ Καληνοῦ στρατοῦ· οἱ δὲ τὴν ἀποτείχισιν τοῦ Βρεντεσίου καὶ πολιορκίαν, καὶ τὴν τῆς Αὐσονίδος καταδρομὴν, καὶ τὸ συνθέσθαι μὲν Ἀηνοβάρβῳ σφαγεῖ Γαΐου Καίσαρος, συνθέσθαι δὲ Πομπηΐῳ κοινῷ πολεμίῳ. Καὶ τέλος οἱ τοῦ Καίσαρος τὴν γνώμην σφῶν τοῖς ἑτέροις ἀνεκάλυπτον, ὅτι Καίσαρι συνέλθοιεν, οὐκ ἀμνημονοῦντες Ἀντωνίου τῆς ἀρετῆς, ἀλλὰ διαλλαγὰς ἐπινοοῦντες

Lin. 85. χάρακι τοῦ Καίσαρος Aug. L. 92. οἱ δὲ τὴν ἀπόκλεισιν mend. Edd. cum MSS. nostris & Cand. Medii jam nomen plane omissum erat a pr. manu in Reg. B. Correxi, ut jam monuerat C. Stephan. L. 96. ἐς τὴν γνώμην Edd. Delevi ἐς cum Aug.

cepit, eodemque die reduxit Brundusium. Tantam trepidationem unius nomen Antonii, inde a Philippensi pugna pro invicto habiti, illis incusserat.

59. Qua gloria elati *prætoriani Antonii*, alii post alios, *accedebant ad castra Cæsaris*, exprobrantes suis quondam commilitonibus „quod arma ferrent adversus Antonium, cujus opera cuncti servati essent Philippensi bello." Quibus obclamantibus, *imo sibi bellum inferri*; ventum est ad colloquia. Rursusque intercesserunt *exprobrationes mutuæ*; alteris, exclusos se Brundusio, et Caleni exercitum alienatum, querentibus; alteris e diverso Brundusii obsidionem oppugnationemque objicientibus, excursionesque factas in oram inferioris Italiæ, armaque sociata cum Ahenobarbo, percussore C. Cæsaris, & cum communi hoste Pompejo. Tandem *Cæsariani* mentem suam aperuerunt *Antonianis*: „secutos se Cæsarem, non oblitos virtutis Antonii, sed cupidos reducendorum Imperatorum in mutuam gra-

A. U. 714.

ἀμφοτέροις, ἢ Ἀντώνιον ἀπειθοῦντα καὶ πολεμοῦντα ἀμυνούμενοι. καὶ τάδε καὶ αὐτοὶ προσπελάζοντες τοῖς Ἀντωνίου χαρακώμασι προύλεγον. Γιγνομένων δὲ τούτων, ἀγγέλλεται Φουλβία τεθνεῶσα· λεγομένη μὲν ἐπὶ ταῖς Ἀντωνίου μέμψεσιν ἀθυμῆσαι, καὶ ἐς τὴν νόσον ἐμπεσεῖν, νομιζομένη δὲ καὶ τὴν νόσον ἑκοῦσα ἐπιτρίψαι διὰ τὴν ὀργὴν Ἀντωνίου· νοσοῦσάν τε γὰρ αὐτὴν ἀπολελοίπει, καὶ οὐδὲ ἀπολείπων ἑωράκει. Ἐδόκει δ' ἀμφοτέροις ἐς πολλὰ συνοίσειν ὁ θάνατος, γυναίου φιλοπράγμονος ἀπηλλαγμένοις, ἣ διὰ τὸν Κλεοπάτρας ζῆλον ἐξεῤῥίπισε τοσόνδε πόλεμον. τό γε μὴν πάθος ἀσθενῶς ἤνεγκεν ὁ Ἀντώνιος, ἡγούμενός τι καὶ αἴτιος γεγονέναι.

LX. Λεύκιος δὲ ἦν Κοκκήϊος, ἑκατέρῳ φίλος, καὶ ὑπὸ Καίσαρος ἐς Φοινίκην τοῦ προτέρου θέρους πρὸς τὸν Ἀντώνιον ἀπέσταλτο μετὰ Καικίνα· ἐπανιόντος δὲ τοῦ Καικίνα, παρὰ Ἀντωνίῳ κατέμενεν. οὗτος τότε ὁ Κοκκήϊος, τὸν καιρὸν οὐ μεθεὶς, ὑπεκρίνατο μεταπεμφθῆναι πρὸς Καίσα-

Lin. 99. *Pro* ἢ *est* οἱ *in Aug. male.* *L.* 6 *sq.* ἀπελέλοιπε *Aug.* *L.* 14. & *pag. sq. l.* 22. Κεκίνα *ter Reg. B.* & *bis Aug.* Κεκύνα *semel Aug.* Κεκίνα *Edd. ter cum Reg. A.* *Pro quibus reponendum* Καικίνα *putavi.*

tiam: sed, si Antonius flecti se non patiatur, vim vi repulsuros." Eademque etiam, Antoniana castra ipsi subeuntes, palam profitebantur. Dum sic sermones ultro citroque commeant, nunciatur *mors Fulviæ*: quæ, Antonii querelas ægre ferens, in morbum dicebatur incidisse, sed sponte aluisse putabatur illum morbum auxisseque, propter iram Antonii, qui ægrotam illam deseruerat, & discedens ne inviserat quidem. *Ea mors* visa est *utrique parti* multis modis *commoda* futura; sublata fœmina inquieti ingenii, quæ ob Cleopatræ æmulationem tam grave bellum concitaverat. Casum tamen hunc parum fortiter tulit *Antonius*; quum & ipse, nonnihil se ad illum contulisse, existimaret.

60. Erat *L. Cocceius*, utrique imperatori amicus, qui a Cæsare in Phœnicem superiori æstate ad Antonium una cum *Cæcina* fuerat missus; &, reverso Cæcina, ipse apud Antonium manserat. Is *Cocceius*, captata tunc occasione, finxit, se vocatum a *Cæsare*, velleque eum salutandi causa

ρος, ἀσπασάμενος αὐτόν. συγχωροῦντος δ' ἀπιέναι τοῦ Ἀντωνίου, πειρώμενος ἤρετο, Εἴ τι καὶ αὐτὸς ὁ Ἀντώνιος ἐπιστέλλει τῷ Καίσαρι, κεκομισμένος δι' αὐτοῦ Κοκκηίου γράμματα. Καὶ ὁ Ἀντώνιος, Νῦν μὲν, ἔφη, τί ἂν ἀλλήλοις γράφοιμεν, ὄντες ἐχθροὶ, εἰ μὴ κακῶς ἀγορεύοιμεν ἀλλήλους; ἀντέγραψα δὲ τοῖς πάλαι διὰ Καικίνα· καὶ εἰ βούλει, λάβε τὰ ἀντίγραφα. Ὁ μὲν οὕτως ἐπεχλεύασεν. Ὁ δὲ Κοκκήιος οὐκ εἴα πω τὸν Καίσαρα καλεῖν ἐχθρὸν, ἔς τε Λεύκιον καὶ τοὺς ἄλλους Ἀντωνίου φίλους τοιόνδε γεγενημένον. Ὁ δὲ, ἐκ Βρεντεσίου με, φησὶν, ἀποκλείων, καὶ τὰ ἐμὰ ἔθνη καὶ τὸν Καληνοῦ στρατὸν ἀφαιρούμενος, ἔτι τοῖς φίλοις ἐστὶν εὔνους μόνοις, οὐδὲ τοὺς φίλους ἐμοὶ περισώζειν ἔοικεν, ἀλλὰ ταῖς εὐεργεσίαις ἐχθροποιεῖν. Καὶ ὁ Κοκκήιος, ἃ μὲν ἐπεμέμφετο, μαθὼν, οὐδὲν δὲ ἔτι ὀξυτέραν φύσιν ἐπερεθίσας, ᾤχετο πρὸς τὸν Καίσαρα. A. U. 714.

LXI. Ὁ δὲ αὐτὸν ἰδὼν, ἐν θαύματι ἐποιεῖτο, ὅτι μὴ θᾶσσον ἔλθοι· Οὐ γὰρ, ἔφη, καὶ τὸν σὸν ἀδελφὸν, ἵν'

Lin. 27. τὸν Καληνὸν *Aug. perperam.*

convenire. Et, abeundi venia impetrata, pertentans Antonium, rogavit „ecquid vellet rescribere Cæsari, a quo per ipsum Cocceium literas accepisset?" Tum *Antonius*: „Quid nunc scribamus invicem, quum simus inimici, nisi fortasse mutua convicia? Ceterum ad literas olim ad me datas rescripsi jam per Cæcinam: earum literarum, si vis, exemplar accipe." Cui sic cavillanti *Cocceius*, nondum esse inimicum appellandum, ait, Cæsarem, qui Lucium & alios Antonii amicos tali modo tractaverit. Tum ille: „Sed me, inquit, exclusit Brundusio, measque provincias & Caleni exercitum occupavit: quod vero in solos amicos meos benignus est, non tam amicos mihi servat, quam inimicos reddere conatur suis beneficiis." *Cocceius, postquam querelas audivit Antonii*, nolens hominem ad iram pronum irritare amplius, *profectus est ad Cæsarem.*

61. Quo viso, miratus *Cæsar*, quod non citius ad se rediisset: „Non enim, inquit, tuum quoque fratrem servavi, ut & tu

A. U. 714. ἐχθρὸς ᾖς μοι, περιέσωσα. Ὁ δὲ, Πῶς, ἔφη, τοὺς μὲν ἐχθροὺς φίλους ποιῇ, τοὺς δὲ φίλους ἐχθροὺς ἀποκαλεῖς τε, καὶ τὸν στρατὸν ἀφαιρῇ καὶ τὰ ἔθνη; Καὶ ὁ Καῖσαρ, Οὐ γὰρ, ἔφη, Καληνοῦ τελευτήσαντος, ἐχρῆν ἐπὶ μειρακίῳ τῷ Καληνοῦ παιδὶ γενέσθαι τοσαύτας ἀφορμὰς, ἀπόντος ἔτι Ἀντωνίου· αἷς καὶ Λεύκιος ἐπαρθεὶς ἐμάνη, καὶ Ἀσίνιος καὶ Ἀηνόβαρβος γειτονεύοντες ἐχρῶντο καθ' ἡμῶν. ἐπεὶ καὶ τὰ Πλάγκου τέλη κατὰ σπουδὴν κατέλαβον, ἵνα μὴ οἴχοιτο πρὸς Πομπήϊον· οἱ γοῦν ἱππεῖς αὐτῶν διέπλευσαν ἐς Σικελίαν. Καὶ ὁ Κοκκήϊος, Ἑτέρως, ἔφη, τάδε λογοποιούμενα· οὐδὲ Ἀντώνιος ἐπίστευεν, ἕως ἂν ἀπεκλείσθη τοῦ Βρεντεσίου, καθάπερ πολέμιος. Καὶ ὁ Καῖσαρ, οὐδὲν μὲν αὐτὸς, ἔφη, περὶ τοῦδε προστάξαι, οὐδὲ γὰρ προμαθεῖν προσπλέοντα, οὐδ' ἀφικέσθαι μετὰ πολεμίων προσδοκῆσαι· Βρεντεσίους δὲ αὐτοὺς, καὶ τὸν ὑπολελειμμένον αὐτοῖς διὰ τὰς Ἀηνοβάρβου κατα-

Lin. 35 *sq.* πῶς ἔφη, τοὺς μὲν ἐχθροὺς, φίλους ἀποκαλεῖς τε *Edd. cum Regiis & Cand. omissis quinque verbis, quæ dedit Aug.* πῶς ἔφη, τοὺς δὲ ἐχθροὺς *Ven. & reliqua sicut Edd.* *L.* 40. ἀνιαθεὶς ἐμάνη *edit.* 1. *ex Reg. B.* ἀνιαθεὶς *edit.* 2. 3. *& sic Reg. A.* ἐπαθεὶς ἐμάνη *Aug.* ἐπαρθεὶς *recte Ven. Nec secus (ut videtur) Cand. qui dedit* irritatus. *L.* 41. *Ad verbum* ἐχρῶντο *desiderari particula* ἂν *videri potest.* *L.* 43. ἵνα μοι οἴχοιτο *edit.* 1. *mend.*

mihi inimicus fieres?" Tum *Coccejus*: „Itane tu, qui ex inimicis amicos tibi paras, amicos inimicos vocas, & exercitus eis aufers ac provincias?" Ad hæc *Cæsar*: „Non enim, post obitum Caleni, adolescentulo Caleni filio debuerunt, absente etiam tum Antonio, relinqui tantæ copiæ; quarum fiducia & Lucius impulsus insanivit, & quibus Asinius Ahenobarbusque, in propinquo versantes, contra nos erant usuri. Qua ratione & Planci legiones occupavi propere, ne Pompejo se adjungerent: equites saltem earum trajecerunt in Siciliam." Tum *Coccejus*: „Aliter hæc ad Antonium delata sunt: nec prius tamen credidit, quam pro hoste exclusus est Brundusio." „Nihil, inquit *Cæsar*, de hac re mandavi: nec enim illum adpulsurum præsciveram, nec exspectaram venturum cum hostibus. Brundisini ipsi, & relicti ibidem propter Ahenobarbi incursatio-

ἐμὰς ταξιάρχων, αὐτοκελεύστους ἀποκλεῖσαι τὸν Ἀντώνιον, συνθέμενον μὲν ἐχθρῷ κοινῷ Πομπηΐῳ, ἐπαγαγόντα δὲ Ἀηνόβαρβον, φονέα τοῦ ἐμοῦ πατρὸς, ψήφῳ καὶ κρίσει καὶ προγραφῇ κατεγνωσμένον, καὶ πολιορκήσαντα μὲν τὸ Βρεντέσιον μετὰ Φιλίππους, πολιορκοῦντα δὲ ἔτι τὸν Ἰόνιον ἐν κύκλῳ, ἐμπρήσαντα δὲ τὰς ἐμὰς ναῦς, καὶ τὴν Ἰταλίαν λεηλατήσαντα. *A. U. 714.*

LXII. Ὁ δὲ, σπένδεσθαι μὲν, ἔφη, συνεχωρήσατε ἀλλήλοις, πρὸς οὓς ἂν ἐθέλητε· καὶ οὐδενὶ τῶν ἀνδροφόνων Ἀντώνιος ἐσπείσατο, οὐδὲν ἔλασσον ἢ αὐτὸς σὺ τὸν σὸν πατέρα τιμῶν. Ἀηνόβαρβος δὲ οὐκ ἔστι τῶν ἀνδροφόνων· ἡ δὲ ψῆφος αὐτῷ κατ' ὀργὴν ἐπῆκται, οὐδὲ γὰρ τῆς βουλῆς πω τότε μετεῖχεν. εἰ δὴ ὡς φίλῳ Βρούτου μὴ συγγνῶναι νομίζοιμεν, οὐκ ἂν φθάνοιμεν ὀλίγου δεῖν ἅπασι χαλεπαίνοντες. Πομπηΐῳ δὲ οὐ συνέθετο μὲν συμμαχήσειν ὁ Ἀντώνιος, πολεμούμενος δὴ ὑπὸ σοῦ, προσλήψεσθαι σύμμαχον, ἢ καὶ σοὶ συναλλάξειν, οὐδὲν

Lin. 62. οὐδὲ ψῆφος *Edd. cum Regiis & Cand. Rectius* ἡ δὲ *Aug.*
L. 63. οὐδ' εἰ δὴ ὡς φίλῳ *edit.* 1. *& Cand. mend.* οὐδ' *recte delevit H. Stephan. quod nec agnoscit Aug.*

nes præsidii præfectus, injussu meo, excluserunt Antonium, fœderatum communi hosti Pompejo, & adducentem Ahenobarbum, parricidam, publico judicio damnatum proscriptumque, qui post Philippensem pugnam oppugnavit Brundusium, & adhuc circumquaque populatur Adriatici maris littora, qui naves meas cremavit, & Italiam prædatus est."

62. Tum *Coccejus:* „At permisistis, inquit, invicem, cum quibus libuisset fœdera inire: nec Antonius cum quoquam ex parricidis pacem fecit; & rationem patris tui non minorem, quam tu ipse, habet. Non est enim e parricidarum numero Ahenobarbus; sed ab infensis judicibus condemnatus est, quum ne conscius quidem illius consilii fuisset. Quod si, ut Bruti amicum, indignum venia ducimus; videndum est, ne propemodum omnibus maneamus infensi. Cum Pompejo autem fœdus iniit Antonius, non ut socius illi contra te adesse velit; sed ut, si a te infestetur ipse, belli socium habeat; sin minus, ut eum tibi conciliet, quoniam ne ille

A. U. 714.

ἀνήκεστον οὐδ᾽ ἐκεῖνον εἰργασμένον. Σὺ δὲ καὶ τῶνδε τὴν αἰτίαν ἔχεις· εἰ γὰρ οὐκ ἐπολεμήθη κατὰ τὴν Ἰταλίαν, οὐδ᾽ ἂν οὗτοι πρεσβεύεσθαι ταῦτα πρὸς τὸν Ἀντώνιον ἐθάῤῥουν. Καὶ ὁ Καῖσαρ, ἔτι ἐπικαλῶν, Τὴν μὲν Ἰταλίαν, ἔφη, κἀμὲ σὺν αὐτῇ, Μάνιος καὶ Φουλβία καὶ Λεύκιος ἐπολέμουν· ὁ δὲ Πομπήϊος οὐ πρότερον, ἀλλὰ νῦν, Ἀντωνίῳ θαῤῥῶν, ἐπιβέβηκε τῆς παραλίου. Καὶ ὁ Κοκκήϊος, Οὐκ Ἀντωνίῳ θαῤῥῶν, εἶπεν, ἀλλ᾽ ὑπ᾽ Ἀντωνίου πεμφθείς. οὐ γὰρ ἐπικρύψω σε, ὅτι καὶ τὴν ἄλλην Ἰταλίαν ἐπιδραμεῖται ναυτικῷ πολλῷ, ναυτικὸν οὐκ ἔχουσαν, εἰ μὴ διαλύσεσθε ὑμεῖς. Ὁ δὲ Καῖσαρ (οὐ γὰρ ἀμελῶς ἤκουσε τοῦ τεχνάσματος) ἐπισχὼν ὀλίγον, εἶπεν· Ἀλλ᾽ οὐ χαιρήσει Πομπήϊος, κακὸς κακῶς καὶ νῦν ἐκ Θουρίων ἐξελαθείς. Καὶ ὁ Κοκκήϊος, τὰ ἀμφίλογα πάντα κατιδὼν, ἐπῆγε τὸν Φουλβίας θάνατον, καὶ τρόπον αὐτοῦ, ὅτι πρὸς τὴν ὀργὴν Ἀντωνίου δυσχεράνασά τε νοσήσειε, καὶ τὴν νόσον ἐπιτρίψειεν ὑπὸ τῆς δυσθυμίας, οὐκ ἰδόν-

Lin. 71. ἔτι ἐπεγκαλῶν *Aug.*

quidem in tanta culpa eſt, cui venia nullo pacto dari poſſit. At vide, ne tu hujus etiam rei cauſa ſis: niſi enim bellum motum eſſet in Italia, numquam hi auſi fuiſſent legationes ad Antonium mittere." *Cæſar*, retorquere accuſationem pergens „Italiæ, ait, ſibique Manium & Fulviam Luciumque bellum intuliſſe; Pompejum vero non prius, ſed nunc demum, Antonii fiducia, maritimas Italiæ regiones adgredi auſum." Tum *Coccejus*: „Imo juſſu Antonii, non ſolum fiducia: nec enim diſſimulabo, invaſurum claſſibus reliquam etiam Italiam, nudatam navali præſidio, niſi pacem vos compoſueritis." *Cæſar*, qui artificioſæ hominis orationi non otioſe præbuerat aures, cunctatus nonnihil: „Attamen, inquit, non impune feret Pompejus; repulſus etiam nunc a Thuriis, ut commeruit." Tum *Coccejus*, perſpecta tota controverſia, mentionem injecit obitus Fulviæ; „quam, non ferentem iratum ſibi Antonium, in morbum incidiſſe, commemorabat, auxiſſeque morbum moerore, quod ægrotantem ne inviſere quidem di-

τος αὐτὴν οὐδὲ νοσοῦσαν Ἀντωνίου, ὡς αἴτιον τῇ γυναικὶ θανάτου γενόμενον· ἐκποδὼν δὲ κἀκείνης γενομένης, οὐδενὸς ὑμῖν ἐνδεῖν ἔτι, ἔφη, πρὸς ἀλλήλους, πλὴν ἀληθεῦσαι περὶ ὧν ὑπενοήσατε. A. U. 714.

LXIII. Οὕτω καθομιλῶν τὸν Καίσαρα ὁ Κοκκήϊος, ἐκείνην τε τὴν ἡμέραν ἐξενίζετο παρ' αὐτῷ, καὶ ἐδεῖτο ἐπιστεῖλαί τι τῷ Ἀντωνίῳ, νεώτερον ὄντα πρεσβυτέρῳ. Ὁ δὲ πολεμοῦντι μὲν ἔτι οὐκ, ἔφη, γράψειν· οὐδὲ γὰρ ἐκεῖνον. μέμψεσθαι δ' αὐτοῦ τῇ μητρὶ, ὅτι, συγγενὴς οὖσα, καὶ προτιμηθεῖσα ἐκ πάντων ὑπ' αὐτοῦ, φύγοι τὴν Ἰταλίαν, καθάπερ οὐ τευξομένη πάντων ὡς παρ' υἱοῦ. Ὧδε μὲν καὶ ὁ Καῖσαρ ἐτέχναζε, καὶ ἐπέστελλε τῇ Ἰουλίᾳ. Ἐξιόντι δὲ τοῦ στρατοπέδου τῷ Κοκκηΐῳ πολλοὶ τῶν ταξιαρχῶν καὶ τὴν γνώμην ἐξέφερον τοῦ στρατοῦ. Ὁ δὲ καὶ τἄλλα καὶ τόδε αὐτὸ τῷ Ἀντωνίῳ μετέφερεν, ἵνα εἰδείη πολεμήσοντας οὐ συντιθεμένῳ. συνεβούλευεν

Lin. 86. ἐκ ποδῶν *Edd. Prætuli Aug.* *L.* 93. μέμψασθαι *Edd. Rectius Aug.* *L.* 98. καὶ, *post* ταξιαρχῶν, *inserui ex Aug.* *Ibid.* multi ex præfectis & ordinum primoribus *Cand. quasi legisset* ἡγεμόνων καὶ ταξιαρχῶν.

gnatus esset Antonius; ita ut ipse quoque nonnihil ad mortem uxoris contulerit. Qua sublata e medio, nihil aliud, inquit, vobis porro factu opus est, nisi ut absque fuco vobis invicem preferatis suspiciones mutuas."

63. Hæc *Cocceius cum Cæsare collocutus*; eo die hospitio ejus usus est: rogavitque ut *scriberet aliquid ad Antonium*, junior ad seniorem. Et negavit quidem *Cæsar*, se bellum etiam nunc sibi facienti scripturum quidquam, quum nihil literarum ne ab illo quidem accepisset. Sed apud *matrem Antonii*, ait, per literas se conquesturum, quod illa, sua cognata, quæ a se semper in præcipuo honore fuisset habita, profugisset ex Italia; quasi non quidvis a se, haud secus ac a filio, impetratura. Adeoque *Cæsar*, pari arte usus, *scripsit Juliæ*. Discedenti autem e castris *Coccejo* multi centuriones mentem etiam exercitus aperuerunt. Et ille, ut cetera, sic hoc ipsum quoque indicavit *Antonio*; ut sciret, bellum imminere a Cæsarianis, ni re-

A. U. 714. οὖν, Πομπήιον μὲν ἐς Σικελίαν ἐξ ὧν ἐπόρθει μετακαλεῖν, Ἀηνόβαρβον δέ ποι πέμπειν, ἕως αἱ συνθῆκαι γένοιντο. Παρακαλούσης δὲ καὶ τῆς μητρὸς ἐς ταῦτα τὸν Ἀντώνιον· (γένει γὰρ ἦν ἐκ τῶν Ἰουλίων·) ᾐσχύνετο Ἀντώνιος, εἰ, μὴ γενομένων τῶν συμβάσεων, τὸν Πομπήιον αὖθις ἐς συμμαχίαν καλοίη. τῆς δὲ μητρὸς οὐκ ἀπελπιζούσης αὐτὰς ἔσεσθαι, καὶ Κοκκηΐου ἰσχυριζομένου τε περὶ αὐτῶν, καὶ ἐλπιζομένου τι πλέον εἰδέναι· ὁ Ἀντώνιος ἐνεδίδου, καὶ τὸν Πομπήιον ἀναχωρεῖν ἐκέλευεν ἐς Σικελίαν, ὡς ἐπιμελησόμενος τῶν συγκειμένων, καὶ Ἀηνόβαρβον ἔπεμπεν ἡγεῖσθαι Βιθυνίας.

LXIV. Ὧν ὁ στρατὸς ὁ τοῦ Καίσαρος αἰσθανόμενοι, πρέσβεις εἵλοντο τοὺς αὐτοὺς ἐς ἀμφοτέρους· οἳ τὰ μὲν ἐγκλήματα αὐτῶν ἐπέσχον, ὡς οὐ κρῖναι σφίσιν, ἀλλὰ διαλλάξαι μόνον ᾑρημένοι· σφίσι δ᾽ αὐτοῖς προσελόμενοι Κοκκήιον μέν, ὡς κοινὸν ἀμφοῖν, ἐκ δὲ τῶν Ἀντωνίου Πολλίωνα, καὶ Μαικήναν ἐκ τῶν Καίσαρος, ἔγνωσαν,

Lin. 10. ἀνεδίδου *Edd. mend. ex Reg. B. Recte Aug. Reg. A.* *L.* 18. *Rursus* Μεκήναν *Aug. in contextu, sed* Μαικήναν *in marg.*

deat in gratiam. *Consulebat* igitur *Antonio Coccejus*: „ut Pompejum ab alienis vastandis revocaret in Siciliam, Ahenobarbum vero ablegaret aliquo, donec pax composita esset." Quo quum accederent *preces* etiam *matris*, quæ *ex Julia gente* erat; pudor incessit Antonium, ne, si tentata pax minus succederet, rursus recurrendum esset ad Pompeji societatem. Sed matre spem faciente, quam Coccejus confirmabat, quasi secretiorum etiam consiliorum conscius; *cessit Antonius*, *revocavitque Pompejum* in Siciliam, quasi curaturus ipse ea de quibus inter ipsos convenerat; *Ahenobarbum* vero *in Bithyniam misit*, cui cum imperio præsideret.

64. Id ubi cognovit exercitus Cæsaris, legatos elegit qui utrumque imperatorem adirent. Hi, cohibitis eorum querelis, (quippe non ad judicandum electi, sed ad pacem farciendam,) adhibitoque *Coccejo*, ut communi amborum amico, & ex Antonianis *Pollione*, e Cæsarianis *Mæcenate*, decreverunt præ-

Καίσαρι καὶ Ἀντωνίῳ πρὸς ἀλλήλους ἀμνηστίαν εἶναι τῶν γεγονότων, καὶ φιλίαν ἐς τὸ μέλλον. Ὑπογύως δὲ Μαρκέλλου τεθνεῶτος, ὃς τὴν ἀδελφὴν Καίσαρος εἶχεν Ὀκταουίαν, ἐδικαίουν οἱ διαλλακταὶ, τὴν Ὀκταουίαν Ἀντωνίῳ τὸν Καίσαρα ἐγγυῆσαι. καὶ ὁ μὲν αὐτίκα ἐνηγγύα· καὶ ἠσπάζοντο ἀλλήλους, καὶ βοαὶ παρὰ τοῦ στρατοῦ καὶ εὐφημίαι πρὸς ἑκάτερον αὐτῶν ἦσαν ἄπαυστοι δι' ὅλης τε τῆς ἡμέρας καὶ ἀνὰ τὴν νύκτα πᾶσαν. A. U. 714.

LXV. Ὁ δὲ Καῖσαρ καὶ ὁ Ἀντώνιος τὴν Ῥωμαίων αὖθις ἀρχὴν ἐφ' ἑαυτῶν ἐμερίσαντο ἅπασαν, ὅρον μὲν εἶναι σφίσι Σκόδραν, πόλιν τῆς Ἰλλυρίδος, ἐν μέσῳ τοῦ Ἰονίου μυχοῦ μάλιστα δοκοῦσαν εἶναι. ταύτης δ' ἔχειν τὰ μὲν πρὸς ἕω πάντα τὸν Ἀντώνιον ἔθνη τε καὶ νήσους, ἕως ἐπὶ ποταμὸν Εὐφράτην ἄνω· τὰ δὲ ἐς δύσιν τὸν Καίσαρα, μέχρι Ὠκεανοῦ. Λιβύης δὲ Λέπιδον ἄρχειν, καθὰ Καῖσαρ ἐδεδώκει. πολεμεῖν δὲ Πομπηΐῳ μὲν Καίσαρα, εἰ μή τι συμβαίνει· Παρθυαίοις δὲ Ἀντώνιον, ἀμυνόμενον

Lin. 29. σφίσι Κόδρισαν *edit.* 1. 2. *MSS. & Cand. Tenui emendationem, quam, monente Palmerio, recepit Tollius. L.* 31 *sq.* ἐπὶ τὸν ποταμὸν *Edd. Delevi* τὸν *cum Aug.*

teritarum *offensarum oblivionem* mutuam, & amicitiam in posterum. Quumque *Marcellus* nuper *obiisset*, *maritus Octaviæ, sororis Cæsaris*; postulaverunt pacis auctores, ut frater eam collocaret *Antonio*; moxque *desponsa* est. Et *complexi se mutuo* sunt *Cæsar et Antonius*; consequentibus faustis adclamationibus totius exercitus, utrique bene precantis, quæ per totum diem totamque noctem continuatæ sunt.

65. Tum *Cæsar et Antonius denuo totum Romanorum imperium* sua auctoritate *inter se partiti* sunt: feceruntque terminum utriusque ditionis *Scodram*, Illyrici oppidum, quod in medio maxime sinu Adriatico situm putabatur. Ab hoc oppido *versus Orientem*, constituerunt, ut omnes *Antonius* haberet tam provincias quam insulas, ad flumen usque Euphratem: *versus Occidentem* vero *Cæsar*, usque Oceanum. *Africa Lepido relicta* est, ita ut a Cæsare acceperat. *Bellum cum Pompeio Cæsar* gereret, ni quid aliud interveniret: *cum Parthis Antonius*, ad ulciscendam perfidiam qua Craf-

A. U. 714. τῆς ἐς Κράσσον παρασπονδήσεως. Ἀηνοβάρβῳ δ' εἶναι πρὸς Καίσαρα συμβάσεις, τὰς πρὸς Ἀντώνιον γενομένας. στρατὸν δὲ ἐκ τῆς Ἰταλίας προσκαταλέγειν ἀκωλύτως ἴσον ἑκάτερον. Αἵδε μὲν ἦσαν αἱ τελευταῖαι Καίσαρί τε καὶ Ἀντωνίῳ γενόμεναι συμβάσεις. καὶ εὐθὺς ἐς τὰ ἐπείγοντα τοὺς φίλους ἑκάτερος αὐτῶν περιέπεμπεν. Οὐεντίδιον μὲν ἐς τὴν Ἀσίαν Ἀντώνιος, ἀναστέλλειν Παρθυαίους τε καὶ Λαβιηνὸν, τὸν Λαβιηνοῦ, μετὰ τῶν Παρθυαίων ἐν ταῖσδε ταῖς ἀσχολίαις Συρίαν τε καὶ τὰ μέχρι τῆς Ἰωνίας ἐπιδραμόντα. Ἃ μὲν δὴ Λαβιηνός τε καὶ Παρθυαῖοι δράσαντες ἔπαθον, ἡ Παρθυϊκὴ δηλώσει Γραφή.

LXVI. Ἕλενον δὲ, στρατηγὸν Καίσαρος, σὺν ὁρμῇ κατασχόντα Σαρδοῦς, αὖθις ἐξέβαλε τῆς Σαρδοῦς Μηνόδωρος ὁ Πομπηίου. καὶ τῷδε μάλιστα χαλεπαίνων ὁ Καῖσαρ, οὐκ ἐδέχετο τὰς πείρας Ἀντωνίου, συνάγοντος αὐτῷ Πομπήιον. Ἐς δὲ Ῥώμην παρελθόντες, ἐτέλουν τοὺς γάμους. καὶ ὁ Ἀντώνιος Μάνιον μὲν ἔκτεινεν, ὡς ἐρεθίσαντα

Lin. 42. ταῖσδε *caret Aug. male. & Aug. Correxi mendam.*

Ibid. Ἰονίας *h. l. Edd. cum Regii.*

sum oppresserant. *Ahenobarbus in fœdus receptus* est a Cæsare, iisdem quibus prius ab Antonio conditionibus. Additum fœderi, ut liceret utrique imperatori novos delectus habere in Italia, pari legionum numero. In has leges *postremum fœdus inter Cæsarem et Antonium ictum* est. Moxque ad res urgentes obeundas uterque amicos dimisit. Et *Ventidium* quidem *in Asiam* misit *Antonius, ut reprimeret Parthos, Labienumque*, Labieni filium, qui Parthorum auxilio, per occasionem horum motuum Syriam Asiamque usque ad Ioniam incursaverant. Sed Labieni quidem Parthorumque cum res gestas, tum acceptas clades, *Libro de Rebus Parthicis* exponemus.

66. Per id tempus *Helenus*, Cæsaris legatus, cum *Sardiniam* forti in hostes impetu facto recepisset, rursus inde ejectus est a *Menodoro*, Pompejano duce. Qua re præcipue indignatus *Cæsar, reconciliari Pompejo per Antonium noluit.* In Urbem deinde reversi, celebrarunt nuptias: & *Antonius Manium interfecit*, quod Fulviam exasperasset

τε Φουλβίαν ἐπὶ διαβολῇ Κλεοπάτρας, καὶ τοσῶνδε αἴτιον γενόμενον· Καίσαρι δὲ ἐνέφηνε, Σαλβιδιηνόν, τὸν ἡγούμενον τῷ Καίσαρι τοῦ περὶ Ῥοδανὸν στρατοῦ, ἀπόστασιν ἰδίᾳ βουλεῦσαι, καὶ οἱ περὶ τοῦδε προσπέμψαι περικαθημένῳ τὸ Βρεντέσιον. καὶ ὁ μὲν τόδε ἐξεῖπεν, οὐ πρὸς πάντων ἐπαινούμενον, εὐφυὴς ὢν ἄρα καὶ ταχὺς ἐς εὔνοιαν. Ὁ δὲ Καῖσαρ αὐτίκα τὸν Σαλβιδιηνὸν ἐκάλει κατὰ σπουδήν, ὡς ἐπὶ δή τι μόνου χρῄζων, καὶ εὐθὺς ἐκπέμψων αὖθις ἐς τὸν στρατόν· καὶ ἐλθόντα ἔκτεινε διελέγξας· καὶ τὸν ὑπ' αὐτῷ στρατόν, ὡς ὕποπτον ὄντα, ἔχειν ἔδωκεν Ἀντωνίῳ. A. U. 714.

LXVII. Ῥωμαίους δ' ὁ λιμὸς ἐπίεζεν, οὔτε τῶν ἑῴων ἐμπόρων ἐπιπλεόντων, δέει Πομπηίου καὶ Σικελίας, οὔτε τῶν ἐκ δύσεως, διὰ Σαρδὼ καὶ Κύρνον ἐχομένας ὑπὸ τῶν Πομπηίου, οὔτ' ἐκ τῆς περαίας Λιβύης, διὰ τοὺς αὐτοὺς ἑκατέρωθεν ναυκρατοῦντας. Ἐπετετίμητο δὴ πάντα· καὶ τῶνδε τὴν αἰτίαν ἐς τὴν ἔριν τῶν ἡγεμόνων ἀνα-

Lin. 56. ἰδίου *mend. edit.* 1. *ex Reg. B.* *L.* 58. ἐπαινούμενος *videtur legendum.* *L.* 63. ἔχειν ἐδίκουν *Edd. mend. Recte Aug. Cand.* *L.* 66. Σαρδῶ *Edd. Prætuli Aug.*

Cleopatræ criminationibus, & tantorum malorum cauſa fuiſſet. *Salvidienum* vero, Narbonenſis exercitus ducem, *apud Cæſarem detulit*, voluiſſe ad ſe deficere, & ſuper ea re ſibi miſiſſe nuncium obſidenti Brunduſium. Hoc ſecretum *Antonius* prodidit, non omnibus probantibus, ingenuus alioquin & facilis ad amicitiam. *Cæſar* continuo *Salvidienum* ad ſe properare juſſit, quaſi opus haberet ejus præſentia, remiſſurus mox ad exercitum: quem, ubi venit, *coargutum occidit*; exercitum ejus, ut ſuſpectum, dedit Antonio.

67. *Populus* interim *Romæ fame premebatur*: quum nec ab Oriente negotiatores quidquam ſubveherent, metu Pompeji ac Siciliæ; nec ab Occidente, propter Sardiniam Corſicamque occupatas ab eodem Pompejo; nec ex Africa, propter eoſdem hoſtes, utraque littora claſſibus ſuis infeſtantes. Itaque quum ſumma annonæ eſſet caritas, cauſam ejus rei populus in diſcordiam principum referens, conviciis

A. U. 714. φέροντες, ἐβλασφήμουν αὐτούς, καὶ ἐς διαλύσεις πρὸς Πομπήιον ἐπέσπερχον. οὐκ ἐνδιδόντος δὲ τοῦ Καίσαρος οὐδ᾽ ὥς, ὁ Ἀντώνιος αὐτὸν ἠξίου ταχύνειν γε τὸν πόλεμον διὰ τὴν ἀπορίαν. Χρημάτων δ᾽ ἐς αὐτὸν οὐκ ὄντων, προυτέθη διάγραμμα, εἰσφέρειν ἐπὶ μὲν τοῖς θεράπουσι τοὺς κεκτημένους ὑπὲρ ἑκάστου τὸ ἥμισυ τῶν πέντε καὶ εἴκοσι δραχμῶν, ὡρισμένων ἐς τὸν πόλεμον τὸν Κασσίου τε καὶ Βρούτου· ἐσφέρειν δὲ καὶ μοῖραν τοὺς ἐκ διαθήκης τι καρπουμένους. τοῦτο τὸ γράμμα σὺν ὁρμῇ μανιώδει καθεῖλεν ὁ δῆμος, ἀγανακτῶν, εἰ, τὰ κοινὰ ταμιεῖα κεκενωκότες, καὶ τὰ ἔθνη σεσυληκότες, καὶ τὴν Ἰταλίαν αὐτὴν ἐσφοραῖς καὶ τέλεσι καὶ δημεύσεσι καταβαρήσαντες, οὐκ ἐς πολέμους, οὐδ᾽ ἐς ἐπίκτητον ἀρχήν, ἀλλ᾽ ἐς ἰδίους ἐχθρούς, ὑπὲρ οἰκείας δυναστείας, ὑπὲρ ἧς δὴ καὶ προγραφὰς καὶ σφαγὰς καὶ λιμὸν ἐκ τῶνδε πανώδυνον γεγονέναι, ἔτι καὶ τὰ λοιπὰ περιδύοιεν αὐτούς. Συνιστάμενοι

Lin. 77 sq. διαθήκης τε καρπ. *Edd. cum Regiis. Recte Aug. L. 85.* περιδεύοιεν *h. l. Edd. &* περιοδεύοιεν *Aug. Ven. Correxi mendum.*

eos incessebat, urgebatque ut pacem cum Pompejo componerent. Quumque ne sic quidem *Cæsar* flecteretur; hortatus est eum *Antonius*, acceleraret saltem bellum propter inopiam. Quoniam vero deerant pecuniæ in ejus belli adparatum; *Edictum de conferendis pecuniis* est propositum: „ut domini *in singula mancipiorum capita*, quemadmodum Cassiano bello centum sestertios contribuissent, sic nunc ejus pecuniæ dimidium penderent: utque *certa pars ex hæreditatibus* per testamentum acceptis decideretur." Illud *edictum plebs furibunda detraxit*, indigne ferens „quod post exhaustum ærarium, post spoliatas provincias, Italiamque ipsam exactionibus & bonorum confiscationibus oppressam, non ad externa bella aut pro propagando imperio, sed ad persequendos privatos inimicos augendamque propriam potentiam, propter quam & proscriptiones & cædes factæ, & hæc luctuosissima fames secuta sit, nunc quoque, si quid ipsis reliquum sit, hoc etiam exuantur a Triumviris." Vociferabanturque per cœtus ac circulos

Συνιστάμενοί τε ἐβόων, καὶ τοὺς οὐ συνισταμένους ἔβαλλον, καὶ ἠπείλουν διαρπάσειν αὐτῶν τὰς οἰκίας καὶ καταπρήσειν, ἕως τὸ μὲν πλῆθος ἅπαν ἠρέθιστο. A. U. 714.

LXVIII. Ὁ δὲ Καῖσαρ σὺν τοῖς φίλοις καὶ ὀλίγοις ὑπασπισταῖς ἐς μέσους ἦλθεν, ἐντυχεῖν τε βουλόμενος καὶ τὴν μέμψιν ἐκλογήσασθαι. Οἱ δὲ αὐτὸν εὐθὺς ὀφθέντα ἔβαλλόν τε ἀφειδῶς πάνυ, καὶ οὐδ᾽ ὑπομένοντα καὶ ἑαυτὸν ἐμπαρέχοντα καὶ τιτρωσκόμενον ᾐδοῦντο. πυθόμενος δ᾽ ὁ Ἀντώνιος, ἐβοήθει κατὰ σπουδήν. οἱ δὲ καὶ τόνδε, κατιόντα τὴν Ἱερὰν ὁδὸν, οὐκ ἔβαλλον μὲν, ὡς ἕτοιμον ἐς τὰς Πομπηίου διαλύσεις, ἀναχωρεῖν δὲ ἐκέλευον· καὶ οὐ πειθόμενον, τότε ἔβαλλον. Ὁ δὲ ὁπλίτας πλέονας, οἳ ἦσαν ἔξω τοῦ τείχους ἐκάλει. καὶ οὐ παριέντων οὐδ᾽ ὣς αὐτὸν, οἱ μὲν ὁπλῖται, διαιρεθέντες ἐς τὰ πλάγια τῆς ὁδοῦ καὶ τῆς ἀγορᾶς, ἐπεχείρουν ἐκ τῶν στενωπῶν, καὶ τὸν ἐντυχόντα ἀνῄρουν. οἱ δ᾽ οὐκέτι εὐμαρῶς οὐδὲ φυγεῖν

Lin. 91. ἐκλογίσασθαι *Edd. & MSS. mendose: quod correxi præeunte Guil. Budæo.* *L.* 98. οὐ παριόντων *edit.* 1. *cum Regg. male.* *L.* 99. οὐδ᾽ ὣς αὐτῶν *Aug. Cand.*

circulos; & lapides impingentes his qui ſe non adgregarent, minabantur, direpturos ſe domos eorum incenſuroſque; donec tota plebs exacerbata eſt.

68. Tum Cæſar, cum amicis pauciſque ſatellitibus, proceſſit in medium, adlocuturus *tumultuantes*, & rationem eorum quæ illi criminabantur redditurus. Sed hi, ut primum *Cæſarem* conſpexerunt, *lapidibus* effuſe admodum eum *adpetiverunt*: ac ne ſuſtinentem quidem præbentemque ſe ictibus vulneratumque ſunt reveriti. Quod ubi cognovit *Antonius*, *ſuccurrit* propere. Et in hunc quidem, per Sacram viam deſcendentem, nemo quidquam conjecit, quod eſſet paratus ad pacem cum Pompejo ineundam; tantum jubebant, ut ſecederet: ſed, quum nihilominus pergeret progredi, tum demum ſaxis hunc quoque adpetebant. Tum ille armatorum majorem manum, quæ extra mœnia erat, accivit: &, quum ne ſic quidem eum tranſire ſinerent, milites, diviſi ab utroque viæ foríque latere, per angiportus irruebant, ſternentes obvios. Jamque, quum nec fugam expedire poſſent conſtipati præ

A. U. 714. ἐδύναντο, βεβυσμένοι τε ὑπὸ πλήθους, καὶ διαδρομὴν οὐκέτι ἔχοντες· ἀλλὰ φόνος ἦν καὶ τραύματα, καὶ ἀπὸ τῶν τεγῶν οἰμωγαὶ καὶ βοαί. Καὶ ὁ Ἀντώνιος μόλις τε παρῆλθε, καὶ τοῦ κινδύνου τὸν Καίσαρα περιφανῶς δὴ τότε μάλιστα οὗτος ἐξείλετο, καὶ ἐς τὴν οἰκίαν περιέσωσε. Διαφυγόντος δέ ποτε τοῦ πλήθους, τὰ νεκρὰ, ἵνα μὴ ἐνοχλοίη θεωρούμενα, ἐς τὸν ποταμὸν ἀπερρίπτειτο· καὶ ἕτερον πένθος ἦν, ὁρωμένων ἀνὰ τὸ ῥεῦμα, καὶ περιδυόντων αὐτὰ τῶν στρατιωτῶν, καὶ ὅσοι μετ' αὐτῶν κακοῦργοι τὰ εὐσχήμονα μάλιστα ὡς οἰκεῖα ἔφερον. Ἀλλὰ ταῦτα μὲν ἐπαύετο σὺν φόβῳ τε καὶ μίσει τῶν ἡγουμένων· ὁ δὲ λιμὸς ἤκμαζε, καὶ ὁ δῆμος ἔστενε καὶ ἡσύχαζεν.

715. LXIX. Ὁ δ' Ἀντώνιος ἐδίδασκε τοὺς Λίβωνος οἰκείους, Λίβωνα καλεῖν ἐκ Σικελίας ἐπὶ συνησθήσει τοῦ κήδους, ἐργασόμενόν τι καὶ μεῖζον· τὸ δ' ἀσφαλὲς τῷ Λίβωνι ἀνεδέχετο αὐτός. οἱ μὲν δὴ ταχέως ἐπέστελλον, καὶ ὁ Πομπήϊος τῷ Λίβωνι συνεχώρει. ἀφικόμενος δὲ ὁ Λίβων,

Lin. 9. ἐνοχλῇ *Edd.* ἐνοχλοῖ *Aug. quod in* ἐνοχλοίη *mutavi, ex quo decurtatum visum est.* *L.* 12. ἀσχήμονα *Aug. Ven. male.* *L.* 16. ἐπὶ συνθέσει *maluit Musgrav.* *L.* 18. ἀπέστελλον *Edd. Rectius Aug.*

multitudine, nec discurrendo eludere ictus, cædes miscebantur vulneribus, & de tectis gemitus clamoresque audiebantur. Et ægre tandem *Antonius* in forum pervasit: *Cæsaremque* tunc manifeste hic potissimum *periculo eripuit*, salvumque domum reduxit. Turba vero tandem dispulsa, cadavera, ne triste spectaculum exhiberent, in fluvium projecta sunt. Moxque alius luctus exstitit, dum cadavera per profluentem feruntur, aut spoliantur a militibus mixtisque eis nebulonibus, qui, ut quodque optime cultum animadvertebant, auferebant tamquam ad se pertinens. Sic hoc quidem malum sopitum est, non sine terrore odioque principum. Sed fames pergebat sævire, gemente ac ferente populo.

69. Tum *Antonius* familiares monuit Libonis „*vocarent Libonem e Sicilia*, ut affinitati gratularetur, effecturus etiam majus aliquid;" & ipse securitatem ei recepit. Illi celeriter miserunt ad Libonem literas; nec Pompejus hominem detinuit. In itinere

ἐς νῆσον ὡρμίσθη τὰς Πιθηκούσας, ἣ νῦν ἐστιν Αἰναρία. A. U.
καὶ μαθὼν ὁ δῆμος, αὖθις ἠθροίζετο, καὶ παρεκάλει σὺν ὀλοφύρσει τὸν Καίσαρα πέμψαι Λίβωνι πίστιν, πρεσβεύειν ἐθέλοντι πρὸς αὐτὸν ὑπὲρ εἰρήνης. καὶ ὁ μὲν ἄκων ἔπεμπεν. ὁ δὲ δῆμος καὶ Μουκίαν, τὴν μητέρα τοῦ Πομπηΐου, καταπρήσειν ἀπειλοῦντες, ἐξέπεμπον ἐργασομένην διαλύσεις. Λίβων μὲν δὴ, συνεὶς τῶν ἐχθρῶν ἐνδιδόντων, ἠξίου τοὺς ἡγεμόνας αὐτοὺς συνελθεῖν, ὡς ἀλλήλοις ἐνδώσοντας ὅ τι ἂν δοκῇ. βιασαμένου δὲ καὶ ἐς τοῦτο τοῦ δήμου, ἐξῄεσαν ἐς Βαίας ὁ Καῖσαρ καὶ ὁ Αντώνιος.

LXX. Πομπήϊον δὲ οἱ μὲν ἄλλοι πάντες ὁμαλῶς ἔπειθον ἐς τὴν εἰρήνην· Μηνόδωρος δὲ ἀπὸ Σαρδοῦς ἐπέστελλεν, ἢ πολεμεῖν ἐγκρατῶς, ἢ βραδύνειν ἔτι, ὡς τοῦ λιμοῦ σφῶν προπολεμοῦντος, καὶ τῶν συμβάσεων, εἰ καὶ δοκοίη, κρεισσόνων ἐσομένων· Μοῦρκόν τε, τούτοις ἐνιστάμενον, ὑποβλέπειν ἐκέλευεν, ὡς ἀρχὴν αὐτῷ πε-

Lin. 20. Πιθηκούσσας *Edd. ex Reg. A.* Πιθηκούσσας *Reg. B. Recte Aug.* *L.* 34. δοκεῖν *Edd. Recte Aug.* *Ibid.* Μοῦρκον δὲ *Edd. ex marg. Reg. B. ab alia manu.* τε *deder. Aug. Reg. A. Poſt* Μοῦρκον *in Reg. B. duæ lineæ a pr. manu omiſſæ ſunt, uſque* τέως τὸν Μοῦρκον.

Libo ad inſulam *Pithecuſas* adpulit, quæ nunc eſt *Aenaria.* Quod ubi populus cognovit, rurſus coibat, rogabatque cum lamentis Cæſarem, ut Liboni literas fidei mitteret, qui de pacis conditionibus ex Pompeji mandatis cum ipſo acturus veniſſet. Quod ille invitus fecit. Populus vero etiam *Muciam*, *Pompeji matrem*, crematurum ſe eam comminatus, adegit, ut legationem ad filium pacis cauſa ſuſciperet. *Libo*, ubi remittere ſenſit contumaciam hoſtium, poſtulavit, ut ipſi imperatores *ad colloquium* convenirent, quo arbitratu ſuo rem componerent. Et poſtquam id quoque violentis precibus obtinuit populus, *profecti* ſunt *Bajas Cæſar et Antonius.*

70. *Pompejo* vero quum ceteri omnes uno conſenſu pacem ſuaderent, ſolus *Menodorus* ſcriptitabat ex Sardinia, ut aut fortiter perſequeretur bellum, aut ſaltem cunctaretur amplius; dum fames, pro ipſis pugnans, faceret, ut pax, ſi ita videretur, æquioribus coiret conditionibus: ſimulque *Murcum*, pacis auctorem, ſuſpe-

A. U. 715. ῥιπτούμενον. Ὁ δὲ, καὶ τέως τὸν Μοῦρκον διά τε ἀξίωμα καὶ γνώμην ἐγκρατῆ βαρυνόμενος, ἔτι μᾶλλον ἐκ τῶνδε ἀπεῤῥίπτει, καὶ οὐδὲν ἦν ὅ τι Μούρκῳ προσεῖχεν· ἕως ὁ μὲν Μοῦρκος ἀχθόμενος, ἐς Συρακούσας ὑπεχώρει, καί τινας ἰδὼν φύλακας ἑπομένους ἐκ Πομπηίου, φανερῶς αὐτὸν ἐν τοῖς φύλαξιν ἐλοιδόρει. ὁ δὲ, χιλίαρχον καὶ λοχαγὸν αὐτοῦ Μούρκου διαφθείρας, ἔπεμψεν ἀνελεῖν αὐτὸν, καὶ φάσκειν ὑπὸ θεραπόντων ἀνῃρῆσθαι· ἔς τε πίστιν τῆς ὑποκρίσεως τοὺς θεράποντας ἐσταύρου. οὐ μὴν ἐλάνθανε δεύτερον ἐπὶ Βιθυνικῷ τόδε μύσος ἐργασάμενος, περὶ ἄνδρα καὶ τὰ πολέμια λαμπρὸν, καὶ τῆς αἱρέσεως ἐγκρατῆ φίλον ἀπ᾽ ἀρχῆς, καὶ ἐς αὐτὸν Πομπήιον εὐεργέτην τε ἐν Ἰβηρίᾳ γενόμενον, καὶ ἑκόντα ἐλθόντα ἐς Σικελίαν. Μοῦρκος μὲν δὴ τεθνήκει.

LXXI. Τῶν δ᾽ ἄλλων τὸν Πομπήιον ἐς τὰς διαλύσεις ἐπειγόντων, καὶ τὸν Μηνόδωρον διαβαλλόντων ἐς φιλαρ-

Lin. 48 *sq.* καὶ ἑκόντα δὲ *Edd. non male, sed invitis MSS.* καὶ ἑκόντα καὶ ἐλθόντα *Regii.* καὶ ἑκόντα ἐλθόντα *dedit Aug.*

ctum ei reddebat, quasi ipse sibi pararet potentiam. *Pompejus*, qui jam antea Murcum propter dignitatem & consilii constantiam gravatim tulerat, eo magis nunc etiam ab eo alienatus est, ut nulla in re amplius consilio ejus uteretur. Ea re offensus *Murcus*, Syracusas secessit; & conspectis nonnullis custodibus a Pompejo ad insequendum se missis, propalam coram eis in Pompejum jecit convicia. Tum *Pompejus* corruptum ipsius Murci tribunum centurionemque *misit, qui Murcum interficerent*, & a servis propriis fingerent interfectum. Is dolus quo magis fidem inveniret, servos in crucem egit. Nec tamen latuit alterum hoc, post sublatum Bithynicum, scelus Pompeji, patratum in virum laude bellica illustrem, qui & constantissimus inde ab initio amicus illarum partium fuerat, & de ipso Pompejo in Hispania optime erat commeritus, & nunc ultro ad eum in Siciliam venerat. At tali quidem *fato Murcus functus* est.

71. Quo mortuo reliquis omnibus ad pacem Pompejum hortantibus, Menodorumque accusantibus, ut gaudentem classis imperio, nec tam do-

χίαν, ὡς οὐκ εὐνοίᾳ τοῦ δεσπότου μᾶλλον, ἢ ὅπως αὐτὸς ἄρχοι στρατοῦ καὶ χώρας, ἐνιστάμενον· ἐνδοὺς ὁ Πομπήιος, ἐς τὴν Αἰναρίαν διέπλει ναυσὶ πολλαῖς ἀρίσταις, ἑξήρους λαμπρᾶς ἐπιβεβηκώς. καὶ Δικαιάρχειαν μὲν οὕτω σοβαρῶς παρέπλευσε περὶ ἑσπέραν, ἐφορώντων τῶν πολεμίων. Ἅμα δὲ ἕῳ, καταπηχθέντων σταυρῶν ἐξ ὀλίγου διαστήματος ἐν τῇ θαλάσσῃ, σανίδες τοῖς σταυροῖς ἐπετέθησαν· καὶ δύο τῶνδε τῶν καταστρωμάτων ὁ μὲν Καῖσαρ καὶ ὁ Ἀντώνιος παρῆλθον ἐς τὸ πρὸς τῇ γῇ πεποιημένον, ὁ δὲ Πομπήιος καὶ ὁ Λίβων ἐς τὸ πελαγιώτερον, ὀλίγου ῥεύματος αὐτοὺς διείργοντος, μὴ κεκραγότας ἀλλήλων ἀκούειν. Ἐπεὶ δὲ ὁ μὲν Πομπήιος ἐπὶ κοινωνίᾳ τῆς ἀρχῆς ἥκειν ᾤετο ἀντὶ Λεπίδου, οἱ δὲ ὡς κάθοδον αὐτῷ δώσοντες μόνην, τότε μὲν ἐπ' οὐδενὶ ἔργῳ διεκρίθησαν. διαπομπαὶ δὲ συχναὶ τῶν φίλων ἦσαν, ἐπὶ ποικίλαις ἑκατέρων προκλήσεσιν. ᾔτει δ' ὁ Πομπήιος τῶν προγεγραμμένων τε καὶ οἳ συνόντων, τοῖς A. U. 715.

Lin. 59. καὶ διὰ τῶνδε *Edd. & MSS. nostri, quod ex coniect. corrigere non dubitavi.* L. 62. αὐτοῖς διειργ. *Edd. Rectius Aug.*

mino ſtudentem, quam ſibi uſurpantem provinciam cum exercitu, ob eamque cauſam pacem impedire conantem; obſecutus *Pompejus traiecit in Aenariam*, cum multis ſelectis navibus, ipſe invectus hexere ornatiſſima: atque ita *Puteolos* prӕternavigavit ſuperbe circa veſperam, inſpectantibus hoſtibus. Primo autem mane duobus locis, exiguo intervallo, palis in mare defixis pontes ſunt inſtrati; in quorum tabulatorum alterum, terrӕ contiguum, *Cæſar* progreſſus eſt *et Antonius*; *Pompejus et Libo* in alterum, quod paulo magis in mare excurrebat, modico aquarum fluxu ab altero tabulato diremtum, ut ſine clamore voces invicem exaudirentur. Sed quoniam *Pompejus* eo ſe adveniſſe putarat, ut in ſocietatem imperii admitteretur loco Lepidi, quum alteri non niſi reditum ei in patriam vellent concedere; idcirco tunc quidem *re infecta diſceſſum* eſt. Neque tamen intermiſerunt per internuncios amicos rem tractare, varias conditiones ferentes ultro citroque. Poſtulabat autem *Pompejus*, ut ex proſcriptis; qui apud eum

A. U. 715. μὲν ἀνδροφόνοις Γαΐου Καίσαρος φυγὴν ἄδολον, τοῖς δὲ λοιποῖς κάθοδόν τε ἔντιμον, καὶ τὰς οὐσίας ἃς ἀναλώκεσαν. Ἐπειγόμενοι δὲ ἐς τὰς συμβάσεις ὑπό τε τοῦ λιμοῦ καὶ ὑπὸ τοῦ δήμου, ἐς τὸ τέταρτον μόλις ἐνεδίδουν, ὡς ὠνησόμενοι παρὰ τῶν ἐχόντων· καὶ τοῖς προγεγραμμένοις αὐτοῖς περὶ τούτων ἐπέστελλον, ἐλπίζοντες αὐτοῖς αὐτοὺς ἀγαπήσειν. Οἱ δὲ ἐδέχοντο πάντα, ἐπεὶ καὶ Πομπήϊον αὐτὸν ἐδεδοίκεσαν ἤδη, διὰ τὸ Μούρκου μῦσος· καὶ προσιόντες τῷ Πομπηΐῳ, συνθέσθαι παρεκάλουν. ὅτε καὶ τὴν ἐσθῆτα κατερρήξατο ὁ Πομπήϊος, ὡς καὶ τῶνδε προδιδόντων αὐτὸν ὧν προμάχεται, καὶ θαμινὰ τὸν Μηνόδωρον ὡς στρατηγικὸν καὶ μόνον εὔνουν ἀνεκάλει.

LXXII. Μουκίας δὲ αὐτὸν τῆς μητρὸς, καὶ Ἰουλίας τῆς γυναικὸς ἐναγουσῶν, αὖθις οἱ τρεῖς συνῆλθον ἐς τὸ ἀμφίκλυστον Δικαιαρχέων χῶμα, περιορμουσῶν τῶν

Lin. 71. τοῦ ad λιμοῦ adjeci ex Aug & Reg. A. L. 76. μῦσος edit. 1. mend. ex Reg. A. & sic Aug. & Reg. B. ex importuna emendat. L. 79. προμάχηται Edd. ex Reg. B. Prætuli Aug. Reg. A. L. 82 sq. ἐς τὸ ἀμφικλυστὸν δὴ καὶ ἀρχαῖον χῶμα Edd. MSS. & Cand. Præterea φίκλυστον Aug. truncata voce. Emendavi ex facili conjectura, præeunte fere Musgravio, qui Δικαιαρχειέων suspicatus erat.

versabantur, conjurationis quidem sociis concederetur securum exilium, reliquis vero honoratus in patriam reditus, & bonorum restitutio. Et illi, quum & fames & populus urgeret ut pacem componerent, ægre tandem concesserunt, ut quarta bonorum pars restitueretur, quam a novis possessoribus se redemturos receperunt: scripseruntque ea de re ad ipsos proscriptos, rati contentos fore. Et acceperunt hi conditionem, timentes jam Pompejum propter scelus in Murcum perpetratum: aditoque Pompejo, exorarunt eum, ut pacem componeret. Sed ille tum, vestem discindens, prodi se conquestus est ab his, quorum hactenus propugnator fuisset; crebroque Menodorum nomine invocavit, ut imperatoriarum artium in primis gnarum, & solum constantem in benevolentia.

72. Tandem urgentibus Pompejum *Mucia* matre, *Juliaque* uxore, rursus tres illi (*Cæsar Antoniusque et Pompejus*) in aggere ab utraque parte mari adluto prope Pu-

φυλακίδων νεῶν. Καὶ συνέβησαν ἐπὶ τοῖσδε· Λελύσθαι μὲν τὸν πόλεμον αὐτοῖς καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν, καὶ τὰς ἐμπορίας ἀκωλύτους εἶναι πανταχοῦ· Πομπήϊον δὲ τὰς φρουρὰς ἐξαγαγεῖν, ὅσαι κατὰ τὴν Ἰταλίαν εἰσί· καὶ μηκέτι τοὺς ἀποδιδράσκοντας οἰκέτας ὑποδέχεσθαι· μὴ δὴ ἐφορμεῖν ναυσὶ τὴν ἀκτὴν τῆς Ἰταλίας· ἄρχειν δὲ Σαρδοῦς, καὶ Σικελίας, καὶ Κύρνου, καὶ ὅσων ἄλλων εἶχεν ἐς τότε νήσων, ἐς ὅσον ἄρχοιεν τῶν ἑτέρων Ἀντώνιός τε καὶ Καῖσαρ, πέμποντα Ῥωμαίοις τὸν ἐκ πολλοῦ τεταγμένον αὐταῖς φέρειν σῖτον· ἐπιλαβεῖν δὲ καὶ Πελοπόννησον ἐπὶ ταύταις· ὑπατεῦσαι δὴ ἀπόντα δι' ὅτου κρίνοι τῶν φίλων, καὶ τῆς μεγίστης ἱερωσύνης ἐς τοὺς ἱερέας ἐγγραφῆναι. καὶ τάδε μὲν εἶναι Πομπηΐῳ. Κάθοδον δὲ τοῖς ἔτι φεύγουσι τῶν ἐπιφανῶν, πλὴν εἴ τις ἐπὶ τῷ φόνῳ Γαΐου Καίσαρος ψήφῳ καὶ κρίσει κατέγνωσται· καὶ τῆς περιουσίας τοῖς μὲν ἄλλοις, ὅσοι κατὰ A. U. 715.

Lin. 89. τῇ ἀκτῇ maluerat Musgrav. L. 91. ἐν τότε Aug. mend. Ibid. ἐς ante ὅσον caret Reg. B. Ibid. sq. ἄρχοι ἐτῶν ἑτέρων edit. 1. ἄρχων ἐτῶν ἑτέρων Reg. A. ἄρχοιε τῶν ἑτέρων Reg. B. Recte Aug. ut emendavit H. Stephan.

teolos, collocatis circa eum in statione navibus cum præsidio, convenerunt, & *pacem in has conditiones composuerunt:* „Ut terra marique cessaretur ab armis, & negotiationes nusquam impedirentur: Pompejus ex omnibus Italiæ locis præsidia deduceret, nec amplius fugitivos reciperet, neve naves ipsius littoribus Italiæ insidiarentur: ut idem Pompejus imperium Sardiniæ, Siciliæ, Corsicæ, ceterarumque quas ad id tempus habuisset insularum, in tot annos teneret, in quot Antonio Cæsarique prorogatum fuerit „reliquarum provinciarum imperium; mitteretque Romano populo frumentum jamdudum insulis illis imperatum; tum & Peloponnesum præter dictas insulas acciperet: denique absens Consulatum gereret per quemcumque voluisset ex amicis; & in majorum pontificum collegium adscriberetur." Hæc Pompejo concessa. Ceterum „reditus pateret nobilibus exulibus, exceptis his qui ut interfectores C. Cæsaris publico judicio fuissent damnati: bona profugis, qui ob metum solum profugissent, resque suas per vim

A. U. 715.

φόβον ἔφευγον, καὶ τὰ ὄντα αὐτοῖς ἐκ βίας ἀπωλώλει, τὸ ἐντελὲς ἀποδοθῆναι χωρὶς ἐπίπλων, τοῖς δὲ προγεγραμμένοις μοῖραν τετάρτην. καὶ τῶν ἐστρατευμένων τῷ Πομπηίῳ τοὺς μὲν οἰκέτας ἐλευθέρους εἶναι· τοῖς δ' ἐλευθέροις, ὅτε παύσαιντο τῆς στρατείας, τὰ αὐτὰ δοθῆναι γέρα τοῖς ἐστρατευμένοις Καίσαρί τε καὶ Ἀντωνίῳ.

LXXIII. Ἐς ταῦτα συνέβησαν· καὶ ταῦτα συνεγράψαντο καὶ ἐσημήναντο, καὶ ταῖς ἱεραῖς παρθένοις φυλάσσειν ἔπεμψαν ἐς Ῥώμην. Ἐξένιζον δ' ἀλλήλους αὐτίκα, περὶ τῆς τάξεως διαλαχόντες· πρῶτος μὲν ἐπὶ ἐξήρους Πομπήιος περιωρμισμένης ἐς τὸ χῶμα· ταῖς δὲ ἑξῆς, Ἀντώνιός τε καὶ Καῖσαρ, σκηνοποιησάμενοι καὶ οἵδε ἐπὶ τοῦ χώματος· πρόφασιν μὲν, ὡς ἅπαντες ἐπὶ ἀκτῆς ἑστιῷντο, τάχα δ' ἐς ἀσφάλειαν ἀνύποπτον. οὐδὲ γὰρ οὐδ' ὧς εἶχον ἀμελῶς, ἀλλ' αἵ τε νῆες αὐτοῖς παρώρμουν, καὶ οἱ φύλακες περιειστήκεσαν, καὶ οἱ περὶ τὸ δεῖπνον αὐτὸ ἀφανῶς εἶχον ὑπεζωσμένα ξιφίδια. Λέγεται δὲ Μηνόδωρος, ἑστιωμένων ἐν τῇ νηὶ τῶν ἀνδρῶν, πέμψαι Πομπηίῳ,

Lin. 13. ἑστιῶντο *Edd. Subscripsi Jota; quo perraro utitur Aug.*

„ amisissent, ex asse omnia restituerentur, exceptis mobilibus; proscriptis vero, ex quadrante: tum, qui sub Pompejo militassent, servis libertas esset præmium; ingenuis vero, post peracta stipendia, præmia eadem persolverentur quæ veteranis Cæsaris & Antonii."

73. Hæ tum *pacis leges* fuere: quas conscriptas obsignatasque in Urbem miserunt adservandas Vestalibus. His factis, statim *hospitio se invicem exceperunt*; ordine, quo id a quoque fieret, sorte decreto. Primus *Pompejus* hexere ad aggerem adpulsa excepit hospites; sequentibus diebus *Antonius* & *Cæsar*, fixis in eodem aggere tentoriis: quod quidem hoc prætextu faciebant, ut omnibus epulum præberetur in littore; sed fortasse mutuæ magis securitatis causa, & ad suspicionem removendam. Nam ne sic quidem cura fuit remissior; sed & naves præsto erant in stationibus, & satellites circa eos stabant, & ipsi convivæ quoque sub veste accincti erant pugionibus. Fertur autem *Menodorus*, dum in navi epulabantur hospites, ad

προτρέπων αὐτὸν, ἐπιθέσθαι τοῖς ἀνδράσι, καὶ τίσασθαι μὲν τῆς ἐς τὸν πατέρα καὶ τὸν ἀδελφὸν ἁμαρτίας, ἀναλαβεῖν δὲ τὴν ἀρχὴν τὴν πατρῴαν δι' αὐτῆς τῆς ἀφορμῆς· ἐπιμελήσεσθαι γὰρ αὐτὸς, ἐν ταῖς ναυσὶν ὢν, μηδένα διαφυγεῖν. ὁ δ' ἀποκρίνασθαι τοῦ γένους ἅμα καὶ τῆς χρείας ἀξίως· Εἴθε Μηνόδωρον ἦν ἐργάσασθαι ταῦτα χωρὶς ἐμοῦ. Μηνοδώρῳ γὰρ ἁρμόζειν ἐπιορκεῖν, οὐ Πομπηίῳ. Ἥρμοσαν δ' ἐν τῷδε τῷ δείπνῳ τὴν Πομπηίου θυγατέρα, Λίβωνος οὖσαν θυγατριδῆν, Μαρκέλλῳ τῷ προγόνῳ μὲν Ἀντωνίου, ἀδελφιδῷ δὲ Καίσαρος. Ἀπέφηναν δὲ τῆς ἐπιούσης ὑπάτους ἐς τετραετὲς, Ἀντώνιον μὲν καὶ Λίβωνα πρώτους, ἀντικαθιστάντος ὁμοίως Ἀντωνίου ὃν ἂν βούλοιτο· ἐπὶ δ' ἐκείνοις Καίσαρά τε καὶ Πομπήιον, εἶτα Ἀηνόβαρβον καὶ Σόσσιον, εἶτ' αὖθις Ἀντώνιόν τε καὶ Καίσαρα, τρίτον δὴ τότε μέλλοντας ὑπατεύσειν, καὶ ἐλπιζομένους τότε καὶ ἀποδώσειν τῷ δήμῳ τὴν πολιτείαν. *A. U.* 715.

LXXIV. Τάδε μὲν ἔπραξαν· καὶ διακριθέντες ἀλλήλων, ὁ μὲν ἐς Σικελίαν ἔπλει, Καῖσαρ δὲ καὶ Ἀντώνιος

Pompejum misisse, eumque admonuisse „ut, adversarios dolo adgressus, ulcisceretur illatam patri fratrique injuriam, & occasione arrepta paternum sibi adsereret imperium: se enim, cum navibus in proximo versantem, curaturum, ut nemo effugiat:" *Pompejum* vero, quemadmodum & ipsius generi, & conditioni, qua tum res erant, conveniebat, respondisse: „Utinam Menodorus hoc absque me posset perficere! nam illi perjurium convenit, non Pompejo." In ea cœna *Pompeji filia*, Libonis neptis, *desponsa* est *Marcello*, privigno Antonii, Cæsaris sororis filio. Sequenti die *Consules designarunt in quadriennium*: primos Antonium & Libonem, adjecta conditione, ut Antonio pariter liceret alium pro se, quemcumque voluisset, substituere: post illos Cæsarem & Pompejum: tum Ahenobarbum & Sossium: deinde rursus Cæsarem & Antonium; qui tertium tunc futuri consules rempublicam sperabantur populo Romano reddituri.

74. His transactis, discesserunt: *Pompeius* in Siciliam navibus; *Cæsar et Antonius*

A. U. 715. ὥδευον ἐς Ῥώμην. πυθόμεναι δὲ ἥ τε πόλις καὶ ἡ Ἰταλία, ἐπαιώνιζον αὐτίκα ἅπαντες, ὡς ἐπὶ εἰρήνῃ, πολέμου τε ἀπαλλαγέντες ἐπιχωρίου, καὶ ξεναγήσεως υἱῶν, καὶ φρουρῶν ὕβρεως, καὶ θεραπόντων αὐτομολίας, καὶ λεηλασίας πεδίων, καὶ γεωργίας ἀργίας, ὑπὲρ ἅπαντα δὲ τοῦ λιμοῦ, πιέσαντος αὐτοὺς ἐς ἔσχατον. ὥστε παροδεύουσιν αὐτοῖς, οἷα σωτῆρσιν, ἐγίγνοντο θυσίαι· καὶ τὸ ἄστυ ἔμελλεν ὑποδέξασθαι περιφανῶς, εἰ μὴ νυκτὸς, ἐκκλίνοντες τὸ φορτικὸν, ἔλαθον εἰς τὴν Ῥώμην ἐσελθόντες. μόνοι δὲ ἤχθοντο, ὅσοι τὰ τῶν ἐλευσομένων σὺν Πομπηΐῳ χωρία κεκληρουχήκεσαν· ἡγούμενοι σφίσι τοὺς γεωμόρους ἀδιαλλάκτους ἐχθροὺς παροικήσειν, καὶ, εἴ ποτε δυνηθεῖεν, ἐπιθήσεσθαι. Οἱ δ' ἀμφὶ τὸν Πομπήϊον φυγάδες αὐτίκα, χωρὶς ὀλίγων, οἱ πλείους, ἐν τῇ Δικαιαρχείᾳ τὸν Πομπήϊον ἀσπασάμενοι, κατέπλεον ἐς τὴν Ῥώμην. καὶ ἑτέρα τοῦ πλήθους ἦν ἡδονὴ, καὶ βοαὶ

Lin. 45 *ſq.* ἐς τὴν Ῥωμ.: ἐπελθόντες *Edd. Prætuli Aug.* *L.* 51. Δικαιαρχία *h. l. Edd. cum Regg. malc. Recte Aug.*

terreſtri itinere Romam profecti ſunt. *Ad ejus pacis nuncium, Urbs et univerſa Italia feſtis conclamationibus perſtrepuit:* lætabanturque omnes, liberatos ſe tandem inteſtino bello, & filiorum ad militiam delectibus, & præſidiariorum injuriis, mancipiorum transfugiis, agrorum vaſtationibus, agriculturæ ceſſatione, & ſuper omnia fame, quæ diro maxime modo eos preſſerat. Quapropter *tranſeuntibus imperatoribus ſacra vulgo faciebant, velut ſervatoribus.* Urbs quoque illuſtri pompa illorum adventum erat exceptura; ni, declinantes ejus rei invidiam, clam noctu Romam maluiſſent ingredi. Soli publicæ hilaritatis expertes erant, qui agros poſſidebant exulum eorum, quibus una cum Pompejo reditus ex fœdere erat impetratus: quippe qui putabant, paratos ſibi vicinos infenſiſſimos, & ad quamvis occaſionem exſerturos malevolentiam. Ipſi autem hi *profugi*, qui Pompejum hactenus erant ſecuti, plerique omnes, paucis exceptis, Pompejo Puteolis ſalutato, *Romam* ſtatim *navigarunt.* Unde nova plebi fuit lætitia, adclamationeſque variæ, tot illuſtri-

ποικίλαι, τοσῶνδε οὕτως ἐπιφανῶν ἐξ ἀέλπτου περισεσωσμένων. A. U. 715.

LXXV. Ἐπὶ δὲ τούτοις ὁ μὲν Καῖσαρ ἐς τὴν Κελτικὴν ἐξώρμα ταρασσομένην· ὁ δὲ Ἀντώνιος ἐπὶ τὸν πόλεμον τῶν Παρθυαίων. καὶ, αὐτῷ τῆς βουλῆς ψηφισαμένης εἶναι κύρια ὅσα ἔπραξέ τε καὶ πράξειεν, αὖθις στρατηγοὺς πανταχῇ περιέπεμπε, καὶ τ᾽ ἄλλα ὡς ἐπενόει πάντα διεκόσμει. Ἵστη δέ πη καὶ βασιλέας, οὓς δοκιμάσειεν, ἐπὶ φόροις ἄρα τεταγμένοις· Πόντου μὲν, Δαρεῖον, τὸν Φαρνάκους, τοῦ Μιθριδάτου· Ἰδουμαίων δὲ καὶ Σαμαρέων, Ἡρώδην· Ἀμύνταν δὲ Πισιδῶν· καὶ Πολέμωνα μέρους Κιλικίας, καὶ ἑτέρους ἐς ἕτερα ἔθνη. τὸν δὲ στρατὸν, ὅσος ἔμελλεν αὐτῷ συγχειμάσειν, περιουσιάσαι τε βουλόμενος καὶ γυμνάσαι, τοὺς μὲν αὐτῶν ἐπὶ Παρθηνοὺς ἔπεμπεν, Ἰλλυρικὸν ἔθνος, Ἐπιδάμνῳ πάροικον, προθυμοτάτους γενομένους Βρούτῳ· τοὺς δ᾽ ἐπὶ Δαρδανέας, ἕτερον Ἰλλυριῶν γένος, αἰεὶ Μακεδονίαν ἐπιτρέχον-

Lin. 58. πράξειεν edit. 2. 3. cum MSStis Regiis. L. 60. εἴσῃ mend. edit. 1. cum Regiis. Ibid. δέ ποι Edd. Dedi lect. Aug. L. 63. Ἀμύνταν h. l. Edd. Recte Aug. L. 66 sq. ἐπὶ Παρθυαίους Edd. ex Reg. B. Παρθηνοὺς h. l. Aug. Reg. A. Parthienos Cand. Correxi mendum.

bus viris præter ſpem redditis patriæ.

75. Poſthæc *Cæſar in Galliam*, turbis nonnihil agitatam, *fecit expeditionem*: ANTONIUS *ad bellum Parthicum profectus* eſt; &, quum *Senatusconſulto adprobata fuiſſent acta ejus tam futura quam præterita*, rurſus dimiſſis quaquaverſum ducibus legatiſque ſuis, reliqua cuncta, ut voluit, diſpoſuit. *Regeſque* nonnullis locis, certa utique tributa collaturos, *adpellavit* arbitratu ſuo: *Ponti*, *Darium*, Pharnacis filium, Mithridatis nepotem; *Idumæorum Samaritarumque*, *Herodem*; *Amyntam*, *Piſidarum*; *Polemonem*, partis *Ciliciæ*; alioſque, aliarum gentium. Exercitum autem, qui cum ipſo erat hibernaturus, ut lucris ſimul locupletaret, ſimul exercitaret, miſit in *Parthenos*, Illyricam gentem, Epidamno vicinam, Bruti quondam ſtudioſiſſimam; alium in *Dardanos*, hos quoque Illyrici generis, Macedoniam incurſare ſolitos; alios in Epiro

A. U. τας· τοὺς δ᾽ ἐν Ἠπείρῳ μένειν ἐκέλευεν, ὡς ἂν ἐν κύκλῳ
715. πάντας ἔχῃ, μέλλων αὐτὸς ἐν Ἀθήναις χειμάσειν. ἔπεμπε δὲ καὶ Φούρνιον ἐς Λιβύην, τὰ ὑπὸ Σεξστίῳ τέλη τέσσαρα ἄξοντα ἐπὶ Παρθυαίους· οὐ γάρ πω πέπυστο αὐτὰ Λέπιδον ἀφῃρῆσθαι Σεξστίου.

LXXVI. Ταῦτα διαθέμενος, ἐχείμαζεν ἐν ταῖς Ἀθήναις μετὰ τῆς Ὀκταουίας, καθὰ καὶ ἐν Ἀλεξανδρείᾳ μετὰ τῆς Κλεοπάτρας· τὰ μὲν ἐκ τῶν στρατοπέδων ἐπιστελλόμενα ἐφορῶν μόνα, ἀφέλειαν δὲ ἰδιωτικὴν αὖθις ἐξ ἡγεμονίας καὶ σχῆμα τετράγωνον ἔχων, καὶ ὑπόδημα Ἀττικὸν, καὶ θύρας ἠρεμούσας· ἔξοδοί τε ἦσαν ὁμοίως ἄνευ σημείων αὐτῷ, σὺν δύο φίλοις καὶ σὺν ἀκολούθοις δύο, ἐς διδασκάλων διατριβὰς ἢ ἀκροάσεις. καὶ τὸ δεῖπνον ἦν Ἑλληνικὸν, καὶ μεθ᾽ Ἑλλήνων ἡ χειμασία, πανηγύρεις τε σὺν θυμηδίᾳ μετὰ τῆς Ὀκταουίας· πολὺς γὰρ καὶ ἐς τήνδε ἐρρύη, ταχὺς ὢν ἐς ἔρωτας γυναικῶν. Λή-
6. γοντος δὲ τοῦ χειμῶνος, ὥσπερ ἑτέρῳ γενομένῳ, ἥ τε

Lin. 71. ἔχοι Edd. Prætuli Aug. Ven. Ibid. μάλαν αὐτὸς edit. 3. oper. err. L. 83. Pro χειμασία, vix dubito, quin γυμνασία sit legendum: quæ est sagax Musgravii conjectura. Ibid. sq. πανηγύρεις τελῶν σὺν θυμ. Edd. Verius Aug. Ven.

jussit præstolari: ut diversis circumcirca partibus omnes haud procul ab ipso abessent, qui Athenas hiberna sibi delegerat. Misit & *Furnium* in Africam, qui Sextii quatuor legiones contra Parthos duceret: nondum enim cognoverat, *Lepidum* eas ademisse Sextio.

76. His ita dispositis, *Athenis hiemavit Antonius cum Octavia*, sicut ante Alexandriæ cum Cleopatra; literas tantum ab exercitibus adlatas inspiciens, ceterum relicto imperatorio cultu, palliatus rursum & phæcasiatus Attico more, remotis a foribus salutatorum officiis, & procedens in publicum absque insignibus, duobus amicis comitatus & duobus famulis, ut professores aut recitatores audiret. Cœnam quoque Græco more sumebat, & partim exercitationibus vacabat cum Græcis hominibus, partim festis ludisque se oblectabat cum Octavia; nam hanc quoque deperibat vir natura pronior ad mulierum amores. Exacta vero hieme, tamquam alius factus, ad militarem cultum

ἐσθῆς αὖθις, καὶ μετὰ τῆς ἐσθῆτος ἡ ὄψις, ἐνηλλάσσετο· καὶ πλῆθος ἦν ἀμφὶ τὰς θύρας αὐτίκα σημείων τε καὶ ἡγεμόνων καὶ δορυφόρων, καὶ φόβου πάντα μεστὰ καὶ καταπλήξεως· πρεσβεῖαί τε ἐσεδέχοντο, αἳ τέως ἠρέμουν κεκελευσμέναι, καὶ δίκαι διεκρίνοντο, καὶ νῆες καθείλκοντο, καὶ ἡ ἄλλη παρασκευὴ πᾶσα συνεκινεῖτο. A. U. 716.

LXXVII. Καὶ Ἀντώνιος μὲν ἀμφὶ ταῦτα ἦν. Καίσαρι δὲ καὶ Πομπηΐῳ διελύθησαν αἱ γενόμεναι σπονδαί, κατὰ μὲν αἰτίας, ὡς ὑπενοεῖτο, ἑτέρας· αἱ δὲ ἐς τὸ φανερὸν ὑπὸ τοῦ Καίσαρος ἐκφερόμεναι, αἵδε ἦσαν. Πελοπόννησον Ἀντώνιος μὲν ἐδίδου Πομπηΐῳ, κελεύων, ὅσα ἔτι ὤφελον αὐτῷ Πελοποννήσιοι δόντα, ἢ αὐτὸν ἀναδεξάμενον ἀποδώσειν, παραλαβεῖν, ἢ περιμεῖναι τὴν πρᾶξιν αὐτῶν. Ὁ δὲ οὐκ ἐδέχετο μὲν ἐπὶ τοῖσδε τὴν χώραν, ἡγούμενος αὐτῷ σὺν τοῖς ὀφλήμασι δεδόσθαι· χαλεπαίνων δέ, ὡς ὁ Καῖσαρ ἔλεγεν, εἴτε ἐπὶ τούτοις, εἴτε κατὰ γνώμην ἄπιστον, εἴθ' ὑπὸ ζήλου τῶν ἑτέρων μεγάλους στρατοὺς

Lin. 91. κεκλευσμέναι *edit.* 3. *vit.* *L.* 95. ἐπενοεῖτο *edit.* 1. *male.*

rediit, perſonamque mutavit: rurſumque circa fores obverſabantur lictores, duces, & ſatellites, & ad terrorem omnia compoſita: tum legationes admittebantur, ad id tempus juſſu ipſius dilatæ; jus reddebatur; naves deducebantur; & reliquo militari adparatu ſtrepebant omnia.

77. In his dum Antonius occupatur, *inter Cæſarem Pompejumque turbata pax* eſt: cauſis, ut quidem ſuſpicabantur plerique, aliis; ſed, quas in publicum Cæſar efferebat, hæ fuere. *Peloponneſum Antonius Pompejo ceſſerat hac conditione* „ut, ſi jam ſtatim accipere vellet provinciam, ſolveret Antonio quæ Peloponneſii ei deberent, aut perſoluturum ſe reciperet; ſin id non placeret, tantiſper exſpectaret, dum pecuniæ illæ Antonii nomine coactæ eſſent." Jam vero *Pompejus* non accepit hac conditione provinciam, ratus eam una cum debitis pecuniis ſibi datam fuiſſe. Eamque rem (ut *Cæſar* ajebat) ægre ferens *Pompejus*; ſive ob id ipſum, ſive ſuapte perfidia, vel quod invideret alteris, magnos exercitus habentibus, vel quod,

A. U. 716.

ἐχόντων, εἴτε Μηνοδώρου διερεθίζοντος αὐτὸν ἀνοχὰς μᾶλλον ἢ βεβαίους σπονδὰς εἶναι νομίζειν, ναῦς ἄλλας ἐποιεῖτο, καὶ ἐρέτας συνέλεγε, καὶ τῷ στρατῷ ποτε ἐδημηγόρησε; χρῆναι πάντως οὕνεκα παρασκευάζεσθαι. λῃστήριά τε αὖθις ἀφανῆ τὴν θάλασσαν ἠνώχλει, καὶ μικρὸν ἢ οὐδὲν ἄκος τοῦ λιμοῦ γεγένητο Ῥωμαίοις. ὥστε ἐβόων, οὐκ ἀπαλλαγὴν τῶν κακῶν, ἀλλ' ἐπίληψιν τετάρτου τυράννου κατὰ σπονδὰς γεγονέναι. Καὶ ὁ Καῖσαρ τινα λῃστήρια συλλαβὼν ἐβασάνιζεν, οἳ Πομπήιον σφᾶς ἔλεγον ἐπιπέμψαι· καὶ τάδε αὐτὰ ὁ Καῖσαρ τῷ δήμῳ προὔφερε, καὶ ἐπέστελλεν αὐτῷ Πομπηίῳ. Ὁ δὲ ἐξελογεῖτο μὲν ὑπὲρ τούτων, ἀντενεκάλει δὲ Πελοποννήσου χάριν.

LXXVIII. Ὅσοι δὲ τῶν ἐπιφανῶν ἦσαν ἔτι παρὰ τῷ Πομπηίῳ, ὁρῶντες αὐτὸν αἰεὶ πειθόμενον τοῖς ἀπελευθέροις, διέφθειραν ἐνίους τῶν ἀπελευθέρων, εἴτε ἀπὸ σφῶν αὐτῶν, εἴτε ἐς χάριν Καίσαρος, ἐξοτρύνειν ἐπὶ

Lin. 15. προσέφερε *Edd. Rectius Aug.* *L.* 21 *sq.* ἐξοτρ. ἐπὶ Μηνοδώρῳ Καίσαρα, ὡς ἔτι ἄρχοντι τὸν δεσπότην *Edd. cum Regiis. Quidquid est inter* ἐξοτρύνειν ἐπὶ *l.* 22. & Μηνοδώρου δυναμ. *l.* 23. *per err. omisit Aug. Delevi importunum nomen* Καίσαρα, *quod nec Cand. agnoscit:*

a Menodoro instigatus, non pacem hanc esse, sed inducias tantum, putaret; parabat alias naves aliudque remigium, & exercitum quoque aliquando pro concione admonuit, omnino esse opus ut denuo bellum paretur. Rursusque ex occultis receptaculis piratæ infestabant maria: & exiguum ac propemodum nullum adlatum erat urbanæ fami remedium. Quare *passim jactabatur* „ non quæsitum nupera pace finem malorum, sed adsumtum quartum tyrannidis socium." Et *Cæsar* captos aliquot piratas torsit, qui fassi sunt, se a Pompejo submissos: idque ipsum Cæsar evulgavit populo, & ipsi *Pompejo* significavit per literas. Sed ille quidem, de hac culpa se purgans, de Peloponneso contra conquestus est.

78. Quotquot autem nobilium adhuc apud Pompejum hæserant, ubi viderunt semper eum libertorum parere consiliis, corruperunt aliquot ex eorum numero, sive ultro, sive in gratiam Cæsaris, ut

Μηνοδώρῳ, ὡς ἐπὶ ἄρχοντι, τὸν δεσπότην. οἱ δὲ καὶ αὐτοὶ, φθόνῳ τῆς Μηνοδώρου δυνάμεως, ἑκόντες ἐποίουν. Καὶ Πομπήιος μὲν ἐς ἀλλοτρίωσιν ὑπήγετο τοῦ Μηνοδώρου. Τῶν δὲ αὐτῶν ἡμερῶν Φιλάδελφος, ὁ Καίσαρος ἀπελεύθερος, πρὸς τὸν Μηνόδωρον διέπλευσε, σίτου κομιδῆς οὕνεκα· καὶ Μικυλίων, ὁ πιστότατος τῷ Μηνοδώρῳ, πρὸς Καίσαρα, περὶ αὐτομολίας τοῦ Μηνοδώρου· ὑπισχνεῖτο δὲ ἐγχειριεῖν Σαρδὼ καὶ Κύρνον, καὶ τρία τέλη στρατοῦ, καὶ φίλων πλῆθος ἕτερον. Καὶ τόδε, ὃν ἔργον εἴτε Φιλαδέλφου, εἴτε τῶν ἐς Μηνόδωρον παρὰ Πομπηίου διαβολῶν, ὁ Καῖσαρ οὐκ εὐθὺς μὲν, ἐδέξατο δὲ ὅμως, ἡγούμενος ἔργῳ τὴν εἰρήνην λελύσθαι. καὶ Ἀντώνιον ἐξ Ἀθηνῶν ἐς τὸ Βρεντέσιον ἐς ἡμέραν ῥητὴν παρεκάλει, συμβουλευσόμενος αὐτῷ περὶ τοῦδε τοῦ πολέμου· ναῦς τε μακρὰς ἐκ Ραβέννης, καὶ στρατὸν ἐκ τῆς Κελτικῆς, καὶ παρασκευὴν ἄλλην, ἐς τὸ Βρεντέσιον καὶ ἐς Δικαιάρχειαν

A. U. 716.

ἐπι autem mutavi in ἐπί, quod & Cand. h. l. invenisse in suo Cod. videtur. L. 26 sq. A δι[illegible] usque Μηνοδώρῳ decem verba omisit Reg. B. L. 27. ὁ πιστότατος Μηνοδώρῳ Edd. invit. MSS. τῷ adjeci ex Reg. A. τῶν Μηνοδώρου exhibet Aug. L. 30. Quin potius καὶ ΨΙΛΩΝ πλῆθος, leviter armatorum multitudinem. Ibid. τόδε ἔργον Edd. ex Reg. A. τόδε ὃν ἔργον Aug. Recte Reg. B. L. 31. εἴτε ἐς Μηνοδ. Edd. τῶν adjeci ex Aug.

Pompejum irritarent contra Menodorum, quasi imperantem ipsi domino. Id libenter illi fecerunt, quippe invidentes tantae hominis potentiae. Atque ea ratione *a Menodoro Pompejus alienatus est*. Per eosdemque dies *Philadelphus*, Cæsaris libertus, navigavit ad Menodorum frumentationis gratia; & *Micylio* Menodori fidissimus amicus ad Cæsarem, acturus de ejus transfugio. *Offerebat* autem *Cæsari Menodorus Sardiniam et Corsicam*, cum tribus legionibus, & magno amicorum numero. Eum favorem, sive opera Philadelphi, sive Pompeji calumniis paratum, *Cæsar* non statim quidem, *accepit* tamen, quum revera violatam pacem existimaret. *Evocavitque Antonium Athenis Brundusium* ad definitum diem, ut de hoc bello conferret cum eo consilia: simulque naves longas e Ravenna, & exercitum e Gallia, reliquumque adparatum, propere misit Brundi-

A. U. 716. ὀξέως περιέπεμπεν, ὡς ἑκατέρωθεν ἐπιπλευσόμενος τῇ Σικελίᾳ, ἢν Ἀντωνίῳ συνδοκῇ.

LXXIX. Ὁ δὲ ἦλθε μὲν ἐς τὴν τεταγμένην ἡμέραν σὺν ὀλίγοις· Καίσαρα δὲ οὐχ εὑρὼν, οὐ περιέμεινεν, εἴτε τὴν γνώμην τοῦ πολέμου μεμψάμενος ὡς παράσπονδον, εἴτε τὴν Καίσαρος παρασκευὴν ἰδὼν πολλὴν οὖσαν, (οὐ γάρ ποτε αὐτοὺς ἀνέπαυε δέος ἢ τῆς μοναρχίας ἐπιθυμία,) εἴτε τι σημεῖον δειδισάμενος. τῶν γὰρ περικοιμωμένων αὐτοῦ τῇ σκηνῇ πρὸς θηρίων εὑρέθη τις δεδαπανημένος, ἄνευ τοῦ προσώπου μόνου, καθάπερ ἐς ἐπίδειξιν παραλελειμμένου, οὔτε τι βοήσας, οὔτε τινὸς τῶν συναναπαυομένων ᾐσθημένου· καὶ λύκον ἔλεγον οἱ Βρεντέσιοι πρὸ ἕω φανῆναι τῶν σκηνωμάτων ἐκθέοντα. Ἔγραφέ γε μὴν τῷ Καίσαρι, μὴ λύειν τὰ συγκείμενα, καὶ ἠπείλει Μηνόδωρον ἀπάξειν, ὡς ἑαυτοῦ δραπέτην· γεγένητο γὰρ Πομπηίου Μάγνου· τὴν δὲ τοῦ Μάγνου περιουσίαν

Lin. 44. ἀνέπαυσε *Aug.* *L.* 48. *Pro* παραλελειμμένου, *quod recte deder. Aug. & Ven. dant mendose* δεδαπανημένου *Edd.* & adempta *Cand.* *Ibid. Verbis* οὔτε τι βοήσας *caret Aug. male.* *L.* 50. πρὸς ἕω *Edd. Recte Aug. Reg. B.* *L.* 51. ἔγραφέ τε μὴν *Aug.*

sium & Puteolos; ab utroque latere simul invasurus Siciliam, si idem videretur Antonio.

79. Et *venit Antonius* ad statutum diem, cum paucis: sed *Cæsarem*, quum ibi non inveniret, *non exspectavit*, sive, quod non probaret bellum suscipi contra fœdus; sive quod insignem videret Cæsaris adparatum; (cupiditas enim sine socio imperandi utrumque numquam vacare sollicitudine sinebat;) sive quod prodigio quodam fuerit territus. Nam unus ex eis, qui ad illius tentorium excubaverant, repertus est a feris absumtus, sola facie excepta, quasi in hoc relicta ut nosceretur homo: idque factum erat absque ipsius clamore, nemineque commilitonum sentiente: & Brundusini ajebant, lupum se vidisse sub diluculum procurrentem e tabernaculis. *Scripsit* tamen *Antonius Cæsari, ne a pactis discederet:* & minatus est „ad supplicium se rapturum *Menodorum*, ut *fugitivum* suum." Nam Pompejo Magno servierat homo: bona autem Magni Antonius

περιουσίαν ὁ Ἀντώνιος ἐώνητο, νόμῳ πιπρασκομένην ὡς πολεμίου. A. U. 716.

LXXX. Ὁ δὲ Καῖσαρ ἔπεμπεν ἐς Σαρδόνα καὶ Κύρνον τοὺς παραληψομένους ἃ Μηνόδωρος ἐνεχείριζεν· ἐκρατύνετο δὲ τὰ παράλια τῆς Ἰταλίας φρουρίοις πολλοῖς, μὴ αὖθις αὐτὰ ὁ Πομπήιος ἐπιδράμοι· τριήρεις δὲ ἑτέρας ἐν Ῥώμῃ καὶ ἐν Ῥαβέννῃ προσέτασσε γίγνεσθαι, καὶ στρατὸν πολὺν ἐκ τῆς Ἰλλυρίδος μετεπέμπετο· Μηνόδωρόν τε ἐλθόντα, ἐλεύθερον εὐθὺς ἀπέφηνεν ἐξ ἀπελευθέρου, καὶ ὧν αὐτὸς ἤγαγε νεῶν ἐπέτρεπεν ἡγεῖσθαι, ὑποστρατηγοῦντα τῷ ναυάρχῳ Καλουϊσίῳ. Ταῦτα μὲν δὴ καθιστάμενος ὁ Καῖσαρ, καὶ παρασκευὴν ἔτι πλέονα συνάγων, ἐβράδυνε· καὶ τὸν Ἀντώνιον οὐ περιμείναντα ἐμέμφετο. τὴν δ' οὖσαν ἤδη παρασκευὴν ἐκέλευε Κορνιφίκιον ἐκ Ῥαβέννης μεταγαγεῖν ἐς Τάραντα. Κορνιφικίῳ μὲν δὴ χειμὼν περιπλέοντι ἐπιγίγνεται, καὶ μόνη τῶν νεῶν ἡ ναυαρχὶς, ἡ γενομένη Καίσαρι, διεφθάρη· καὶ ἔδοξε τοῦτ' ἐς τὰ μέλλοντα σημῆναι. Ἐπιπολαζούσης δὲ ὑπονοίας

Lin. 56. ἔπεμψεν *Edd. ex Reg. B. Secutus sum Aug. Reg. A.* *L.* 65. συναγαγὼν *Edd. Prætuli Aug. Sic & Cand.* colligens.

Antonius emerat, sub hasta jure belli vendita.

80. *Cæsar* vero in *Sardiniam Corsicamque* misit qui eas insulas a *Menodoro* acciperent: & oras Italiæ multis castellis munivit, ne rursus incursarentur a Pompejo: jussitque alias triremes Romæ Ravennæque confici, & numerosum exercitum accivit ex Illyrico. Tum *Menodorum*, quamprimum ad se venit, e *liberto* declaravit *ingenuum*; classemque ei, quam adduxerat, commisit, ita ut legatus esset præfecto classis *Calvisio*. His rebus constituendis & ampliori adparatu faciendo quum esset remoratus; conquestus est de Antonio, quod se non exspectasset. Quæ vero jam parata habebat, ea *Cornificium* Ravenna Tarentum jussit transvehere. Hunc navigantem adorta tempestas, solam navim prætoriam fregit, Cæsari paratam: quæ res in *omen* tum versa est. Quum vero vulgo adhuc suspicarentur plerique, contra fœdus susci-

A. U. 716.

ἔτι, ὡς παρασπόνδως ὁ πόλεμος ὅδε γίγνοιτο, τὴν ὑπόνοιαν ὁ Καῖσαρ ἐκλύων, ἐπέστελλε τῇ πόλει, καὶ τὸν στρατὸν αὐτὸς ἐδίδασκεν, ὅτι τὰς σπονδὰς ὁ Πομπήϊος ληστεύων τὴν θάλασσαν ἀναλύσειε, καὶ τοῦθ' οἱ λησταὶ κατείποιεν αὐτοῦ, κατείποι δὲ καὶ Μηνόδωρος τὴν ὅλην γνώμην, μάθοι δὲ καὶ Ἀντώνιος, καὶ διὰ τοῦτο Πελοπόννησον οὐ δοίη.

LXXXI. Ὡς δὲ αὐτῷ τὰ ἐν χερσὶ ἕτοιμα γεγένητο, ἐπέπλει τῇ Σικελίᾳ, αὐτὸς μὲν ἐκ Τάραντος, Καλουΐσιος δὲ Σαβῖνος καὶ Μηνόδωρος ἀπὸ Τυῤῥηνίας· περιῄει δὲ καὶ τὸ πεζὸν ἐς Ῥήγιον, καὶ μετὰ σπουδῆς ἐταχύνετο ἅπαντα. Ὁ δὲ Πομπήϊος τῆς μὲν αὐτομολίας τοῦ Μηνεδώρου, ἐπιπλέοντος ἤδη Καίσαρος, ᾔσθετο. πρὸς δὲ τὸν ἑκατέρωθεν ἐπίπλουν, αὐτὸς μὲν ὑπέμεινεν ἐν Μεσσήνῃ τὸν Καίσαρα, Καλουϊσίῳ δὲ καὶ Μηνοδώρῳ τὸν ἔχθιστον τῷ Μηνοδώρῳ μάλιστα τῶν ἐξελευθέρων ἑαυτοῦ Μενεκράτη προσέτασσεν ἀπαντᾷν ἐπὶ στόλου πολλοῦ. Ὅδε οὖν ὁ

Lin. 77. καὶ ὁ Ἀντων. *Reg. B.* *L.* 85. Μεσήνῃ *Aug.* (*ut conſtanter adhuc*) *cum Reg. A.* & *Reg. B. a prima manu. Tenui h. l. lectionem Edd. quam dedit Reg. B. ex emend.* & *cum qua mox in ſqq. ſæpius MSSti noſtri omnes conſentiunt.* *L.* 86 *ſq.* ἔχθιστον τῶν Μηνοδώρῳ *Aug.*

pi id bellum; *Cæſar*, ut eam ſuſpicionem eximeret, populum Romanum per literas, exercitum pro concione, edocuit: „fœdus a Pompejo eſſe violatum, qui per piratas infeſtarit maria; quod & ipſorum piratarum & Menodori confeſſione compertum ſit: nec ignorare id Antonium, ideoque Peloponneſum ei non tradidiſſe."

81. Deinde, poſtquam ſatis, quæ conſtituerat, parata fuerunt, claſſe *Siciliam petiit*; ipſe *Cæſar*, Tarento ſolvens; *Calviſius*, cum *Sabino* & *Menodoro*, ex Etruria: & pedeſtris quoque exercitus terreſtri itinere petiit Rhegium, & magna jam properatione agebantur omnia. Nec prius Pompejus ſenſit transfugiſſe Menodorum, quam adnavigante Cæſare. Utrimque autem imminente claſſe hoſtium, ipſe *Pompejus Meſſanæ exſpectavit Cæſarem*: *Calviſio Menodoroque oppoſuit* cum magna claſſe *Menecratem*, alium e libertis ſuis, ipſi Menodoro infenſiſſimum.

Μενεκράτης ἐπιφαίνεται τοῖς πολεμίοις περὶ δείλην ἑσπέραν πελάγιος· καὶ οἱ μὲν ἐς τὸν κόλπον τὸν ὑπὲρ Κύμης συνέφυγον, καὶ τὴν νύκτα ἀνεπαύοντο, καὶ Μενεκράτης ἐς Αἰναρίαν παρῆλθεν. ἠοῦς δὲ ἀρχομένης, οἱ μὲν τὸν κόλπον ἐν χρῷ παρὰ τὴν γῆν αὐτὴν μηνοειδεῖ στόλῳ παρέπλεον, ἵνα μὴ αὐτοῦ διεκπλέοιεν οἱ πολέμιοι. ὁ δὲ Μενεκράτης αὐτοῖς αὖθις ἐπιφαίνεταί τε, καὶ εὐθὺς ἐπλησίαζε ὑπὸ ῥύμης καὶ τάχους· ὅταν δὲ οὐκ ἀναγομένους ἐς τὸ πέλαγος οὐδὲν μέγα ἔχων, ἐς τὴν γῆν ἐγχρίμπτειν ἐξεώθει. Οἱ δὲ ἐξώκελλόν τε ὁμοῦ, καὶ τὰς ἐμβολὰς ἀπεμάχοντο. ἦν δὲ τοῖς μὲν, ἐς τὸ πέλαγος ἀναχώρησίς τε καὶ ἐξόρμησις ὅτε βούλοιντο, καὶ σκαφῶν ἑτέρων ἀλλαγὴ παρὰ μέρος· οἱ δὲ, ἔκαμνον ἔκ τε τῶν πετρῶν ἐφ᾽ ἃς ἐπώκελλον, καὶ ὑπὸ τῆς ἀκινησίας τῶν νεῶν· πεζομαχεῖν γὰρ πρὸς ναυμαχοῦντας ἐῴκεσαν, οὔτε διώκειν οὔτε ἐκκλίνειν ἔχοντες. A. U. 716.

Lin. 93. μηνοειδῆ *mend. edit.* 1. *L.* 94. ἵνα μὴ αὐτοὺς διεκπλ. *videtur legendum.* *L.* 96. ὑπὸ ῥώμης καὶ ταχ. *Edd. Aug.* *quod corrigendum putavi.* *L.* 5. οὔτε ἐκκλίνειν οὔτε διώκειν *Edd. Cand.* *Prætuli Aug. & Reg. B. a prim. manu.*

Is ubi in conſpectum hoſtium in alto venit ſub veſperam; iili receperunt ſe in ſinum qui ſupra *Cumas* eſt, ibique noctem eam quieverunt; *Menecrates* adpulit *Aenariam.* Sub auroram vero *Calviſiani* oram ſinus lunata claſſe legebant, proxime continentem quantum poterant, ne perrumperetur claſſis ab hoſtibus. Tum ruiſus in conſpectum venit *Menecrates*, moxque ſumma vi concitatis navibus adpropinquavit. Quoniam vero in altum non provehebantur adverſarii, quum aliud nihil magnopere poſſet, propius accedens naves eorum in terram propulit; ut illi ſimul in brevia inciderent, ſimul ab hoſtium impetu ſeſe defendere cogerentur. Hoſtibus autem facile erat in altum ſe recipere, & inde redintegrare impetum, & mutare etiam naves alias poſt alias: illis luctandum etiam cum ſcopulis erat, in quos impegerant, præterquam quod naves non poterant movere; atque ita factum eſt, ut *contra navalem pugnam terreſtri certamine* vi ferentur *contendere*, in quo nec perſequi nec refugere poſſent.

A. U. 716.

LXXXII. Ἐν δὲ τούτῳ Μηνόδωρος καὶ Μενεκράτης καθορῶσιν ἀλλήλους, καὶ, τὸν ἄλλον πόνον ἀφέντες, αὐτίκα μετ' ὀργῆς καὶ βοῆς ἀλλήλοις ἐπέπλεον· ἐν τῷδε τὴν νίκην καὶ τὸ κεφάλαιον τοῦ πολέμου τιθέμενοι, ἐν ᾧ τις αὐτῶν κρατήσειν ἔμελλεν. αἱ μὲν δὴ νῆες ἀλλήλαις ὑπὸ ῥύμης ἐνέπεσον, καὶ συνέτριψαν, ἡ μὲν, τὸν ἔμβολον τῆς Μηνοδώρου νεὼς, ἡ δὲ, τὸν ταρσὸν τῆς Μενεκράτους. ἐπεὶ δὲ αὐταῖς ἑκατέρωθεν χεῖρες ἐπεβλήθησαν σιδηραῖ, τῶν μὲν νεῶν οὐδὲν ἔτι τὸ ἔργον ἦν, συνεστηκυίας ἑκατέρας· οἱ δὲ ἄνδρες, ὥσπερ ἐν γῇ, πόνου καὶ ἀρετῆς οὐδὲν ἀπέλειπον. ἀκόντιά τε γὰρ ἦν ἀθρόα, καὶ λίθοι, καὶ τοξεύματα ἐπ' ἀλλήλους, καὶ ἐπὶ τὰς ναῦς καταρράκτας ἐρρίπτουν ἐς τὸ ἐπιέναι δι' αὐτῶν. ὑψηλοτέρας δὴ οὔσης τῆς Μηνοδώρου νεὼς, οἵ τε καταρράκται τοῖς τολμῶσιν ἦσαν εὐεπιβατώτεροι, καὶ τὰ βαλλόμενα, ὡς ἀφ' ὑψηλοῦ, βιαιότερα. Τεθνεώτων δὴ ἤδη πολλῶν, καὶ τῶν ὑπολοίπων κατατετρωμένων, ὁ μὲν Μηνόδωρος ὀβελῷ τὸν βραχίονα ἐτρώθη, καὶ ὁ ὀβελὸς ἐξῃρέθη· ὁ δὲ

Lin. 14. σιδηραι *Edd. Aug. Mutavi accentum.* σιδηραῖς *mend. Regii.* *L.* 16. ἀπέλιπον *Edd. Prætuli Aug.* *L.* 20. καὶ τὰ καλούμενα *mend. Edd. Recte Aug. Cand.*

82. Inter hæc *Menodorus* et *Menecrates* mutuum in conſpectum veniunt; protinuſque, relicto cetero prælio, cum ira clamoreque *ſe petunt invicem*: videbaturque, uter eorum vinceret, ejus claſſis fore victoriam. Horum igitur naves, magno ſtatim impetu colliſæ, mulctaverunt ſe invicem, quaſſato roſtro navis *Menodori*, & gubernaculo *Menecratis*. Injectis deinde utrimque ferreis manibus, naves jam ceſſabant, inhærentes ſibi: ſocii vero navales, non aliter quam in terra pugnantes, nihil ſibi ad ſummam contentionem alacritatemque fecerunt reliquum: impetebant enim ſe ſagittis, ſaxis, jaculis, ponteſque injiciebant per quos transſcenderent. Et quoniam *Menodori* navis eminebat altius, pontes ejus facilius permeabantur a viris audacibus, & tela inde miſſa, ut e loco ſuperiori, incidebant vehementius. Jamque multis cæſis, ſauciatis reliquis, *Menodorus* veruto per brachium trajectus eſt, quod

A. U. 716.

Μενεκράτης τὸν μηρὸν ἀκοντίῳ πολυγλώχινι Ἰβηρικῷ ὁλοσιδήρῳ, καὶ οὐκ ἦν ἐξελεῖν αὐτὸ σὺν ἐπείξει. ἀχρεῖος οὖν ὁ Μενεκράτης ἐς μάχην γενόμενος, ἐπέμενε καὶ ὣς, τοὺς ἄλλους ἐποτρύνων· μέχρι, λαμβανομένης τῆς νεὼς, ἐς τὸν βυθὸν τοῦ πελάγους ἑαυτὸν ἔρριψε, καὶ τὴν μὲν ναῦν ὁ Μηνόδωρος ἀνεδήσατο, καὶ ἐς τὴν γῆν ἀπέπλευσεν, οὐδὲν ἔτι δρᾶν οὐδ᾽ ἐκεῖνος δυνάμενος.

LXXXIII. Καὶ τὸ λαιὸν τῆς ναυμαχίας οὕτως ἐπεπράχει. ἐκ δὲ τοῦ δεξιοῦ, Καλουΐσιος μὲν, διαπλέων ἐς τὸ λαιὸν, ἀπετέμετό τινας τῶν Μενεκράτους νεῶν, καὶ ἐκφυγούσας εἰς τὸ πέλαγος ἐδίωκε. Δημοχάρης δὲ, ὁ τοῦ Μενεκράτους συνεξελεύθερός τε καὶ ὑποστράτηγος, ταῖς λοιπαῖς τοῦ Καλουϊσίου συμπεσὼν, τὰς μὲν ἐς φυγὴν ἐτρέπετο, τὰς δὲ ἐς πέτρας συνήρραξε, καὶ, τῶν ἀνδρῶν ἐξαλομένων, ἐνεπίμπρα τὰ σκάφη· μέχρι Καλουΐσιος ἐκ τῆς διώξεως ἐπανιὼν, τάς τε φευ-

Lin. 25. ἐξελεῖν αὐτῷ *Reg. A.* αὐτὸν *mend. Aug.* *L.* 28. τοῦ πελάγου *mend. Edd. Recte Aug.* *L.* 29. ἀνεδύσατο *Edd. mend. invit. MSS.* *L.* 31. Καὶ τὸ μὲν λαιὸν *Edd. non male, sed invitis MSStis.* καὶ τὸν λαιὸν *Reg. B. a pr. manu.* καὶ τὸ παλαιὸν *Reg. A: & Reg. B a sec. manu. Secutus sum Aug. Ven.* *L.* 33. ἀπετέμνετο *Edd. Prætuli Aug. Reg. B.* *L.* 35. συνελεύθερος *Aug.*

mox extractum est e vulnere: at *Menecrates* in femur ictus est hamato jaculo Hispanico soliferreo, quod non potuit eximi celeriter. Itaque quum pugnare amplius non posset, tamen sic quoque durabat, exhortans alios; donec, navi sua capta, *in mare se dedit præcipitem.* Menodorus captivam navem, religatam a sua, pertraxit ad terram: nec amplius quidquam ipse potuit efficere.

83. Hæc in sinistro cornu *navalis pugnæ* gesta sunt. E dextro *Calvisius* ad sinistrum navigans, aliquot Menecratis naves interclusit a ceteris, fugientesque in altum persecutus est. Interim *Demochares*, libertus & ipse Pompeji, tunc *legatus Menecratis*, reliquas Calvisianas adgressus, partim fugavit, partim in saxa compulsas fregit; & postquam exsilierant navales socii, naves ipsas cremavit. Tum *Calvisius*, a persecutione reversus, suas fugientes reduxit,

A. U. 716. γούσας τῶν ἰδίων ἐπανήγαγε, καὶ τὰς ἐμπιπραμένας ἐκώλυσε. καὶ νυκτὸς ἐπιλαβούσης, ηὐλίσαντο πάντες ἔνθα καὶ τῆς προτέρας. Ἡ μὲν δὴ ναυμαχία ἐς τοῦτο ἐτελεύτα, καὶ προὖχεν ἐν αὐτῇ τὰ Πομπηίου παρὰ πολύ. Δημοχάρης δὲ βαρυθυμῶν ἐπὶ τῷ θανάτῳ Μενεκράτους, ὡς ἐπὶ ἥττῃ μεγίστῃ, (δύο γὰρ οἵδε ἦσαν μάλιστα τῷ Πομπηίῳ θαλάσσης ἐργάται, Μενεκράτης τε καὶ Μηνόδωρος·) ἅπαντα μεθεὶς, -- εὐθὺς ἐς Σικελίαν ἔπλει, καθάπερ οὐ τὸ Μενεκράτους σῶμα, καὶ ναῦν μίαν, ἀλλὰ τὸν στόλον ὅλον, ἀποβαλών.

LXXXIV. Ὁ δὲ Καλουΐσιος, ἕως μὲν ἐπιπλευσεῖσθαι τὸν Δημοχάρην προσεδόκα, παρέμενεν ἔνθαπερ ὥρμιστο, ναυμαχεῖν οὐ δυνάμενος· αἵ τε γὰρ κράτισται τῶν νεῶν αὐτῷ διωλώλεσαν, καὶ αἱ ἕτεραι πρὸς ναυμαχίαν εἶχον ἀχρείως. ἐπεὶ δὲ ἔμαθεν οἰχόμενον ἐς Σικελίαν, ἐπεσκεύαζε τὰς ναῦς, καὶ παρέπλει τὴν γῆν, τοὺς κόλπους ἐξελίσσων. Ὁ δὲ Καῖσαρ ἐκ μὲν Τάραντος ἐς τὸ Ῥήγιον

Lin. 47. *Ubi* hiatus *ſignum poſui, ibi Edd. & MSS. dant* ΕΚ ΚΕΡΩΝ, *quod* ἐκ Κέραν *expreſſerunt edit.* 1. 2. ἐκ κέραν *edit.* 3. ex acie *Cand. & poſt eum Gelen. An* ἐκ Κύμης αἴραν *ſcripſit Appianus? Hoc enim malim, quam* ἐκ Κυμῶν *cum Muſgravio. An* ΕΚ ΚΑΠΡΕΩΝ? *L.* 53. διολώλεσαν *edit.* 2. 3.

ceterarumque incendium inhibuit. Superveniente nocte, quiſque ad pridianam ſuam ſtationem rediit. Hic finis fuit *navalis* illius *prælii*; in quo multo quidem potior fuit Pompejanorum fortuna. Sed *Demochares*, morte Menecratis, ut clade maxima, contriſtatus, (nam horum duorum, Menecratis ac Menodori, præcipua opera ſemper in rebus maritimis uſus erat Pompejus) omiſſis omnibus rebus, recta *Siciliam repetiit*, haud ſecus ac ſi non Menecratis corpus & navim unam, ſed integram claſſem, amiſiſſet.

84. *Calviſius*, quamdiu Demccharem contra ſe denuo venturum ſuſpicatus eſt, in ſua ſtatione manſit, ad redintegrandam pugnam minime idoneus: nam optima quæque ex ejus navibus perierat, ceteræ ad pugnam inutiles erant factæ. Poſtquam autem intellexit, in Siciliam eum abiiſſe; reparatis navibus, oram legebat, ne ſinus quidem trajiciens. Alia parte *Cæſar*, a Tarento *Rhegium* cum bene

A. U. 716.

διεπεπλεύκει ναυσὶ πολλαῖς καὶ στρατῷ πολλῷ, καὶ Πομπήϊον περὶ Μεσσήνην κατειλήφει, ναῦς ἔχοντα τεσσαράκοντα μόνας· ὥστε αὐτῷ παρῄνουν οἱ φίλοι, ὡς ἐν καιρῷ μάλιστα, ἐπιθέσθαι τῷ Πομπηΐῳ μετὰ τοσοῦδε στόλου, ναῦς ἔχοντι ὀλίγας, μέχρι τὸ λοιπὸν ἐκείνῳ ναυτικὸν οὐ πάρεστιν. ὁ δ' οὐκ ἐπείθετο, Καλουΐσιον περιμένων, καὶ λέγων οὐκ εὔβουλον εἶναι τὸ ῥιψοκίνδυνον, ἔνθα συμμαχίαν ἄλλην προσδοκῴη. Ὡς δὲ Δημοχάρης ἐς Μεσσήνην κατέπλευσεν, ὁ μὲν Πομπήϊος αὐτόν τε Δημοχάρην καὶ Ἀπολλοφάνην, καὶ τόνδε ἀπελεύθερον ἑαυτοῦ, ναυάρχους ἀπέφηνεν ἀντὶ Μηνοδώρου καὶ Μενεκράτους.

LXXXV. Ὁ δὲ Καῖσαρ περὶ τῶν συμβεβηκότων ἀμφὶ τῇ Κύμῃ πυθόμενος, ἐξέπλει τὸν πορθμόν, ὑπαντήσων τῷ Καλουϊσίῳ. ἀνύσαντι δ' αὐτῷ τοῦ πόρου τὸ πλέον, καὶ Στυλίδα ἤδη παραπλέοντι, καὶ ἐς τὸ Σκύλλαιον ἐπικάμπτοντι, ἐκθορὼν ἐκ τῆς Μεσσήνης ὁ Πομπήϊος, ἐξή-

Lin. 57. ἐπεπλεύκει *Edd. Prætuli Aug. Ven.* *L.* 58. ἐπὶ Μεσσήνην *Edd. invitis MSStis, qui recte* περὶ *dederunt. In* Μεσσήνην *h. l. & mox iterum iterumque cum Edd. consentiunt MSSti nostri.* *L.* 59. αὐτῷ *abest ab Aug. & Ven.* *L.* 71. Σκύλαιον *Edd. Prætuli Aug.* *L.* 72. ἐκθορῶν *Aug. Reg. A.*

magna classe exercituque profectus, prope Messanam Pompejum adsecutus est, quadraginta tantum navibus instructum. Itaque hortabantur amici, ut per tam opportunam maxime occasionem Pompejum, tam paucas naves habentem, classe instructissima adgrederetur, priusquam ceteræ illius naves advenirent. Sed parere consilio noluit *Cæsar*, *exspectans Calvisium*, negansque consultum exponere se periculo, quo tempore uberiora exspectaret auxilia. *Pompejus*, postquam Demochares Messanam reversus est, & ipsum *Democharem* & *Apollophanem*, qui ex libertorum suorum pariter numero erat, *classi præfecit*, loco Menecratis & Menodori.

85. *Cæsar* vero nunciato detrimento ad Cumas accepto, enavigavit fretum, occursurus Calvisio. Jamque superata majore freti parte, præter *Columnam Rheginam* navigabat, cursumque flectebat versus *Scyllæum*; quum *Pompejus*, e Messana subito ad-

A. U. 716. πλετο τῶν ὑστάτων, καὶ τὰς πρόπλους ἐδίωκε, καὶ πάσαις ἐνέβαλλε, καὶ ἐς μάχην προυκαλεῖτο. Αἱ δὲ, καίπερ ἐνοχλούμεναι, ἐς μὲν ναυμαχίαν οὐκ ἀπέστρεφον, Καίσαρος οὐκ ἐῶντος, εἴτε δείσαντος ἐν στενῷ ναυμαχεῖν, εἴτ᾽ ἐπιμένοντος οἷς ἀπ᾽ ἀρχῆς διεγνώκει, μὴ ναυμαχεῖν δίχα τοῦ Καλουϊσίου. γνώμη δὲ αὐτοῦ παρά τε τὴν γῆν ὑπεχώρουν ἅπασαι, καὶ ἐπ᾽ ἀγκυρῶν ἐσάλευον, καὶ κατὰ πρώραν ἀπεμάχοντο τοὺς ἐπιόντας. Δημοχάρους δ᾽ ἐπιστήσαντος δύο ναῦς περὶ ἑκάστην, ἐθορυβοῦντο ἤδη, πρός τε τὰς πέτρας ἀρασσόμενοι καὶ πρὸς ἀλλήλους, θαλάσσης τε ἐνεπίμπλαντο· καὶ διεφθείροντο μετὰ ἀργίας καὶ αἵδε, ὥσπερ αἱ περὶ Κύμην, ὁρμοῦσαί τε καὶ ἐμβαλλόμεναι πρὸς ἐχθρῶν ἐπιπλεόντων καὶ ἀναχωρούντων.

LXXXVI. Ὁ μὲν δὴ Καῖσαρ ἐξήλατο τῆς νεὼς ἐπὶ τὰς πέτρας, καὶ τοὺς ἐκνέοντας ἐκ τῆς θαλάσσης ἀνελάμβανε, καὶ ἐς τὸ ὄρος ἄνω παρέπεμπε. Κορνιφίκιος δὲ

Lin. 75. ἐς μὲν ναυαρχίαν *mend. Edd. Recte Aug. Cand.* *L.* 82. ἀλλήλας *Aug. Bene, si & ἀρασσόμεναι daret.* *L.* 83. ἐνετίπλαντο *Aug.* *L.* 85. *Septem verba, quæ ab Aug. & Ven. ignorantur, intrudunt Edd. cum Regiis: sic:* καὶ ἀναχωρούντων ἔμελλεν· ἐπεὶ οὐδέ πω κακόν γ᾽ ἀπώλετο. *In Reg. B. autem est* ἔμελλ᾽ ἐπεὶ *&c. In Reg. A.* ἔμελλε ἐπεὶ *&c.* *L.* 87. θαλάττης *Edd. Tenui Aug. Reg. B*

volans, lacessens postremas naves, persequens præcedentes, cunctas denique adgressus, *provocavit ad prælium.* Illæ, quamvis infestatæ, ad pugnam se non instruxerunt, non permittente *Cæsare;* sive quod non auderet pugnare in angustiis, sive quod maneret in proposito non pugnandi absente Calvisio. Jussit autem, ut ad littus omnes se reciperent, jactisque fluitarent ancoris; & a prora propugnarent, si quis invaderet. *Demochare* vero binis navibus invehente in singulas, perturbatæ jam Cæsarianæ in saxa impingebant, & inter se collidebantur, replebanturque mari; & peribant hæ quoque, sicut illæ in Cumano prælio, nihil audentes, sed immotæ manentes, quum continuo hostium impetu incursantium atque recursantium infestarentur.

86. Ac *Cæsar* quidem *in saxa e navi desiliit,* & enatantes e mari excipiebat, recipientesque se in montem deducebat. Ceterum *Corni-*

καὶ ὅσοι ἄλλοι στρατηγοὶ ἦσαν αὐτοῦ, παρακαλέσαντες ἀλλήλους, ἄνευ προστάγματος ἀπέρρηξαν τὰ ἀγκύρια, καὶ ἀνήχθησαν ἐπὶ τοὺς πολεμίους, ὡς δέον τι δρῶντας παθεῖν μᾶλλον, ἢ ἑστῶτας ἀμαχεὶ τοῖς ἐπιχειροῦσι προκεῖσθαι. τόλμῃ τε παραβόλῳ πρῶτον ὁ Κορνιφίκιος τὴν ναυαρχίδα τοῦ Δημοχάρους κατέσεισε καὶ εἷλε· καὶ Δημοχάρης μὲν εἰς ἑτέραν ἐξήλατο. τοιούτου δὲ ὄντος τοῦ πόνου καὶ τοῦ φόβου, ἐπεφαίνοντο ἐκ πόντου προσπλέοντες ἤδη Καλουίσιός τε καὶ Μηνόδωρος· καὶ αὐτοὺς οἱ μὲν τοῦ Καίσαρος οὐχ ἑώρων, οὔτε ἀπὸ γῆς οὔτε ἐκ θαλάσσης. πελαγιώτεροι δὲ ὄντες οἱ τοῦ Πομπηίου, κατεῖδον, καὶ ἰδόντες ἀνεχώρουν· συνεσκότασε γὰρ ἤδη, καὶ κεκμηκότες ἀκμῆσιν οὐκ ἐθάρρουν συμπλέκεσθαι. Τοῦτο μὲν δὴ συγκύρημα τοῖς ὑπολοίποις ἐκ τοῦ τέως ἀχρείου χρηστὸν ἐπιγίγνεται.

A. U. 716.

LXXXVII. Νυκτὸς δὲ ἐπιλαβούσης, οἱ μὲν ἐκ τῶν νεῶν

Lin. 89. παρακαλεύσαντες *edit.* 2. 3. *Reg. B. Prætuli Aug. Reg. A. edit.* 1. *L.* 90. ἀπέρριψαν τὰ ἀγκυρ. *Edd. Recte Aug.* *L.* 92. 93. ἐπιχειρ. προκειμένους *mend. Edd. Recte Aug. Ven.* *L.* 94. *Pro* Δημοχάρους *h. l. mend. Regii* Δημάρχου. *L.* 1 κεκμηκόσιν ἀκμῆσιν *Edd. Recte Aug. Ven. Cand.*

ficius, & quotquot alii duces aderant, cohortati ſe mutuo, injuſſu imperatoris, abruptis ancoralibus, in altum contra hoſtes evecti ſunt; rati, ſatius eſſe pugnando vinci, quam ſtando impune ſuſtinere impetus inſultantium. Ac brevi quidem *Cornificius* mira audacia prætoriam Democharis concuſſam cepit; *Demochare*ſque in aliam navem exſiliit. Inter hos vero labores cladeſque adparuerunt tandem adventantes per mare *Calviſius* et *Menodorus*; qui tamen a Cæſarianis non conſpecti ſunt, neque ab illis qui in terram exſcenderant, neque ab his qui in mari adhuc erant. Sed *Pompejani*, qui a terra aberant longius, eos conſpexerunt, & ad eorum adſpectum ſeſe receperunt. Jam enim adpetebat veſpera; nec audebant feſſi cum recentibus congredi. Qui caſus peropportune reliquis periclitantibus accidit.

87. Ingruente nocte, quicunque e navibus in terram evaſerant, in montes confu-

A. U. 716.

ἐκπεσόντες, ἐς τὰ ὄρη συνέζευγον, καὶ πυρὰ πολλὰ ἔκαιον, σύμβολα τοῖς ἔτι οὖσιν ἐν τῇ θαλάσσῃ, καὶ διενυκτέρευον οὕτως ἄσιτοι καὶ ἀθεράπευτοι καὶ πάντων ἐνδεεῖς. καὶ αὐτοὺς ὁ Καῖσαρ, ὁμοίως ἔχων, παρεκάλει, περιθέων, ἐς τὴν ἕω κακοπαθῆσαι. ταλαιπωρουμένῳ δὲ αὐτῷ περὶ ταῦτα Καλουίσιος μὲν οὐδ᾽ ὡς ἐγιγνώσκετο προσπλέων, οὐδὲ ἀπὸ τῶν νεῶν τι χρηστὸν ἐγίγνετο, ἀσχολουμένων περὶ τὰ ναυάγια. Ὑπὸ δὲ ἑτέρου δαίμονος ἀγαθοῦ τὸ τρισκαιδέκατον τέλος ἐπλησίαζε διὰ τῶν ὀρῶν, καὶ περὶ τοῦ κακοῦ πυθόμενοι, τοὺς κρημνοὺς, τῷ πυρὶ τῆς ὁδοῦ τεκμαιρόμενοι, διέδραμον. καὶ καταλαβόντες τὸν αὐτοκράτορα σφῶν καὶ τοὺς συμφυγόντας, ὧδε ἔχοντας καμάτου καὶ τροφῶν ἀπορίας, ἐθεράπευον, ἄλλους ἄλλοι διαλαβόντες, οἱ δὲ ταξίαρχοι τὸν αὐτοκράτορα ἐς αὐτοσχέδιον σκηνὴν ἐσαγαγόντες, οὐδενὸς τῶν οἰκετῶν αὐτῷ θεραπευτήρων παρόντων, ὡς ἐν νυκτὶ καὶ τοσῷδε ταράχῳ διερριμμένων. Περιπέμψας δ᾽ εὐθὺ

Lin. 9. καὶ αὐτὸς ὁ Καῖσαρ *Reg. B.* *L.* 13. ἀσχολουμένῳ *Edd.* emend *Recte Aug.* *Ib.* ὑπὲρ τὰ ναυάγια *Edd.* & *MSS. nostri. Emendav cum Musgravio.* *L.* 15. κλημνοὺς *vit. edit.* 1. *L.* 19. *Pro* ἄλλ *dat* ἄλλῃ *Aug.*

gerunt; accensisque multis ignibus signa dabant his qui in mari etiam nunc erant: sicque pernoctabant sine cibo, sine cura corporis, egeni rerum omnium. Quos *Cæsar*, non meliori sorte ipse usus, circumcursando hortabatur, ut usque mane durarent. Ac ne tum quidem, his cum incommodis colluctans, cognovit adventum Calvisii; nec a navibus quidquam erat præsidii, occupatis circa *naufragia*. Sed alio quodam prospero eventu, decima tertia legio tunc adpropinquabat pe[r] montes: quæ, audita clade per aspreta, qua ignes eun[…] dum significabant, conten[…] dens, reperit imperatore[m] suum & qui cum illo refuge[…] rant, fessos & victu carente[s]. Itaque divisis operis, alii alic[…] curandos susceperunt: ipsum que imperatorem centurione[s] extemporaneo tabernaculo ex[…] ceperunt, domesticis famu[…] lis omnibus destitutum, quo[d] noctis caligo tantusque tu[…] multus dispersferat. Tum *Cæsar*, dimissis statim circum[…]

πανταχῇ τοὺς ἐξαγγέλλοντας ὅτι σώζοιτο, πυνθάνεται Καλουίσιον σὺν ταῖς πρόπλοις καταπλέοντα· καί, ὡς ἐπὶ δύο χρηστοῖς καὶ ἀδοκήτοις, ἀνεπαύετο. *A. U. 716.*

LXXXVIII. Ἅμα δὲ ἡμέρᾳ τὴν θάλασσαν ἐφορῶν, ἐθεᾶτο ναῦς ἐμπεπρησμένας τε καὶ ἡμιφλέκτους ἔτι καὶ ἡμικαύστους, ἄλλας τε λελυμένας, ἱστίων τε ὁμοῦ καὶ πηδαλίων καὶ σκευῶν ἔμπλεων τὸ πέλαγος, καὶ τῶν ἔτι σωζομένων τὰ πολλὰ πεπονηκότα. προστησάμενος οὖν τὸν Καλουισίου στόλον, ἐπεσκεύαζε τὰ ἐπείγοντα τῶν σκαφῶν πλαγιάσας, ἠρεμούντων καὶ τῶν πολεμίων, εἴτε διὰ Καλουίσιον, εἴτε αὖθις ἀναγομένοις ἐπιθέσθαι διεγνωκότων. Ὧδε δὲ ἐχόντων ἑκατέρων, ἐκ μέσης ἡμέρας νότος ἐμπεσὼν ἤγειρε κῦμα βίαιον ἐν ῥοώδει καὶ στενῷ χωρίῳ. Πομπήϊος μὲν οὖν ἐν Μεσσήνῃ λιμένων ἔνδον ἦν· αἱ δὲ τοῦ Καίσαρος νῆες αὖθις περὶ τραχεῖαν ἀκτὴν

Lin. 24. σὺν ταῖς τριήρεσι *Edd. Verum dedit Aug.* *L.* 25. δύο *caret Reg. B.* *L.* 28. *Pro* λελυμένας *Cand. expressit* λελειμμένας derelictas, *perperam.* *L.* 29. ἔμπλεον *Aug. sed* ς *ex* ω *fere factum videtur.* *L.* 30. πεπωκότα *Aug. male.* *L.* 31 *sq. An* ἐπεσκεύαζε τὰ ἐπίλοιπα τῶν σκαφῶν? *An post* ἐπείγοντα *excidit nonnihil?* *L.* 32. *De* πλαγιάσας *dubitabat Musgravius, nec mihi satis constat. Cogitaveram* πελαγίσας, in ipso mari refecit.

quaque qui incolumem se nunciarent, nuncium mox ipse accepit de Calvisii cum præcursoriis navibus adventu: atque sic duobus lætis eventibus ex insperato recreatus, quieti se dedit.

88. Prima vero luce, mare inspiciens *Cæsar*, vidit incensas naves & ambustas & semicrematas, rursus alias fractas, & mare velis, gubernaculis, armamentisque nauticis repletum; tum ex his, quæ supererant, navibus, male adfectas plerasque. Itaque, *Calvisii* classe ante naves suas præsidii causa collocata, reparabat ea quæ præsens remedium maxime requirebant, obliquo cursu interim iuxta oram navigans. Et otium tunc erat ab hostibus, sive propter Calvisii adventum, sive quod eos tum demum rursus, quum in altum forent provecti, adgredi constituissent. In hoc rerum statu *Auster* exortus meridie *vehementes fluctus movit in freto* angusto & suapte natura rapido. Ac cum Pompejus quidem in Messanensi portu erat: *Cæsarianæ* vero *naves rursus* circa litus aspe-

A. U. 716. καὶ δύσορμον ἀρασσόμεναι, ταῖς τε πέτραις καὶ ἀλλ-
λαις ἐπεφέροντο, οὐδὲ τῶν πληρωμάτων σφίσιν ὡσ
διακρατεῖν ἐντελῶν ὄντων.

LXXXIX. Μηνόδωρος μὲν οὖν, ἀρχόμενον τὸ δεινὸν ἐλ
πίσας πλεονάσειν, ἐς τὸ πελαγιώτερον ἀνήχθη, καὶ ἐπ
ἀγκυρῶν διεσάλευεν· ἀσθενέστερον δὲ ἔχων τὸ κῦμα δι
τὸν βυθὸν, εἰρεσίᾳ ὅμως καὶ πρὸς τόδε ἐνίστατο καρτερῶ
μὴ παραφέρεσθαι. καί τινες αὐτὸν ἐμιμοῦντο ἕτεροι. τ
δὲ λοιπὸν πλῆθος, οἰόμενοι ταχέως τὸ πνεῦμα ἐνδώσει
ὡς ἐν ἔαρι, τὰς ναῦς ἑκατέρωθεν ἀγκύραις ἔκ τε τ
πελάγους καὶ ἀπὸ τῆς γῆς διεκράτουν, καὶ κοντοῖς ἐξε
θουν ἀπ' ἀλλήλων. Τραχυτέρου δὲ τοῦ πνεύματος γεν
μένου, συνεκέχυτο πάντα, καὶ συνετρίβοντο αἱ νῆες, τὰ
ἀγκύρας ἀπορρηγνύουσαι, καὶ ἐς τὴν γῆν ἐπ' ἀλλήλα
τινασσόμεναι. βοή τε ἦν παμμιγὴς, δεδιότων ὁμοῦ κ
οἰμωζόντων, καὶ παρακελευόντων ἀλλήλοις ἐς ἀνήκοο

Lin. 43. [illegible] *Aug. Sic & Card.* præterea. *L. 47.* ἀγκύραι *E*
invitis MSS errore oper. ex edit. 1. propagato. *L. 51.* ἀπ' ἀ
λλάς *Aug. quod ex* ἐπ' ἀλλήλας *ductum videtur.* ἀπ' ἀλλήλαις (*fi*
Reg. B. *L.* [illegible] παρακελεύοντων *Aug.* *Ibid.* παρακελευόντων ἐς ἀ
[illegible] *Ell.* ἀλλήλοις *recte dedit Reg. A. cum Aug. & V*
Seriem verborum mutavi ex Aug. Ven.

rum & importuoſum quatie-
bantur, & cum *in ſaxa* tum
in ſe invicem *illidebantur;*
carentes etiam ſupplemento
nautico, eoque gubernatu dif-
ficiliores.

89. *Menodorus* igitur, ſi-
mul atque incepit malum,
veritus ne in horas creſceret,
longius receſſit a littore, ja-
ctiſque in ſalo ancoris fluita-
vit: & quum in profundo le-
niores eſſent fluctus, etiam
contra hos remorum vi con-
tendebat, ne tranſverſus ad
terras ageretur. Idque ejus

exemplum nonnulli quoq
ex aliis imitabantur. Sed r
liqua multitudo, rati ventu
cito remiſſurum, ut ſolet v
no tempore, utrimque nav
infrenaverunt ancoris, ta
ab alto, quam a littore; co
tiſque protrudebant, ne int
ſe colliderentur. Sed *ven*
ſæviente amplius, *conturba*
ſunt omnia: abruptiſque a
coris naves collidebantur,
in terram aliæ ſuper alias
cutiebantur. Itaque clam
res varii miſcebantur, pav
tium, ejulantium, fruſtra ſ

οὐ γὰρ ἀφικνοῦντο ἔτι τῶν λεγομένων, οὐδὲ κυβερνήτης ἰδιώτου διέφερεν, οὔτε κατ' ἐπιστήμην, οὔτε προστάττειν. ἀλλ' ὁ φόβος ἦν ὅμοιος, ἔν τε ταῖς ναυσὶν αὐταῖς, καὶ ὅτε τις αὐτῶν ἐκπέσοι, κύματι καὶ κλύδωνι καὶ ξύλοις ἀρασσομένων. ἔγεμε γὰρ ἡ θάλασσα ἱστίων, καὶ ξύλων, καὶ ἀνδρῶν, καὶ νεκρῶν. εἰ δέ τις καὶ τάδε διαφυγὼν ἐκνήχοιτο ἐπὶ τὴν γῆν, συνηράσσοντο καὶ οἵδε ἐπὶ τὰς πέτρας ὑπὸ τοῦ κύματος. Ὡς δὲ καὶ τὸ σπάσμα τὴν θάλασσαν ἐλάμβανεν, ὃ συνήθως ἐπιγίγνεται τῷδε τῷ πορθμῷ, τοὺς μὲν ἀήθεις καὶ τόδε ἐξέπλησσε, τὰ δὲ σκάφη τότε μάλιστα περιφερόμενα συνέπιπτεν ἀλλήλοις. Καὶ τὸ πνεῦμα ἐς νύκτα χαλεπώτερον ἐγίγνετο, ὥστε μηδὲ κατὰ φῶς ἔτι, ἀλλ' ἐν σκότῳ διόλλυσθαι. A. U. 716.

XC. Οἰμωγαί τε ἀνὰ τὴν νύκτα πᾶσαν ἦσαν, καὶ τῶν οἰκείων μετακλήσεις, ἀνά τε τὴν γῆν διαθεόντων καὶ τοὺς ἐν τῇ θαλάσσῃ καλούντων ἐξ ὀνόματος, καὶ θρηνούντων ὅτε μὴ ἐπακούσειαν, ὡς ἀπολωλότας· ἐμ-

Lin. 58: An ἱστῶν? L. 64: περιφερομένῳ inend. Edd: Recte Aug. Ven. L. 70. ὅταν Edd. ὅτε rectius Aug: & Reg. B. a prim: manu.

dos cohortantium; nemo enim exaudiri præ tanto ſtrepitu poterat: nec inter gubernatorem & vulgarem nautam quidquam intererat; non artes, non mandata proderant: ſed par erat omnium clades, quum alii in ipſis navibus perirent, alii, qui navibus exciderant, inter fluctus undaſque & fragmina navium eliderentur. Fluitabant enim toto mari *naufragia navium ac virorum*, partim vivorum, partim exſtinctorum: & quod ſi ex illis aliquis ad terram enataſſet, ibi quoque ad ſaxa adlidebatur a fluctibus. Ut vero æſtus etiam acceſſit, familiaris huic freto, inſuetos novus terror occupavit, & navigia tum maxime hac illac raptata inter ſeſe arietabant. Denique ſub noctem increbeſcebat etiam ventus; ut jam ne in luce quidem amplius, ſed in tenebris, perirent.

90. Itaque per totam noctem ejulatus audiebantur clamoreſque cum eorum, qui, in littore diſcurrentes, ſuos in mari luctantes invocabant nominibus, eoſdemque, ſi non audirent, ut defunctos

A. U. 716.

παλίν τε ἑτέρων ἀνὰ τὸ πέλαγος ὑπερκυπτόντων τὸ κῦμα, καὶ ἐς βοήθειαν τοὺς ἐν τῇ γῇ παρακαλούντων. Ἀμήχανα δὲ πάντα ἦν ἑκατέροις· καὶ οὐχ ἡ θάλασσα μόνη τοῖς ἐς αὐτὴν ἐσελθοῦσι καὶ ὅσοι τῶν νεῶν ἐπεβεβήκεσαν ἔτι, ἀλλὰ καὶ ἡ γῆ τοῦ κλύδωνος οὐχ ἧσσον ἦ ἀπορωτέρα, μὴ σφᾶς τὸ κῦμα συναράξειεν ἐπὶ τὰ πέτρας. ἐμόχθουν τε χειμῶνι τῶν πώποτε μάλιστα καινοτρόπῳ, γῆς ὄντες ἀγχοτάτω, καὶ τὴν γῆν δεδιότες καὶ οὔτε ἐκφυγεῖν αὐτὴν ἔχοντες ἐς τὸ πέλαγος, οὔτ ἔσον ἀλλήλων διαστῆναι. ἡ γὰρ στενότης ἡ τοῦ χωρίου καὶ τὸ φύσει δυσέξοδον αὐτοῦ, καὶ κλύδων ἐπιπεσὼν καὶ τὸ πνεῦμα ὑπὸ τῶν περικειμένων ὀρῶν ἐς θύελλα περικλώμενον, καὶ ὁ τοῦ βυθοῦ σπασμὸς ἐπὶ πάντ εἱλούμενος, οὔτε μένειν, οὔτε φεύγειν ἐπέτρεπε. τό τ σκότος ἠνώχλει νυκτὸς μάλιστα μελαίνης. ὅθεν ἔθνησκον, οὐδὲ καθορῶντες ἀλλήλους ἔτι, οἱ μὲν θορυβούμε

Lin. 72. ἐν γῇ *Edd. Adjeci artic. ex Aug.* *L.* 77. ἐμόχθ. τε χειμ *edit.* 1. *mend. cum Regiis.* *L.* 78. καινῷ τρόπῳ *Edd. & MSS nostri. Non dubitavi, perspicacem Musgravii recipere emendationem.* *L.* 80. ἔσον *carent Aug. Ven. Cand.*

complorabant; tum rursus aliorum, extra fluctus caput adtollentium, & opem eorum, qui in terra essent, flagitantium. Verum utrique pariter nil proficere poterant: nam non mare solum intractabile erat sive intrantibus sive his qui in navibus adhuc manebant; sed in ipso etiam littore non minus, quam mediis in undis, periculum erat, ne quis a fluctibus correptus saxis illideretur. Adeoque *inaudito tempestatis genere vexabantur*, ut terræ proximi terram tamen timerent, neque vero in altum ab ea re fugere ne tantillum quidem quantum ad vitandam colli sionem sufficeret, valerent Namque loci angustia, alio quin etiam difficilis permean tibus, exortaque tempestas & ventus a circumsitis mon tibus in turbines refractus, si mulque vorticosus profund maris æstus, nec manere si nebat nec fugere. Eaque omnia gravabantur tenebri noctis obscurissimæ. Quapro pter moriebantur homi es, ne conspicui quidem invicem alii tumultuantes clamante

A. U. 716.

νοι καὶ βοῶντες, οἱ δ' ἐφ' ἡσυχίας παριέμενοι, καὶ τὸ δεινὸν ἐκδεχόμενοι, καὶ συνεργοῦντες ἐς αὐτὸ ἔνιοι, ὡς ἀπολούμενοι πάντως. γενόμενον γὰρ τὸ κακὸν κρεῖσσον ἐπινοίας, καὶ τὴν ἐκ τῶν παραλόγων αὐτοὺς ἐλπίδα ἀφῃρεῖτο· μέχρι ποτὲ ἄφνω τὸ πνεῦμα, προσιούσης ἡμέρας, διελύετο, καὶ μεθ' ἡλίου ἐπιτολὴν πάμπαν ἐμαραίνετο. Καὶ τὸ κῦμα ὅμως καὶ τότε, τοῦ πνεύματος ἐκλυθέντος, ἐπὶ πολὺ ἐτραχύνετο· καὶ τὸ δεινὸν οὐδ' ὑπὸ τῶν ἐπιχωρίων ποτὲ τηλικοῦτον ἐμνημονεύετο γενέσθαι. γενόμενον δὲ ἔθους τε καὶ νόμου κρεῖσσον, διέφθειρε τῶν Καίσαρος νεῶν καὶ ἀνδρῶν τὸ πλέον.

XCI. Ὁ δὲ, καὶ τῆς προτεραίας ἡμέρας πολλὰ τῷ πολέμῳ βλαβεὶς, καὶ δύο τοῖσδε συμπτώμασιν ὁμοῦ συνενεχθεὶς, ἐπὶ τὸ Ἱππώνειον εὐθὺς ᾔει διὰ τῶν ὀρῶν, νυκτὸς αὐτῆς ἐκείνης κατὰ σπουδὴν, οὐχ ὑφιστάμενος τὴν συμφορὰν, ἐν ᾧ μηδὲν εἶχεν ἐπικουρεῖν. καὶ φίλοις καὶ στρατηγοῖς ἐπέστελλε πᾶσι, διὰ χειρὸς εἶναι, μή τις

Lin. 94. ἐς πολὺ *Edd. Expressi Aug.* *L.* 95. ἐγχωρίων *Aug. quod perinde est.* χωρίων *Reg. A. truncata voce.* *Ibid.* [illegible] *mend. Edd. ex Reg. B. Recte Reg. A. Aug. Ven.* *L.* 1. Ἰππώνειον *ed.* 2. 3. *cum leni spir. mend. & invitis MSStis. Sic & deinde constanter.*

que, alii ſilentio necem exſpectantes, quidam etiam accelerantes ſibi perniciem, cujus effugium nullum omnino cernebant. Nam *magnitudo mali, cogitationem ſuperans,* omnem etiam fortuitæ ſalutis ſpem adimebat: donec tandem, adpetente jam luce, repente ventus remiſit, & ſole reverſo plane elanguit. Attamen, quieſcente licet vento, diu etiam tum ſævierunt fluctus: ac tantam undarum ſævitiam ne indigenæ quidem umquam fuiſſe meminerant. Ea igitur *tempeſtas, modum omnem moremque transgreſſa, maiorem partem navium virorumque Cæſaris abſumſit.*

91. *Cæſar*, quum ſuperioris dici prælio magnam jam cladem eſſet paſſus, accedente continuo altera hac calamitate, impatiens infortunii, cui opem ferre nullam poterat, eadem illa nocte per montes *Vibonem* properavit. Inde miſſis ad omnes amicos duceſque ſuos epiſtolis, hortatus eos eſt, ut in promtu eſſent, ne, ut in rebus ad-

A. U. 716. αὐτῷ καὶ ἑτέρωθεν, ὡς ἐν κακοπραγίᾳ, γένοιτο ἐπιβουλή. Περιέπεμπε δὲ καὶ ἐς τὴν ἀκτὴν ἅπασαν τῆς Ἰταλίας τὰ παρόντα πεζὰ, μὴ ἐπιτολμήσειε καὶ τῇ γῇ διὰ τὴν εὐτυχίαν ὁ Πομπήϊος. Ὁ δὲ οὔτε περὶ τῆς γῆς ἐνενόησεν, οὔτε τοῖς λειψάνοις τοῦ ναυαγίου παροῦσιν, ἢ ἀπιοῦσι καταστάντος τοῦ κλύδωνος, ἐπεχείρησεν. ἀλλ' ὑπερεῖδεν ἐκ τῶν δυνατῶν διαζωννυμένους τὰ σκάφη, καὶ ἀνέμῳ διαπλέοντας ἐς τὸ Ἱππώνειον· εἴτε τὴν συμφορὰν ἀρκεῖν οἱ νομίζων, εἴτ' ἄπειρος ὢν νίκην ἐπεξελθεῖν, εἴθ' (ὥσπερ εἴρηταί μοι καὶ ἑτέρωθι) ἐπιχειρεῖν ὅλως μαλακὸς ὢν, καὶ μόνον ἐγνωκὼς ἀμύνεσθαι τοὺς ἐπιπλέοντας.

XCII. Καίσαρι δὲ οὐδ' ἐς ἥμισυ τῶν νεῶν περιεσώθη, καὶ τοῦτο σφόδρα πεπονηκός. καταλιπὼν δ' ὅμως αὐτοῦ τινας ἐπιμελεῖσθαι, ἐπὶ Καμπανίαν ᾔει δυσφορῶν· οὔτε γὰρ ἄλλας ναῦς εἶχε, δεόμενος πολλῶν, οὔτε χρόνον ἐς ναυπηγίαν, ἐπειγόμενος ὑπὸ τοῦ λιμοῦ, καὶ τοῦ δήμου

Lin. 11. *Cum in edit.* 2. *oper. errore fuiſſet* διαζωννυμένους, *propagatus eſt error in edit.* 3. *L.* 17. πεποιηκός *mend. Aug.* *L.* 18. ἐπιλεῖσθαι *oper. err. edit.* 3. ἐπιμελλεῖσθαι *Aug. mend.*

verſis, aliunde etiam novæ contra ipſum exorirentur inſidiæ. Pedeſtres autem copias, quas circa ſe habuit, dimiſit per Italiæ littora; ne *Pompejus*, hoc ſucceſſu elatus, continentem auderet invadere. Sed ille nec de Italia quidquam cogitavit, nec reliquias naufragii, vel præſentes, vel abeuntes ſedata tempeſtate, adgreſſus eſt. Itaque Cæſariani, ſuccinctis utcumque poterant navibus, ſecundo vento Vibonem delati ſunt, nil impediente Pompejo; ſive quod ſatis adflictos putaret, ſive neſciret uti victoria; ſive, ut alias dixi, omnino ad aliena invadenda ſegnis, contentus eſſet ſua defendere.

92. *Cæſaris* autem *navium ne dimidium quidem ſuperfuit*, & id ipſum vehementer quaſſatum. Relictis tamen nonnullis curæ navium præfectis, ipſe in Campaniam abiit, ægre animo adfectus. Nam neque naves alias habebat, quum multis opus eſſet, neque tempus ad fabricam ſuppetebat, urgente fame, & populo rurſus importunis vocibus

δήμου περὶ συμβάσεων αὖθις ἐνοχλήσαντος, καὶ τὸν πόλεμον ἐπιτωθάσαντος ὡς παράσπονδον. χρημάτων τ' ἔχρῃζε, καὶ ἠπόρει, Ῥωμαίων οὔτε εἰσφερόντων, οὔτε τοὺς πόρους ἐώντων, οὓς ἐπινενοήσει. Δεινὸς δὲ ὢν ἀεὶ τὸ συμφέρον συνιδεῖν, ἔπεμπε Μαικήναν ἐς Ἀντώνιον, μεταδιδάξοντα περὶ ὧν ἔναγχος ἐπεμέμφοντο ἀλλήλοις, καὶ ἐς συμμαχίαν ὑπαξόμενον. εἰ δὲ μὴ πείσειεν, ἐπενόει, τοὺς ὁπλίτας ὁλκάσιν ἐπιβήσας ἐς Σικελίαν περαιοῦν, καὶ, τὴν θάλασσαν μεθεὶς, κατὰ γῆν τὸν πόλεμον συνίστασθαι. Οὕτω δ' ἀθύμως ἔχοντι αὐτῷ, ἀγγέλλεται ὁ Ἀντώνιος συνθέμενος συμμαχήσειν, καὶ νίκη κατὰ Κελτῶν τῶν Ἀκυϊτανῶν ἐπιφανὴς, ἣν Ἀγρίππας ἄγων ἐφάνη. Οἵ τε φίλοι, καὶ τῶν πόλεων τινες, αὐτῷ ναῦς ὑπισχνοῦντο, καὶ ἐποίουν. Ὁ μὲν δὴ καὶ τῆς λύπης ἀνίη, καὶ λαμπροτέραν τῆς προτέρας παρασκευῆς συνεπήγνυτο. *A. U.* 717.

Lin. 25 sq. μεταδιδάξαντα *Regii, Aug. Tenui emendationem C. Steph. L. 27.* εἰ μὴ δὲ πεισ. *Edd. ex Reg. B. Prævidi Reg. A. Aug. L. 32. Pro* ἄγων *legendum fortasse* ἀγωνιζόμενος *visum erat Musgravio.* ἄγων ἐφάνη (*sic*) *mend. Aug. L. 34.* ἀνίη *edit. 2. 3. mend.* ἀνήει *Regii, ex* ἀνιει *corruptum: quod malim, cum Musgravio. In* ἀνίει *cum C. Stephan. consentit Aug.*

cibus pacem flagitante, bellumque hoc ut contra fœdera susceptum vituperante. Pecuniis quoque opus erat, quarum in magna Cæsar fuit inopia; populo Romano neque conferente quidquam, neque sinente uti illis artibus, quas ad exigendam pecuniam ille excogitaverat. Tum *Cæsar*, ingeniosus semper ad perspicienda quæ rei suæ conducerent, *Mæcenatem misit ad Antonium*, qui melius edoctum de recens exortis inter ipsos controversiis, ad belli ejus societatem pertraheret. Id si minus successisset; cogitaverat legiones onerariis in Siciliam trajicere, omissoque mari, in terra bellum gerere. His curis anxio nuncius perfertur, Antonium societatem non recusare, simulque *victoria* nunciatur *de Aquitanis* egregia, *Agrippæ auspiciis parta*. Amici etiam nonnullæque civitates ei naves pollicebantur, & fabricabant. Sic *Cæsar* omissa mœstitia, *magnificentiores* jam *classis adparatus*, quam quæ prius illi fuerat, *faciebat*.

A. U. 718. · XCIII. Ἀρχομένου δ' ἦρος, ὁ μὲν Ἀντώνιος ἐξ Ἀθηνῶν ἐς Τάραντα διέπλει ναυσὶ τριακοσίαις, τῷ Καίσαρι συμμαχήσων, ὡς ὑπέσχητο. Ὁ δ' ἐνήλλακτο τὴν γνώμην. καὶ ἐς τὰς ἔτι γινομένας αὐτῷ ναῦς ἀνεβάλλετο. καλούμενος δὲ αὖθις, ὡς ἐπὶ ἕτοιμα καὶ ἀρκοῦντα τὰ Ἀντωνίου, ἑτέρας ἀσχολίας προὔφερε· καὶ δῆλος ἦν ἢ αὖθις ἐπιμεμφόμενός τι τῷ Ἀντωνίῳ, ἢ τῆς συμμαχίας διὰ τὴν εὐπορίαν τὴν οἰκείαν ὑπερορῶν. Χαλεπαίνων δ' ὁ Ἀντώνιος, ἐπέμενεν ὅμως, καὶ αὖθις αὐτὸν ἐκάλει. τῇ τε γὰρ χορηγίᾳ τοῦ ναυτικοῦ κάμνων, καὶ στρατοῦ χρῄζων ἐπὶ Παρθυαίους Ἰταλοῦ, Καίσαρι τὰς ναῦς ἐπενόει διαλλάξαι· εἰρημένον μὲν ἐν ταῖς συνθήκαις, ἑκάτερον ξενολογεῖν ἐκ τῆς Ἰταλίας, δυσχερὲς δ' ἐσόμενον αὐτῷ, Καίσαρος τὴν Ἰταλίαν εἰληχότος. Ὀκταουία οὖν ἐχώρει πρὸς Καίσαρα, διαιτήσουσα αὐτοῖς. Καὶ ὁ μὲν, ἐγκαταλε-

Lin. 47. εἰρημέναν *Aug. ſed ab alia manu* ο *ſuperſcriptum.* *L.* 48 *ſq.* ἐσόμενον αὐτοῖς καὶ βαρὺ, τὴν Ἰταλίαν εἰληχότος *Edd.* *Pro* καὶ βαρὺ, *dederunt* Καίσαρος *Aug. Ven. Cand.* (*quamquam in Aug. ante* Καίσαρος *etiam verba* καὶ βαρὺ *ab alia manu in marg. adjecta ſunt.*) αὐτοῖς *vero in* αὐτῷ *mutandum putavi.* *L.* 50 *ſq.* ἐγκαταλεῖφθαι *vit. edit.* 3.

93. Ineunte autem vere *Antonius* ex *Athenis Tarentum* cum trecentis navibus adpulit, *Cæſari auxilium laturus*, ut promiſerat. Sed *Cæſar* jam mutaverat conſilium, exſpectandumque ajebat, dum nova claſſis eſſet perfecta. Rurſuſque invitatus, ut Antonii adparatu, ſuffecturo ad id bellum, uteretur, excuſabat ſe, diſtineri aliis negotiis: ut ſatis adpareret, aut rurſus aliquid querelarum eum habere contra Antonium, aut ejus auxilia contemnere contentum propriis facultatibus. Id indigne ferens *Antonius*, tamen eodem loco manſit, denuoque illum vocavit. Nam, quum gravatim ſumtus in claſſem faceret, & ad Parthicum bellum opus haberet Italicis legionibus, commutare claſſem cum parte legionum Cæſaris cogitabat. Quamquam enim ex fœdere utrique poteſtas erat delectus habendi per Italiam, difficile hoc *Antonio* erat futurum; quia Italiam Cæſar ſorte tenebat. Quamobrem *Octavia profecta* eſt *ad Cæſarem*, *arbitra inter fratrem maritumque* futura. Cui *Cæſar* dixit, deſertum ſe ab Antonio in il-

λεῖφθαι τοῖς κινδύνοις, ἔλεγε, τοῖς ἐν πορθμῷ καταλαβοῦσιν. Ἡ δὲ, ἐκλελύσθαι τοῦτο διὰ Μαικήνα. Ὁ δὲ, τὸν Ἀντώνιον, ἔφη, καὶ Καλλίαν ἀπελεύθερον ἐς Λέπιδον ἐκπέμψαι, συντιθέμενον τῷ Λεπίδῳ κατὰ Καίσαρος. Ἡ δὲ, συνειδέναι Καλλίαν περὶ γάμων ἀπεσταλμένον· βουληθῆναι γὰρ Ἀντώνιον πρὸ τῶν Παρθυϊκῶν ἐκδεδόσθαι τὴν θυγατέρα τῷ παιδὶ Λεπίδου, καθάπερ ὡμολόγητο. Καὶ τάδε μὲν ἡ Ὀκταουία. Ἀντώνιος δὲ καὶ τὸν Καλλίαν ἔπεμπεν, ἐς βάσανον τῷ Καίσαρι διδούς· ὁ δὲ οὐκ ἐδέξατο μὲν, ἀφίξεσθαι δὲ ἔφη, καὶ συμμίξειν Ἀντωνίῳ μεταξὺ Μεταποντίου καὶ Τάραντος, μέσον ἔχων ποταμὸν τὸν ἐπώνυμον. A. U. 718.

XCIV. Κατὰ δαίμονα δ' ἀμφοτέρων προσιόντων τῷ ῥεύματι, Ἀντώνιος ἐκ τῆς ἀπήνης καταθορὼν, ἔς τι τῶν παρορμούντων σκαφῶν ἐσήλατο μόνος, καὶ ἐπέρα πρὸς τὸν Καίσαρα, πιστεύων ὡς φίλῳ. Καὶ ὁ Καῖσαρ ἰδὼν,

Lin. 60 ſq. μεταξὺ Μετίου *Edd. truncato nomine, cum Reg. B. Recte Reg. A. Aug. Cand. L. 6 ſq.* ποταμὸν τὸ ἐπώνυμον *Edd.* τὸν *recte dedit Reg. A. cum Aug. Pro* ὁμώνυμον *repoſui* ἐπώνυμον. *Sic Cand.* fluv. eiuſdem nominis. *L. 64.* καταδορῶν *Edd. ex Reg. A. Prætuli Aug. Reg. B. L. 65.* καὶ, *ante* ἐπέρα, *caret edit. 3. oper. err.*

lis periculis fuiſſe, quæ in freto Siculo ſubiiſſet. Retulit illa, crimen hoc jam in colloquio cum Mæcenate fuiſſe dilutum. Rurſus conqueſtus eſt *Cæſar*, Calliam libertum ab Antonio ad Lepidum eſſe miſſum, ut fœdus contra Cæſarem inirent. Cui *Octavia* reſpondit, ſcire ſe, Calliam miſſum ut de connubiis ageret: voluiſſe enim Antonium, antequam contra Parthos expeditionem ſuſciperet, elocare filiam filio Lepidi, quemadmodum promiſiſſet. Hæc adſeverante *Octavia*, Calliam quoque Cæſari miſit *Antonius*, ut tormentis veritatem exprimeret: quem ille non accepit, dicens, in *colloquium* ſe venturum *cum Antonio inter Metapontum et Tarentum*, quo loco fluvius ejuſdem nominis medius interfluit.

94. Ad eum fluvium quum eodem forte tempore uterque advenifſet, *Antonius* e carpento deſiliens, in lintrem ibi ſtantem ſolus inſiliit: trajiciebatque ad Cæſarem, credens ut amico. Id *Cæſar* ubi

A. U. 718.

ἀντεμιμεῖτο, καὶ ξυμβάλλουσιν ἀλλήλοις κατὰ τὸ ῥεῦμα, καὶ διήριζον, ἑκάτερος ἐκβῆναι βουλόμενος ἐς τὴν ὄχθην τοῦ ἑτέρου. ἐνίκα δὲ ὁ Καῖσαρ, ὡς καὶ πρὸς τὴν Οκταουίαν ἥξων ἐς Τάραντα· ἐπί τε τῆς ἀπήνης Ἀντωνίου συνήδρευεν αὐτῷ, καὶ ἐν Τάραντι ἐς τὴν καταγωγὴν αὐτοῦ παρῆλθέ τε ἀφύλακτος, καὶ τὴν νύκτα ὁμοίως ἀνεπαύετο χωρὶς δορυφόρων παρ' αὐτῷ. τὰ δ' ὅμοια καὶ παρ' Ἀντωνίου τῆς ἐπιούσης ἐπεδείκνυτο. Οὕτως αὐτοῖς ἦν συνεχὴς ἡ μεταβολὴ, πρός τε τὰς ὑπονοίας, διὰ φιλαρχίαν, καὶ ἐς τὰς πίστεις, ὑπὸ χρείας.

XCV. Τὸν μὲν οὖν ἐπίπλουν τὸν ἐπὶ Πομπήϊον ὁ Καῖσαρ ἐς νέωτα ἀνεβάλλετο. ὁ δ' Ἀντώνιος ἐπιμένειν διὰ Παρθυαίους οὐ δυνάμενος· ἀντέδοσαν ὅμως ἀλλήλοις, Καίσαρι μὲν ὁ Ἀντώνιος ναῦς ἑκατὸν εἴκοσιν, ἃς αὐτίκα πέμψας ἐς Τάραντα παρέδωκεν, Ἀντωνίῳ δὲ ὁ Καῖσαρ δισμυρίους Ἰταλοὺς ὁπλίτας, οὓς ἐπιπέμψειν ὑπισχνεῖτο. ἐδωρήσατο δὲ καὶ Οκταουία τὸν ἀδελφὸν, αἰτήσασα

Lin. 74. ἀπεδείκνυτο *Edd. ex Reg. A. Prætuli Reg. B. cum quo faci. Aug. licet mendose det* ἐπιδείκνυτο.

vidit, imitatus eſt. Itaque in ipſo flumine ſibi obvii, contendunt inter ſe, & uterque in ripam alterius vult exſcendere. Vicit Cæſar, quippe Octaviam quoque conventurus Tarenti: conſeditque in eodem carpento cum Antonio, & Tarenti in ejus diverſorium conceſſit abſque ſatellitio, & ſic pernoctavit apud eum, nullos corporis cuſtodes ſecum habens. Eadem omnia ſequenti die fecit *Antonius.* Ita continenter levi momento mutabantur, vel ad ſuſpiciones, propter imperandi cupiditatem, vel ad mutuam fiduciam, quoties uſu poſtularet.

95. Ceterum expeditionem contra Pompejum Cæſar in annum ſequentem diſtulit: Antonius vero, quum diutius morari propter Parthos non poſſet, permutationem tamen cum Cæſare inſtituit. *Cæſar Antonius* c x x *naves* continuo Tarentum miſſas *tradidit*: pro quibus *Cæſar illi viginti legionariorum millia* pollicitus eſt miſſurum ſe ex Italia. *Octavia* quoque fratrem donavit impetratis al

παρ' Ἀντωνίου, δέκα φασήλοις τριηρετικοῖς, ἐπιμίκτοις A. U. 718.
ἔκ τε φορτίδων νεῶν καὶ μακρῶν· καὶ τὴν Ὀκταουίαν ὁ Καῖσαρ, χιλίοις λογάσι σωματοφύλαξιν, οὓς ἐπιλέξαιτο Ἀντώνιος. Ἐπεὶ δὲ ὁ χρόνος αὐτοῖς ἔληγε τῆς ἀρχῆς, ἣ τοῖς τρισὶν ἐψήφιστο ἀνδράσιν, ἑτέραν ἑαυτοῖς ὥριζον πενταετίαν, οὐδὲν ἔτι τοῦ δήμου δεηθέντες. Οὕτω μὲν οὖν διεκρίθησαν ἀπ' ἀλλήλων, καὶ ὁ Ἀντώνιος εὐθὺς ἐς τὴν Συρίαν ἠπείγετο, τὴν Ὀκταουίαν παρὰ τῷ ἀδελφῷ καταλιπὼν μετὰ θυγατρὸς ἤδη γενομένης αὐτοῖς.

XCVI. Μηνόδωρος δέ, εἴτε τις ὢν φύσει παλιμπροδότης, εἴτε δείσας τήν ποτε ἀπειλὴν Ἀντωνίου, ἀπάξειν αὐτὸν εἰπόντος ὡς ἀνδράποδον πολεμοποιόν, εἴτε ἐλασσόνων ἀξιοῦσθαι νομίζων παρ' ἃ προσεδόκησεν, εἴτε τῶν ἄλλων αὐτὸν ἐξελευθέρων τοῦ Πομπηίου συνεχῶς ὀνειδιζόντων ἐς ἀπιστίαν δεσπότου, καὶ παρακαλούντων ἐπανελθεῖν· Μενεκράτους ἀποθανόντος, πίστιν αἰτήσας καὶ

Lin. 84. τριηριτικοῖς *mend. Edd. cum MSStis, quod correxi.* τριηρητικοῖς *legit Bayf.* *L.* 88. ἐπεψήφιστο *Edd. Prætuli Aug.* *L.* 89. οὖνοι μὲν (*sic, cum accentu acuto*) *mend. Edd. cum Regiis & Aug. Mutavi in* οὖν. eoque modo *Cand.* *L.* 96 *sq.* παρ' ἃ *usque* ἐξελευθέρων *omisit Reg. B.* *L.* 98 *sq.* ἀπανελθεῖν *Edd. invit. MSS. operarum errore, ex edit.* 1. *propagato.* *L.* 99. Τιμοκράτους ἀποθ. *mend. Edd. ex Regiis. Recte Aug. Ven. Cand.*

Antonio decem *phaselis triremibus:* quod navis genus medium est inter longas & onerarias. *Cæsar* vicissim Octaviam mille selectis donavit satellitibus, Antonio delectu eorum permisso. Et quoniam *Triumviratus tempus*, senatusconsulto præscriptum, exierat, *prorogarunt sibi ipsi* potestatem in aliud quinquennium, nihil morati plebis suffragia. Atque ita discesserunt: & *Antonius* recta *properabat in Syriam*, Octavia apud fratrem relicta, cum filiola quæ jam ipsis nata erat.

96. Ceterum *Menodorus*, sive quod natura esset reciprocus proditor; sive minas Antonii veritus, qui, ad supplicium se eum, ut turbulentum mancipium, rapturum, aliquando dixerat; sive minora spe consecutus præmia; sive permotus continuis ceterorum Pompeji libertorum opprobriis, perfidiam objectantium, & ad officium revocantium; exstincto Menecrate,

A. U. 718. λαβὼν, ηὐτομόλησε πρὸς Πομπήιον σὺν ἑπτὰ ναυσὶ, Καλουίσιον τὸν ναύαρχον τοῦ Καίσαρος διαλαθών. ἐφ' ᾧ τὸν Καλουίσιον ὁ Καῖσαρ ἀπέλυσε τῆς ναυαρχίας, καὶ ἀντικατέστησεν Ἀγρίππαν. Ἐπεὶ δ' ἕτοιμος ἦν ὁ στόλος, ἐκάθαιρεν αὐτὸν ὁ Καῖσαρ ὧδε· Οἱ μὲν βωμοὶ ψαύουσι τῆς θαλάσσης, καὶ ἡ πληθὺς αὐτοὺς περιέστηκε κατὰ ναῦν, μετὰ σιωπῆς βαθυτάτης· οἱ δὲ ἱερουργοὶ θύουσι μὲν ἑστῶτες ἐπὶ τῇ θαλάσσῃ, καὶ τρὶς ἐπὶ σκαφῶν περιφέρουσιν ἀνὰ τὸν στόλον τὰ καθάρσια, συμπεριπλεόντων αὐτοῖς τῶν στρατηγῶν, καὶ ἐπαρωμένων, ἐς τάδε τὰ καθάρσια, ἀντὶ τοῦ στόλου, τὰ ἀπαίσια τραπῆναι· νείμαντες δὲ αὐτὰ, μέρος ἐς τὴν θάλασσαν ἀποῤῥίπτουσι, καὶ μέρος ἐς τοὺς βωμοὺς ἐπιθέντες ἅπτουσι, καὶ ὁ λεὼς ἐπευφημεῖ. Οὕτω μὲν Ῥωμαῖοι τὰ ναυτικὰ καθαίρουσιν.

XCVII. Ἔμελλε δ' ὁ μὲν Καῖσαρ ἐκ Δικαιαρχείας, ὁ δὲ Λέπιδος ἐκ Λιβύης, Ταῦρος δ' ἐκ Τάραντος ἐπιπλευσεῖσθαι τῇ Σικελίᾳ, ὡς ἂν αὐτὸν ἐξ ἠοῦς ὁμοῦ καὶ δύσεως καὶ μεσημβρίας περιλάβοιεν. καὶ τῆς ἀναγωγῆς

fide impetrata, *ad Pompejum rursus transfugit*, cum septem navibus, non sentiente præfecto classis Calvisio. Quam ob causam *Calvisio classis præfecturam Cæsar abstulit, et in Agrippam transtulit.* Absolutam deinde *classem lustravit* hunc in modum: „Altaria stant in extremo littore: naves plenæ classiariis ordine circumstant; cum altissimo silentio: sacrifici, stantes ad mare, mactant victimas, moxque in scaphis ter circum classem lustralia exta circumferunt, navigantibus una & ducibus, comprecantibusque, ut in ea lustramina a classe avertantur infausta omnia: divisis deinde lustralibus extis, partem in mare projiciunt, partem adolent in altaribus, fausta ominante multitudine." *Hoc modo Romani classes suas lustrare solent.*

97. Statutum autem erat, ut *Cæsar a Puteolis*, *Lepidus ex Africa*, *Taurus a Tarento*, diversis classibus *Siciliam invaderent*; ut hostem ab oriente pariter & occidente meridieque circumvenirent: &

τοῦ Καίσαρος ἡ ἡμέρα προείρητο πᾶσι, καὶ ἦν δεκάτη τροπῶν θερινῶν, ἥν τινα Ῥωμαῖοι νουμηνίαν ἔχουσι τοῦ μηνὸς, ὃν ἐπὶ τιμῇ τοῦ Καίσαρος τοῦ προτέρου Ἰούλιον ἀντὶ Κυϊντιλίου καλοῦσι. τήνδε μὲν ὁ Καῖσαρ ὥρισε τὴν ἡμέραν, αἰσιούμενος ἴσως διὰ τὸν πατέρα, νικηφόρον αἰεὶ γενόμενον. Ὁ δὲ Πομπήϊος Λεπίδῳ μὲν ἀντέταττε Πλέννιον ἐν Λιλυβαίῳ, τέλος ὁπλιτῶν ἔχοντα, καὶ ἄλλο πλῆθος ἐσκευασμένον κούφως· τὴν δὲ πρὸς ἕω καὶ δύσιν ἀκτὴν τῆς Σικελίας πᾶσαν ἐφρούρει, καὶ νήσους μάλιστα Λιπάραν τε καὶ Κοσσύραν, ἵνα μήτε Κοσσύρα Λεπίδῳ, μήτε Λιπάρα Καίσαρι, ἐνορμίσματα ἢ ναύσταθμα γένοιτο εὔκαιρα ἐπὶ τῇ Σικελίᾳ. τὸ δ' ἄριστον τοῦ ναυτικοῦ ἐν Μεσσήνῃ συνεῖχεν, ἐφεδρεῦον ὅπη δεήσειεν. Οὕτω μὲν ἑκάτεροι παρασκευῆς εἶχον. *A. U. 718.*

XCVIII. Γενομένης δὲ τῆς νουμηνίας, ἀνήγοντο πάντες ἅμα ἠοῖ· Λέπιδος μὲν ἐκ Λιβύης χιλίαις ὁλκάσι, καὶ μακραῖς ἑβδομήκοντα, καὶ τέλεσι στρατοῦ δυώδεκα, καὶ ἱππεῦσι Νομάσι πεντακισχιλίοις, καὶ ἑτέρα πα-

Lin. 14. *Malim* οἱ Ῥωμαῖοι. *L.* 25 *sq.* Plinium *constanter vocat Cand.* *L.* 32. Μεσήνῃ *h. l. rursus Aug.*

prædictus omnibus eſt dies, quo ſoluturæ eſſent claſſes. Is dies fuit decimus poſt æſtivum ſolſtitium, quo Romani *Calendas* agunt menſis ejus qui in ſuperioris Cæſaris honorem *Julius* adpellatur, quum prius *Quintilis* vocaretur. Hunc diem Cæſar præſtituit, fauſtum ratus fortaſſe propter patrem, perpetuo victorem. *Pompejus* vero *Lepido* oppoſuit *Plennium ad Lilybæum*, cum legione una & alia leviter armatorum multitudine. Orientale autem occidentaleque Siciliæ latera præſidiis muniit, & inſulas præſertim *Liparam* & *Coſſyram*, ne vel Coſſyra Lepido, vel Lipara Cæſari, portus aut ſtationes opportunas præberent contra Siciliam. Robur autem claſſis Meſſanæ continebat, quæ in omnes occaſiones eſſet intenta. Hi fuerunt utriuſque partis adparatus.

98. Poſtquam autem Calendæ venere, prima aurora omnes ſolverunt: *Lepidus* ex Africa mille onerariis, longis ſeptuaginta, cum legionibus duodecim, & equitum Numidarum quinque millibus, mul-

A. U. 718.

ρασκευῇ πολλῇ· Ταῦρος δ' ἐκ Τάραντος, ταῖς Ἀντωνίου ναυσὶν ἐξ ἑκατὸν καὶ τριάκοντα δύο μόναις καὶ ἑκατὸν, ἐπεὶ τῶν λοιπῶν οἱ ἐρέται χειμῶνος ἐτεθνήκεσαν· ὁ δὲ Καῖσαρ, ἐκ Δικαιαρχείας, θύων ἅμα καὶ σπένδων ἀπὸ τῆς ναυαρχίδος νεὼς ἐς τὸ πέλαγος ἀνέμοις εὐδίοις, καὶ Ἀσφαλείῳ Ποσειδῶνι, καὶ ἀκύμονι θαλάσσῃ, συλλήπτορας αὐτῷ κατὰ ἐχθρῶν πατρῴων γενέσθαι. πρόπλοι δ' αὐτῷ τινες τοὺς μυχοὺς τῆς θαλάσσης διηρεύνων, καὶ Ἄππιος μετὰ πλήθους νεῶν ὀπισθοφυλάκων εἵπετο. Τρίτῃ δὲ τῆς ἀναγωγῆς ἡμέρᾳ νότος ἐμπεσὼν, Λεπίδου μὲν ὁλκάδας ἀνέτρεψε πολλάς· ὡρμίσθη δὲ ὅμως ἐς Σικελίαν, καὶ Πλέννιον ἐν Λιλυβαίῳ πολιορκῶν, τινὰς τῶν πόλεων ὑπήγετο, καὶ ἑτέρας ἐβιάζετο. Ταῦρος δὲ, ἀρχομένου τοῦ πνεύματος, ἐς Τάραντα ἐπαλινδρόμει. Ἀππίου δ' ἄρτι τὸ Ἀθήναιον ἄκρον περιπλέοντος, αἱ μὲν συνετρίβοντο τῶν νεῶν ἀμφὶ ταῖς πέτραις, αἱ δ' ἐς τέλ-

Lin. 43. Ἀσφαλίῳ *Aug.* *L.* 44. πρόπλοι *Edd. cum Reg. B. ex emendatione Gu. Budæi.* πρόπλευν *Reg. A. & Reg. B. a prima manu.* πρόπλει *recte Ven & Aug. a prim. manu, quod in Aug. perperam dein alia manus in* πρόπλευν *mutavit.* *L.* 49. Πλένιον *h. l. Aug.* *L.* 51. ἐπαλιδρόμει *Aug. non male.* *L.* 52. Ἀθηναίων *Edd. Cand. Verius Aug.*

toque alio adparatu: *Taurus* Tarento ex Antonianis CXXX navibus duas tantum supra centum eduxit, quum reliquarum remigium anteacta hiems absumsisset. *Cæsar* Puteolis solvit, sacra simul faciens, & ex prætoria navi in mare *libans Ventis serenis*, *tutelari Neptuno*, *et tranquillo Mari*, ut propitii sibi contra paternos inimicos faverent. Præcursoriæ nonnullæ, ab illo præmissæ, sinus maris scrutabantur: postremum navium agmen *Appius* cogebat cum præsidio. Tertio vero die postquam solverant, exortus *Auster multas onerarias Lepidi subvertit*: tenuit tamen Siciliam, & Plennium intra Lilybæum oppugnavit, oppidaque aliquot, partim vi, partim deditione, in fidem recepit. *Taurus*, mox ubi reflare ventus cœpit, Tarentum reversus est. *Appio* vero circa Minervæ promontorium navigante, pars navium illisa est scopulis, pars in brevia

ματα ἐξώκελλον ὑπὸ ῥύμης, αἱ δὲ καὶ διερρίζησαν οὐκ ἀσινεῖς. Ὁ δὲ Καῖσαρ, ἀρχομένου μὲν τοῦ χειμῶνος, ἐς τὸν Ἐλεάτην κόλπον ἔρυμνον ὄντα συμπεφεύγει, χωρὶς ἑξήρους μιᾶς, ἣ περὶ τῇ ἄκρᾳ διελύθη. Λιβὸς δὲ τὸν νότον μεταλαβόντος, ὁ κόλπος ἐκυκᾶτο, ἐς τὴν ἑσπέραν ἀνεωγμένος· καὶ οὔτε ἐκπλεῦσαι δυνατὸν ἦν ἔτι πρὸς ἐναντίον τοῦ κόλπου τὸ πνεῦμα, οὔτε κῶπαι κατεῖχον, οὔτε ἄγκυραι, ἀλλ' ἐς ἀλλήλας ἢ ἐς τὰς πέτρας ἐνηράσσοντο αἱ νῆες· καὶ νυκτὸς ἦν ἔτι τὸ δεινὸν ἀτοπώτερον. A. U. 718.

XCIX. Ἐνδόντος δέ ποτε τοῦ κακοῦ, τὰ νεκρὰ ἔθαπτεν ὁ Καῖσαρ, καὶ τοὺς τραυματίας ἐθεράπευε, καὶ τοὺς ἐκνέοντας ἐνέδυε, καὶ ὥπλιζεν ἑτέροις ὅπλοις, καὶ τὸν στόλον ἅπαντα ἐκ τῶν ἐνόντων ἀνελάμβανε. διεφθάρατο δ' αὐτῷ νῆες, βαρεῖαι μὲν ἕξ, κουφότεραι δὲ ἓξ καὶ εἴκοσι, λιβυρνίδες δὲ ἔτι πλείους. καὶ ἐς τάδε διορθούμενα τριάκοντα ἡμέρας ἀναλώσειν ἔμελλεν, ἤδη τοῦ θέρους προκόπτοντος. ἔδει ἦν ἄριστον αὐτῷ τὸν πόλεμον ἐς τὸ μέλλον θέρος ἀναβαλέσθαι. Ἐνοχλουμένου δὲ τοῦ

Lin.54. ἐξώκειλον *Edd. Prætuli Aug. L. 56.* Ἰταλίην κόλπον *Edd. Aug. Correxi, monente etiam Cluv. Recte Cand.* Eleatem sinum. *L.71.* ἀναβάλλεσθαι *Edd. ex Reg. A. Prætuli Aug. Reg. B.*

magno impetu impegit, reliquæ non sine damno disjectæ sunt. *Cæsar*, oriente tempestate, *in Eleatem sinum* natura tutum confugit, excepta una hexere, quæ circa promontorium fecit naufragium. Quum vero Austro successisset *Africus*, sinus ad occidentem apertus turbabatur fluctibus: &, reflante jam vento neque exire sinu, neque aut remis aut ancoris sisti *naves* poterant, sed *vel ad saxa vel inter se collidebantur*: quod malum adventu noctis auctum est.

99. Tandem sedato infortunio, *Cæsar* mortuos sepeliit, vulneratos curavit, enatantes vestivit aliisque armis instruxit, & universam classem pro præsentibus viribus reficere instituit. *Perierant* autem *naves* graviores sex, leviores sex & viginti, liburnicæ plures etiam. His incommodis sarciendis opus erat triginta dierum spatio; & vergebat jam æstas. Unde optimum fuerat, differre bellum in æstatem proximam. Sed

A. U. 718 δήμου ταῖς ἀπορίαις, ἐπεσκεύαζε τὰς ναῦς ἐς τὴν γῆν ἀνέλκων μετὰ ἐπείξεως, καὶ τὰ πληρώματα τῶν διεφθαρμένων ἐς τὰς παρὰ Ταύρῳ ναῦς κενὰς ἐξέπεμπεν. Ὡς δὲ ἐπὶ συμφορᾷ μείζονι, Μαικήναν μὲν ἐς Ῥώμην ἐξέπεμπε διὰ τοὺς ἐπτοημένους ἔτι πρὸς τὴν μνήμην Πομπηίου Μάγνου· οὐ γάρ αὐτοὺς ἐξέλιπεν ἡ δόξα τοῦ ἀνδρὸς τούτου. τοὺς δὲ κληρούχους αὐτὸς ἀνὰ τὴν Ἰταλίαν ἐπέτρεχε, καὶ ἐκ τοῦ δέους τῶν γεγονότων ἀνελάμβανε. Διέδραμε δὲ καὶ ἐς Τάραντα, καὶ τὸ ναυτικὸν εἶδε τὸ ὑπὸ Ταύρῳ, καὶ ἐς Ἱππώνειον ἦλθε, καὶ τὰ πεζὰ παρηγόρησε, καὶ τὴν τῶν νεῶν ἐπισκευὴν ἐπέσπερχε· καὶ πλησίον ἦν ἤδη καὶ ὁ δεύτερος ἐς Σικελίαν ἐπίπλους.

C. Ὁ δὲ Πομπήιος οὐδ᾽ ἐπὶ τοιᾷδε εὐκαιρίᾳ τοσοῖσδε ναυαγίοις ἐπιχειρεῖν ἠξίου· ἀλλ᾽ ἔθυε μόνον Θαλάσσῃ καὶ Ποσειδῶνι, καὶ υἱὸς αὐτῶν ὑφίστατο καλεῖσθαι, πειθόμενος, οὐκ ἄνευ θεοῦ δὶς οὕτω θέρους πταῖσαι τοὺς πολεμίους. Φασὶ δ᾽ αὐτὸν, ὑπὸ τῶνδε χαυνούμενον, καὶ τὴν συνήθη τοῖς αὐτοκράτορσι χλαμύδα ἐκ φοινικῆς ἐς κυανῆν

Lin. 72. τὰς, ad ναῦς, carent Edd. Dedit Reg. A. cum Aug.

quum populus laboraret inopia, subductas *naves Cæsar reparavit* celeriter, & socios navales recollectos ex naufragiis Tauro in supplementum vacuarum navium transmisit. Simul post hunc tanti momenti casum Mæcenatem Romam misit, propter consternatos ob nondum abolitam ex animis civium Pompeji Magni memoriam. Novos autem colonos ipse, magna festinatione Italiam obeundo, recreabat a pavore. Pari celeritate Tarentum quoque adcurrit, ut Tauri classem inviseret; indeque Vibonem profectus, legiones affatus, bono esse animo jussit; & adparatum navium acceleravit, brevi *Siciliam denuo invasurus.*

100. *Pompejus*, ne hac quidem tot naufragiorum occasione usus, tantum *Sal[o] Neptunoque sacra fecit: quorum etiam filium adpellari s[e] sustinuit*; persuasus, non sine deo bis ita per æstivos menses hostem adversis tempestatibus adflictum. Ferturque eum, his successibus inflatum, mutasse *paludamentum* quoque imperatorium, *cæruleum*

μεταλλάξαι, εἰσποιούμενον ἄρα τῷ Ποσειδῶνι. Ἐλπίσας δ᾽ ἀναζεύξειν τὸν Καίσαρα, ὡς ἐπύθετο ναυπηγούμενόν τε καὶ ἐπιπλευσούμενον αὖθις αὐτοῦ θέρους, ἐξεπλήσσετο μὲν, ὡς ἀμάχῳ γνώμῃ καὶ παρασκευῇ πολεμῶν· Μηνόδωρον δὲ μετὰ νεῶν ἑπτὰ, ὧν ἤγαγεν, ἔπεμπε κατασκεψόμενον τὰ νεώλκια τοῦ Καίσαρος, καὶ δράσοντα ὅ τι καὶ δύναιτο. Ὁ δὲ, καὶ τέως ἀχθόμενος οὐκ ἀποδοθείσης αὐτῷ τῆς ναυαρχίας, καὶ τότε αἰσθόμενος ὅτι σὺν ὑποψίᾳ μόνων ἠξίωτο ὧν ἤγαγε νεῶν, ἐπεβούλευεν αὖθις αὐτομολίαν. A. U. 718.

CI. Ἐπινοῶν δὲ πρότερον, ὡς ἐς πάντα οἱ συνοῖσον, ἀνδραγαθίσασθαι, διέδωκε τοῖς συμπλέουσιν ὅσον εἶχε χρυσίον, καὶ διέπλευσεν εἰρεσίᾳ τρισὶν ἡμέραις πεντακοσίους ἐπὶ χιλίοις σταδίους, καὶ τοῖς προφύλαξι τῶν ναυπηγουμένων Καίσαρι νεῶν, οἷα σκηπτὸς ἀφανῶς ἐμπίπτων, καὶ ἐς ἀφανὲς ἀναχωρῶν, ᾖρει κατὰ δύο καὶ

Lin. 95. νεώλκια *Edd. Rectius Aug.* *L.* 98. μόνων *Aug.* *L.* 1. *Pro* πρότερον *dat* πρῶτον *mend. Reg. A.* *L.* 2. ἀνδραγαθίσασθαι *Reg. A.* *Ibid.* τοῖς πλέουσιν *Aug. Ven.* *L.* 5. οἷα σκηπτὸς ἀφανῶς *mend. Edd. Recte Aug. Ven. Cand.* *L.* 6. ᾖρει καὶ δύο καὶ τρεῖς *Edd. ex Reg. A. Verum ded. Reg. B. Aug. Utrumque perspicue viderat Musgrav.*

que ſumſiſſe *pro coccineo*, adoptatum a Neptuno ſcilicet. Quum vero Cæſarem omnino nunc quieturum ſperaſſet; ut audivit, inſtaurata claſſe rediturum eadem æſtate in Siciliam, perculſus eſt, quod adverſus inexpugnabilem & animum & adparatum ſibi eſſet bellum gerendum; Menodorumque cum ſeptem quas adduxerat navibus ſpeculatum miſit ad navalia Cæſaris, damnum ſimul illaturum quantum poſſet. Sed *Menodorus*, jam ante dolens non redditum ſibi claſſis imperium, tum vero ſentiens, propter ſuſpicionem ſolas quas adduxerat naves ſibi creditas, *rurſus transfugiendi cepit conſilium.*

101. Quoniam autem in quemvis eventum utile fore cogitabat, ſi prius virtutis aliquod ſpecimen edidiſſet; ſociis navalibus quidquid auri habebat diſtribuit, eremigatiſque intra triduum CXC paſſuum millibus, in præſidiarias navium quæ Cæſari fabricabantur, fulminis in morem, repentinus irruit; earumque jam duas, jam tres, protinus

A. U. 718. τρεῖς ναῦς τῶν Φυλακίδων· καὶ τὰς ὁλκάδας, αἳ τὸν σῖτον ἔφερον, ὁρμούσας ἢ παραπλεούσας, κατέδυεν ἢ ἀνεδεῖτο ἢ ἐνεπίμπρη. Θορύβου δὲ πάντα μεστὰ διὰ Μηνόδωρον ἦν, Καίσαρος ἀπόντος ἔτι καὶ Αγρίππα· καὶ γὰρ οὗτος ἐπὶ ὕλην ἐπεπόρευτο. γαυρούμενος δὲ ὁ Μηνόδωρος, ἐξώκειλέ ποτε τὴν ναῦν ἑκὼν ἐς ἕρμα γῆς ἁπαλὸν σὺν καταφρονήσει, καὶ ὑπεκρίνετο αὐτὴν ὑπὸ τοῦ πηλοῦ κατέχεσθαι· μέχρι, τῶν πολεμίων ἐκ τῶν ὀρῶν καταθορόντων, ὡς ἐπὶ Μηνοδώρου θήραν ἕτοιμον, ἀνακρουσάμενος ᾤχετο σὺν γέλωτι, καὶ τὸν στρατὸν τοῦ Καίσαρος ἀνία κατεῖχε σὺν θαύματι. ὡς δὲ ἱκανῶς ἐπεδέδεικτο, οἷος ἐχθρός τε καὶ φίλος εἴη, Ῥέβιλλον μὲν ἑλὼν, ἄνδρα ἀπὸ βουλῆς, μεθῆκε, μυώμενος ἤδη τὸ μέλλον.

CII. Μινδίῳ δὲ Μαρκέλλῳ, τῶν ἑταίρων τινὶ τῶν Καίσαρος, φίλος ἐν τῇ προτέρᾳ γεγονὼς αὐτομολίᾳ, τοῖς μὲν ἀμφ' αὐτὸν ἔφη, τὸν Μίνδιον βουλεύειν αὐτομολίαν καὶ προδοσίαν. τοῖς δὲ πολεμίοις προσπελάσας, ἠξίου

Lin. 14 *sq.* καθορόντων *emend. Reg. A.* *L.* 19. μυώμενος *Edd. ex Reg. A. & Reg. B. a sec. man. Recte Aug. Ven. Reg. B. a pr. manu.*

in occultum ſe rurſus proripiens, opprimebat; & onerarias quoque frumentum vehentes, vel in ſtationibus vel in curſu deprehenſas, alias mergebat, alias capiebat, alias incendebat. Itaque terrore *Menodori* repleta erant omnia: & nec Cæſar aderat, nec Agrippa, qui in ſylvas ad parandam materiam fuerat profectus. Aliquando etiam jactantius illudens hoſtibus *Menodorus*, contemtim in brevia impegit navem ubi mollius ſolum erat, in luto ſe hærere fingens; tum vero, velut ad paratam prædam e monte decurrentibus hoſtibus, retro acta navi cum riſu abiit, mœrentibus æque ac ſtupentibus Cæſarianis. Poſtquam vero ſatis oſtendit, quantum rebus momentum vel hoſtis adferre poſſet vel ſocius; *Rebilum* ſenatorem captum dimiſit, ad futura parans initium.

102. Moxque de *Mindio Marcello*, Cæſaris familiari, cujus amicitiam in priori transfugio ſibi quæſierat, ſparſit rumorem apud ſuos, proditionem eum moliri & transfugium. Tum ad hoſtes ipſe adpellens propius, poſtulavit cum Mindio in parva quadam

Μίνδιον αὐτῷ συνελθεῖν ἔς τινα νησίδα, ἐπὶ λόγοις συνοίσουσι. Καὶ συνελθόντι ἔλεγεν, οὐδενὸς ἀκούοντος ἑτέρου, φυγεῖν μὲν ἐς Πομπήιον, ὑβριζόμενος ὑπὸ τοῦ τότε ναυάρχου Καλουϊσίου· τὴν δὲ ναυαρχίαν Ἀγρίππου μεταλαβόντος, ἐπανελεύσεσθαι πρὸς Καίσαρα οὐδὲν ἀδικοῦντα, εἰ πίστιν αὐτῷ κομίσειεν ὁ Μίνδιος παρὰ Μεσσάλα, τοῦ τὴν ἀποδημίαν Ἀγρίππα διοικοῦντος. ἔφη δ', ἐπανελθὼν μὲν, ἰάσεσθαι λαμπροῖς τὸ ἁμάρτημα ἔργοις· μέχρι δὲ τῶν πίστεων, λυμανεῖσθαί τινα τῶν Καίσαρος ὁμοίως, ἐς τὸ ἀνύποπτον. Καὶ ὁ μὲν αὖθις ἐλυμαίνετο. Μεσσάλας δ' ἐνεδοίαστο μὲν, ὡς ἐπὶ αἰσχρῷ· ἐνέδωκε δ' ὅμως, εἴτε πολέμου ταῦτ' εἶναι νομίζων ἀνάγκας, εἴτε καὶ τῆς Καίσαρος γνώμης τι προμαθὼν ἢ τεκμηράμενος. Καὶ Μηνόδωρος μὲν αὖθις ηὐτομόλει, καὶ τὸν Καίσαρα ἐλθόντα προσπίπτων, ἠξίου συγγνῶναι μὴ λέγοντι τὰς αἰτίας τῆς φυγῆς. ὁ δὲ ἐς μὲν σωτηρίαν αὐτῷ συνεγίνωσκε διὰ τὰς σπονδὰς, καὶ ἀφανῶς ἐφυλάσ- A. U. 718.

Lin. 30 *ſq.* ἔφη δὲ παρελθὼν *Edd. Rectius Aug.* *L.* 31. ἰάσασθαι *Edd. Prætuli Aug.* *L.* 40 *ſq. Malim* ἐφύλασσε αὐτὸν, *quod & Muſgravio video placuiſſe.*

inſula ſibi permitti colloquium de rebus utrique parti profuturis. Quo impetrato colloquio, ſemotis arbitris, ait: „ſe prius ad Pompejum refugiſſe, coactum injuriis illatis ſibi a Calviſio, claſſis præfecto: nunc præfectura in Agrippam translata, rediturum ad Cæſarem, non male de ſe meritum; modo Mindius fidem ſibi adferret a *Meſſala*, *Agrippæ abſentis vicario*." Promiſitque „ſe poſt reditum reſarturum peccatum ſuum egregiis facinoribus: ſed uſque dum fidem accepiſſet, infeſtaturum etiam nunc Cæſarianos ut antea, ob cavendam ſuſpicionem." Digreſſus deinde, infeſtus fuit more ſolito. *Meſſala vero* dubitavit aliquantiſper, ut de re parum honeſta: tandem conceſſit tamen, ſive has belli neceſſitates exiſtimans, ſive de Cæſaris mente præmonitus conjecturamve faciens. Sic *Menodorus rurſus transfugit*, accidenſque *ad genua Cæſaris* oravit, ut veniam ſibi daret, nec fugæ cauſas requireret. Ille, propter datam fidem, incolumitatem ei donavit: ſed occulte obſervari hominem juſſit; triremium vero

A. U. 718. σετο· τοὺς δὲ τριηράρχους αὐτοῦ μεθίει χωροῦντας ὅποι θέλοιεν.

CIII. Ἑτοίμου δὲ τοῦ στόλου γενομένου, αὖθις ὁ Καῖσαρ ἀνήγετο, καὶ ἐς Ἱππώνειον παραπλεύσας, δύο τέλη μὲν πεζῶν Μεσσάλαν ἔχοντα περᾷν ἐκέλευσεν ἐς Σικελίαν ἐπὶ τὸ Λεπίδου στρατόπεδον, καὶ σταθμεύειν ἐς τὸν κόλπον διελθόντα τὸν εὐθὺ Ταυρομενίου· τρία δὲ ἔπεμπεν ἐπὶ Στυλίδα καὶ πορθμὸν ἄκρον, ἐφεδρεύειν τοῖς ἐσομένοις· Ταῦρον δὲ ἐς τὸ Σκυλάκιον ὄρος, ὃ πέραν ἐστὶ Ταυρομενίου, περιπλεῖν ἐκ Τάραντος ἐκέλευε. Καὶ ὁ μὲν περιέπλει, διεσκευασμένος ἐς μάχην ὁμοῦ καὶ εἰρεσίαν· καὶ τὰ πεζὰ αὐτῷ παρωμάρτει, προερευνώντων τήν τε γῆν ἱππέων, καὶ λιβυρνίδων τὴν θάλασσαν. Καὶ ὁ Καῖσαρ ὧδε ἔχοντι, ἐξ Ἱππωνείου ἐπιδραμὼν, ἐπιφαίνεται κατὰ τὸ Σκυλάκιον, καὶ τὴν εὐταξίαν ἀποδεξάμενος, ἐπανῆλθεν ἐς τὸ Ἱππώνειον. Ὁ δὲ Πομπήιος, ὡς μοι προείρηται, τάς τε ἐς τὴν νῆσον ἀποβάσεις ἐφυ-

Lin. 41. τοὺς μὲν τριηρ. *Edd. ex Reg. B.* δὲ *recte ded. Reg. A. Aug. L.* 47. Ταυρομενείου *Edd. Prætuli Aug. & sic mox iterum iterumque. L.* 48. στιλίδα *Aug.* στυλίδια *Reg. B. mend. utrumque.*

ejus præfectos, quocumque vellent, abire permisit.

103. Parata deinde classe, *Cæsar* solvit iterum: adpulsusque Vibonem, *Messalam* duas legiones transjicere in Siciliam jussit, quæ cum *Lepidi* exercitu conjunctæ transirent in sinum qui *prope Tauromenium* est, ibique stationem agerent. Tres vero alias legiones ad *Columnam Rheginam* misit in extremum fretum, occasionem exspectaturas. *Taurum ad Scylacium montem*, qui est ex adverso Tauromenii, e Tarento circumnavigare jussit. Id ille fecit, paratus cum ad remigationem tum ad prælium, prosequentibus terrestri itinere copiis pedestribus, & præmissis equitibus, qui terram, liburnicisque, quæ mare, explorarent. Ad eum sic iter facientem *Cæsar* Vibone adcurrit, & prope Scylacium eum offendit: adprobatoque ordine, Vibonem rediit. At *Pompeius*, ut diximus, dispositis circa loca omnia ad exscendendum in insulam op-

λασσεν ἁπάσας, καὶ τὰς ναῦς ἐν Μεσσήνῃ συνεῖχεν, ὡς βοηθήσων ὅποι δεήσειε. *A. U. 718.*

CIV. Καὶ οἱ μὲν ἐν τούτῳ παρασκευῆς ἦσαν. Λεπίδῳ δ' αὖθις ἐκ Λιβύης ἦγον αἱ ὁλκάδες τὰ λοιπὰ τοῦ στρατοῦ τέλη τέσσαρα· καὶ αὐταῖς ὑπήντα πελάγιος ἐκ Πομπηίου Παπίας, καὶ διέφθειρεν ὡς φιλίους δεχομένας· ᾤοντο γὰρ σφίσι τὰς Λεπίδου συναντᾷν. αἱ δὲ βραδέως τε ὑπὸ τοῦ Λεπίδου καθείλκοντο, καὶ ὕστερον αὐτὰς προσιούσας αἱ ὁλκάδες ὡς καὶ τάσδε ἄλλας πολεμίας ἐξέκλιναν· ἕως αἱ μὲν ἐκαύθησαν, αἱ δ' ἐλήφθησαν, αἱ δ' ἀνετράπησαν, αἱ δ' ἐς Λιβύην ἀνέπλευσαν. τοῦ δὲ στρατοῦ δύο μὲν τέλη διώλετο ἐν τῇ θαλάσσῃ, καὶ εἴ τινες αὐτῶν ἐξενήξαντο, καὶ τούσδε Τισιηνὸς, ὁ τοῦ Πομπηίου στρατηγὸς, ἀνιόντας ἐπὶ τὴν γῆν διέφθειρεν· οἱ δὲ λοιποὶ πρὸς Λέπιδον κατήχθησαν, οἱ μὲν αὐτίκα, οἱ δ' ὕστερον. καὶ Παπίας ἀπέπλευσε πρὸς Πομπήιον.

CV. Ὁ δὲ Καῖσαρ ἐς μὲν Στρογγύλην, ἣ τῶν πέντε

Lin. 58. *Rursus* Μεσσήνῃ *Aug.* *L.* 66. προσιούσας, αἱ ὁλκάδες *Edd.* αἱ (*sic*) ὁλκάδας *Reg. A.* *Recte Aug. Reg. B.* *Ibid.* καὶ τὰς ἄλλας *Reg. A.* *L.* 70. Τισιηνὸς *h. l. Edd.* Τισιηνὸς *MSS. & Cand.*

portunæ præsidiis, classem Messanæ continebat, succursurus quocumque opus foret.

104. Dum ea sic utrimque parantur, *Lepido* rursus ex Africa reliquæ quatuor legiones transportabantur onerariis. Quibus in alto factus obviam *Pompejanus dux Papias*, easdem oppressit, quum tamquam amicus ab illis fuisset exceptus; putaverant enim, a Lepido missas naves sibi occurrere. Sed tardius suas deduxerat *Lepidus*: quas ipsas deinde advenientes declinarunt *onerariæ*, quod hostiles has quoque crederent. Ita ex onerariis illis aliæ *captæ* sunt, aliæ *crematæ submersæve*; nonnullæ in Africam reversæ sunt. Ex legionibus duæ perierunt in mari, & si qui militum enatarunt, eos *Tisienus Pompeji legatus* terram prensantes confecit: reliquus exercitus ad Lepidum delatus est, vel tunc, vel postea. Tum vero Papias ad Pompejum abnavigavit.

105. *Cæsar, in Strongylen,* unam e quinque insulis Aeo-

A. U. 718. νήσων ἐστὶ τῶν Αἰόλου, παντὶ τῷ στόλῳ διέπλευσεν ἐξ Ἱππωνείου, προεξερευνωμένης αὐτῷ τῆς θαλάσσης. στρατὸν δὲ ἐπὶ μετώπου τῆς Σικελίας πλέονα ἰδὼν ἔν τε Πελωριάδι καὶ Μύλαις καὶ Τυνδαρίδι, εἴκασεν αὐτὸν παρεῖναι Πομπήιον· καὶ τὰ μὲν ἐνθάδε Ἀγρίππᾳ διαστρατηγεῖν ἐπέτρεψεν, αὐτὸς δὲ ἐς τὸ Ἱππώνειον αὖθις ἀπέπλει, καὶ ἐς τὸ τοῦ Ταύρου στρατόπεδον ἐξ Ἱππωνείου σὺν τρισὶ τέλεσι μετὰ Μεσσάλα διετρόχαζεν, ὡς Ταυρομένιον αἱρήσων ἀπόντος ἔτι τοῦ Πομπηίου, καὶ τὰς ἐμβολὰς αὐτῷ διχόθεν παρέξων. Ἀγρίππας μὲν οὖν ἀπὸ Στρογγύλης εἰς Ἱερὰν διέπλει, καί, τῶν Πομπηίου φρουρῶν αὐτὸν οὐχ ὑποστάντων, εἷλε τὴν Ἱεράν, καὶ τῆς ἐπιούσης ἔμελλεν ἐπιχειρήσειν ἐς Μύλας Δημοχάρει τῷ Πομπηίου, τεσσαράκοντα ναῦς ἔχοντι. Ὁ δὲ Πομπήιος τὸ βίαιον ὑφορώμενος τοῦ Ἀγρίππα, ἔπεμπε τῷ Δημοχάρει ναῦς ἄλλας πέντε καὶ τεσσαράκοντα ἀπὸ Μεσσήνης, ἐξελεύθερον ἄγοντα Ἀπολλοφάνη, καὶ αὐτὸς ἐφείπετο ἄλλαις ἑβδομήκοντα. CVI. Ἀγρίππας

Lin. 75. νηττῶν *Edd. cum Regiis, mend.* *L.* 78. Μυλαῖς *h. l. Regii & Aug. male.* *Ibid.* Τυνδαρίδι *edit.* 2. 3. *oper. errore.* *L.* 80 *sq.* ἐπέπλει *Edd. Reccius Aug. Reg. B.* *L.* 87. ἔμαλλεν *ed.* 3. *oper. err.* *Ibid.* Μυλὰς *h. l. Reg. B. Aug.*

liis, Vibone *cum tota classe trajecit.* Quumque præmissis per mare exploratoriis liburnicis cognovisset, frontem Siciliæ multis copiis circa Pelorum & Mylis & Tyndaride præsideri, conjectavit ipsum adesse Pompejum. Itaque relicto ibi *Agrippa*, qui rebus gerendis præesset, ipse Vibonem reversus, mox inde in castra Tauri transcurrit cum Messala & tribus legionibus; cogitans Tauromenium præripere per Pompeji absentiam, eumque adeo a duobus lateribus adgredi. *Agrippa* igitur a Strongyle Hieram trajecit, eamque cepit, pulsis Pompeji præsidiariis; sequenti die *Mylas* tentaturus, & *Democharem* invasurus, qui stationem ibi cum triginta Pompeji navibus habebat. Pompejus, timens Agrippæ ferociam, alias quadraginta quinque naves a Messana misit Demochari, duce liberto *Apollophane*, quem ipse cum aliis septuaginta sequutus est.

106. *Agrippa*

CVI. Ἀγρίππας δ' ἔτι νυκτὸς ἐξ Ἱερᾶς ἀνήγετο ταῖς ἡμίσεσι τῶν νεῶν, ὡς Παπίᾳ μόνῳ ναυμαχήσων. ἐπεὶ δὲ καὶ τὰς Ἀπολλοφάνους εἶδε, καὶ τὰς ἑβδομήκοντα ἑτέρωθι· Καίσαρι μὲν αὐτίκα ἐδήλου Πομπήιον ἐπὶ τῶν Μυλῶν εἶναι σὺν τῷ πλέονι ναυτικῷ, τὰς δὲ βαρείας αὐτὸς ἦγε κατὰ μέσον, καὶ τὸν ἄλλον στόλον ἐξ Ἱερᾶς ἐκάλει κατὰ σπουδήν. Ἐσκεύαστο δ' ἀμφοτέροις πάντα λαμπρῶς, καὶ πύργους ἐπὶ τῶν νεῶν εἶχον κατά τε πρῷραν καὶ κατὰ πρύμναν. Ὡς δὲ αὐτοῖς αἵ τε παρακελεύσεις, οἵας εἰκὸς ἦν, ἐγεγένηντο, καὶ τὰ σημεῖα κατὰ ναῦς ἦρτο, ἐξώρμων ἐπ' ἀλλήλους, οἱ μὲν κατὰ μέτωπον, οἱ δ' ἐς περικύκλωσιν· σύν τε βοῇ καὶ ῥοθίῳ νεῶν καὶ καταπλήξει ποικίλῃ. ἦν δὲ καὶ τὰ σκάφη Πομπηΐῳ μὲν βραχύτερα καὶ κοῦφα καὶ ὀξέα ἐς τὰς ἐφορμήσεις τε καὶ περίπλους· Καίσαρι δὲ μείζω καὶ βαρύτερα, καὶ παρ' αὐτὸ καὶ βραδύτερα, βιαιότερα δὲ ὅμως ἐμπεσεῖν, καὶ τρωθῆναι δυσπαθέστερα. τῶν τε *A. U. 718.*

Lin 94. Mire h. l. & in reliqua hujus pugnæ historia Papias *pro* Demochare *memoratur : nisi forte diversa ejusdem hominis nomina fuerunt.* *L. 96 sq.* ἐπὶ τῶν μυχῶν *Regii, Aug.* *L. 3 sq.* κατὰ ναῦν *Ven.* κατὰ ναῦ ἦν τὸ *Aug.* (*sic, pro* ναῦς ἦρτο.)

106. *Agrippa* ante lucem ex Hiera solvit cum dimidia parte navium, quasi cum solo *Papia* [*Demochare* ?] pugnaturus. Ubi vero & *Apollophanis* classem vidit, & illam aliam septuaginta navium; continuo significavit Cæsari, *Pompejum cum majore classis parte esse ad Mylas*; ipseque cum gravibus navibus medium agmen tenuit, & reliquam classem celeriter ex Hiera advocavit. Erat autem utrimque adparatus magnificus, impositis a prora puppique turribus. Ut vero, post solitam cohortationem, signum per singulas naves elatum est, *committitur prælium*: & alteri in frontem faciebant impetum; alteri circumvenire hostem tendebant, magno cum virorum tum navium strepitu, terroreque multiplici. Erant autem *naves Pompeji minores*, leves, & ad incursandum circumveniendumque hostem agiles: *Cæsaris* vero *majores* gravioresque, & ob id ipsum tardiores; sed ad ictus cum inferendos validiores, tum sustinendos firmiores. Milites

A. U. 718. ἀνδρῶν, οἱ μὲν, ναυτικώτεροι τῶν Καίσαρος ἦσαν· οἱ δὲ, σθεναρώτεροι. καὶ κατὰ λόγον οἱ μὲν οὐκ ἐμβολαῖς, ἀλλὰ μόναις περιόδοις, ἐπλεονέκτουν, καὶ ταρσοὺς τῶν μειζόνων ἢ πηδάλια ἀνέκλων, ἢ κώπας ἀνέκοπτον, ἢ ἀπεχώριζον ὅλως τὰ σκάφη, καὶ ἔβλαπτον ἐμβολῆς οὐχ ἧσσονα· οἱ δὲ τοῦ Καίσαρος αὐταῖς ἐμβολαῖς ὡς βραχυτέρας ἀνέκοπτον ἢ κατέσειον ἢ διερρήγνυον, καὶ, ὅτε συμπλακεῖεν, ἔβαλλόν τε ὡς ταπεινοτέρας ἀφ᾽ ὑψηλοῦ, καὶ κόρακας ἢ χεῖρας σιδηρᾶς εὐκολώτερον ἐπερρίπτουν. οἱ δὲ, ὅτε βιασθεῖεν, ἐξήλλοντο ἐς τὸ πέλαγος· καὶ τούσδε μὲν τὰ ὑπηρετικὰ τοῦ Πομπηίου περιπλέοντα ἀνελάμβανεν.

CVII. Ὁ δὲ Ἀγρίππας ἵετο μάλιστα εὐθὺ τοῦ Παπίου, καὶ αὐτῷ κατὰ τὴν ἐπωτίδα ἐμπεσὼν, κατέσεισε τὴν ναῦν, καὶ ἐς τὰ κοῖλα ἀνέρρηξεν· ἡ δὲ τούς τε

Lin. 12. ἀσθεναρώτεροι *Reg. B. Ibid* σθεναρώτεροι κατὰ λόγον· οἱ μὲν *Edd. Prætuli Aug. L.* 14. *Pro* πηδάλια *dant mend.* πήδημα *Edd. Verum ded. Aug. Ven. Ibid.* ἀνέλκων *Reg. A. mend. L.* 15. ἀπεχώρουν *Edd.* ἀπεχώριζον *dedit Aug.* retrahebant *Cand. L.* 16. αὐτὰς ἐμβολαῖς *Aug. L.* 17 *ſq.* καὶ, *ante* ὅτε, *abeſt ab Edd. & MSS. Adjeci ex Cand. L.* 19. σιδηρὰς *Edd. Mutavi accentum cum Reg. B. Aug. Ibid.* εὐκωλότερον *mend. Edd. Recte Aug. L.* 23. ἴετο *Edd. cum Regiis, ut ſæpius aliàs. Rectius Aug.*

vero hinc robore præſtabant; illinc rei navalis peritia. Proinde *Pompejani* non concurrendo, ſed circumcurſando, ſuperabant; ac majorum navium jam palmas vel gubernacula refringebant, jam remos plane detergebant, aut etiam omnino ſeparabant navigia, nec minus detrimenti illis, quam ſi roſtris percuſſiſſent, adferebant. At *Cæſariani* ipſis roſtrorum ictibus hoſtiles naves, utpote minores, inhibebant, aut quaſſabant, aut diffringebant; &, quoties colluctabantur cominus, miſſilibus e ſuperiori loco humiliores obruebant, injectiſque corvis aut ferreis manibus retinebant eas facilius. Quorum impetum quoties non ferebant amplius illi, in pelagus exſiliebant, & a ſcaphis Pompejanorum, in hoc ipſum diſcurſantibus, recolligebantur.

107. *Agrippa* autem *in Papiæ navim* maxime impetum direxit: ictamque ſub prora, & concuſſam perfregit ad carinam uſque; ut & qui

A. U. 718.

ἐν τοῖς πύργοις ἀπεσείσατο, καὶ τὴν θάλασσαν ἀθρόως ἐδέχετο, καὶ τῶν ἐρετῶν οἱ μὲν θαλαμίαι πάντες ἀπελήφθησαν, οἱ δ' ἕτεροι τὸ κατάστρωμα ἀναρρήξαντες, ἐξενήχοντο. Παπίας δὲ ἐς τὴν παρορμοῦσαν ἀναληφθεὶς, αὖθις ἐπῄει τοῖς πολεμίοις. Καὶ ὁ Πομπήϊος, ἐξ ὄρους ἐφορῶν τὰς μὲν ἰδίας μικρὰ ἐπωφελούσας, καὶ ψιλουμένας τῶν ἐπιβατῶν ὅτε συμπλακεῖεν, Ἀγρίππα δὲ τὸν ἕτερον στόλον ἐξ Ἱερᾶς προσπλέοντα, ἀναχωρεῖν ἐσήμηνε σὺν κόσμῳ· καὶ ἀνεχώρουν ἐπιόντες τε καὶ ἀναστρέφοντες ἀεὶ κατ' ὀλίγον. Ἀγρίππα δ' ἐπιβαρήσαντος αὐτοῖς, ἔφευγον, οὐκ ἐς τοὺς αἰγιαλοὺς, ἀλλ' ὅσα τῆς θαλάσσης οἱ ποταμοὶ τεναγώδη πεποιήκεσαν.

CVIII. Καὶ Ἀγρίππας, κωλυόντων αὐτὸν τῶν κυβερνητῶν μεγάλαις ναυσὶν ἐς ὀλίγον ὕδωρ ἐπιπλεῖν, πελάγιος ἐπ' ἀγκυρῶν ἐσάλευεν, ὡς ἐφορμιούμενος τοῖς πολεμίοις, καὶ νυκτομαχήσων εἰ δέοι. τῶν φίλων δ'

Lin. 27. θαλαμῖται *Edd. invitis MSStis & Cand.* *L.* 31. ἀφορῶν *Edd. Prætuli Aug.* *L.* 32 *sq.* τὸν ἱερὸν στόλον *mend. Edd. Adjectivum plane omisit Cand. Verum dedit Aug.*

in ejus turribus ad propugnandum constiterant, excuterentur, & mare, copiose in navem admissum, remigum infimum ordinem totum obrueret, reliqui perfracta contabulatione natando evaderent. *Papias*, in proximam navim receptus, rursus in prælium rediit. Tum *Pompejus*, e monte conspicatus suas parum proficere, &, quoties cominus res gereretur, socios navales amittere, *Agrippæ* vero jam reliquam partem classis ex Hiera succurrere, signum suis dedit, ut servatis ordinibus se reciperent. Idque illi fecerunt; & simul pugnando etiam tum, simul paulatim recedendo, subduxerunt se e prælio. Agrippa vero acrius instante, refugerunt, non ad proxima quæque littora, sed qua limo fluviis illato mollitum erat solum.

108. Tum *Agrippa*, a gubernatoribus vetitus ne magnas naves locis vadosis committeret, in alto jactis ancoris constitit, imminens hostibus; & noctu quoque, si opus esset, prælium redintegraturus. Monentibus autem ami-

A. U. 718. αὐτῷ παραινούντων, μὴ ἀλόγῳ θυμῷ συμφέρεσθαι, μηδὲ τὸν στρατὸν ἐκτρύχειν ἀγρυπνίᾳ καὶ πόνῳ, μηδὲ πιστεύειν πολυχειμῶνι θαλάσσῃ, μόλις ἑσπέρας ἀνεζεύγνυε. Καὶ οἱ Πομπηϊανοὶ ἐς τοὺς λιμένας παρέπλεον, τριάκοντα μὲν τῶν σφετέρων νεῶν ἀποβαλόντες, πέντε δὲ καταδύσαντες τῶν πολεμίων, καὶ βλάψαντες ἄλλα ἱκανά, καὶ βλαβέντες ὅμοια. Καὶ αὐτοὺς ὁ Πομπήϊος ἐπαινῶν, ὅτι τηλικαύταις ναυσὶν ἀντέσχον, τειχομαχῆσαι μᾶλλον ἔφασκεν ἢ ναυμαχῆσαι, καὶ ὡς νενικηκότας ἐδωρεῖτο· καὶ ἐπήλπιζεν, ἐν τῷ πορθμῷ διὰ τὸν ῥοῦν, κουφοτέρους ὄντας, περιέσεσθαι, καὶ αὐτὸς ἔφη τι προσθήσειν ἐς τὸ τῶν νεῶν ὕψος. Τοῦτο μὲν δὴ τῆς ναυμαχίας τέλος ἦν τῆς περὶ Μύλας Ἀγρίππα καὶ Παπίᾳ γενομένης.

CIX. Τὸν δὲ Καίσαρα ὁ Πομπήϊος, ὥσπερ ἦν, ὑπολαβὼν ἐς τὸ Ταύρου στρατόπεδον οἴχεσθαι, καὶ ἐπιχειρήσειν τῷ Ταυρομενίῳ, μετὰ δεῖπνον εὐθὺς ἐς Μεσσήνην περιέπλει, μέρος ἐν ταῖς Μύλαις ὑπολιπών, ἵνα αὐτὸν

Lin. 42. θυμῷ συνεισφέρεσθαι *Edd. Prætuli Aug. L.* 44. πολὺ ἀχείμονι *Edd. Recte rursus Aug. L.* 58. Ταυρομενείῳ *h. l. Aug. cum Edd. & Regiis: & sic sæpius deinceps per diphthongum* ει.

cis, ne iram magis quam rationem sequeretur, nec militem nimis divexaret vigiliis ac laboribus, neve mari crederet frequentibus tempestatibus obnoxio, vix sero se retro recepit. Tum Pompejani portus suos petierunt, amissis triginta navibus, submersis quinque hostilibus, aliisque multis acceptis pariter ac illatis incommodis. Quos *Pompejus* collaudans, quod tam magnis restitissent navibus, sibi, ait, hanc non tam navalem pugnam visam quam oppugnationem mœnium: nec aliter quam victores donavit; spem faciens, in freto propter fluxum classem suam, ut leviorem, ita superiorem fore; promittensque, additurum se etiam aliquantum ad suarum navium altitudinem. Hic *eventus* fuit *Navalis circa Mylas Pugnæ inter Agrippam et Papiam* [f. *Democharem.*]

109. At *Pompejus*, ratus, id quod erat, Cæsarem in Tauri castra profectum, Tauromeniumque invasurum; mox a cœna *Messanam revectus* est, Mylis relicta parte navi-

ὁ Ἀγρίππας ἔτι παρεῖναι νομίζοι. Ἀγρίππας μὲν δὴ διαναπαύσας τὸν στρατὸν ἐς ὅσον ἤπειγεν, ἐς Τυνδαρίδα ἐνδιδομένην ἔπλει· καὶ παρῆλθεν μὲν εἴσω, μαχομένων δὲ λαμπρῶς τῶν φρουρῶν, ἐξεώσθη. προσεχώρησαν δ' ἕτεραι πόλεις αὐτῷ, καὶ φρουρὰς ἐδέξαντο· καὶ αὐτὸς ἐπανῆλθεν ἐς ἑσπέραν. Ὁ δὲ Καῖσαρ ἤδη μὲν ἐς Λευκόπετραν ἐκ τοῦ Σκυλακίου διεπεπλεύκει, μαθὼν ἔτι ἀκριβέστερον ὅτι ὁ Πομπήϊος ἐκ Μεσσήνης ἐς Μύλας οἴχοιτο δι' Ἀγρίππαν· ἐκ δὲ Λευκοπέτρας ἔμελλε νυκτὸς περᾶν ὑπὲρ τὸν πορθμὸν ἐς τὸ Ταυρομένιον. πυθόμενος δὲ περὶ τῆς ναυμαχίας, μετέγνω, μὴ κλέπτειν ἔτι τὸν διάπλουν νενικηκὼς, ἀλλὰ κατὰ φῶς θαῤῥοῦντι τῷ στρατῷ περαιοῦσθαι· καὶ γὰρ ἔτι πάντως ἡγεῖτο Πομπήϊον Ἀγρίππᾳ παραμένειν. Κατασκεψάμενος γοῦν ἡμέρας τὸ πέλαγος ἐκ τῶν ὀρῶν, ἐπεὶ καθαρὸν ἔγνω πολεμίων, ἔπλει στρατὸν ἔχων ὅσον αἱ νῆες ἐδέχοντο, Μεσσάλαν ἐπὶ τοῦ λοιποῦ καταλιπὼν, ἕως ἐπ' αὐτὸν αἱ νῆες ἐπανέλθοιεν. Ἐλθὼν δ' ἐπὶ τὸ Ταυρομένιον, προσέ-

A. U. 718.

Lin. 67 sq. [illegible] *mend. Aug.* *L. 77.* [illegible] *mend. Edd. & MSSti nostri. Correxi cum Musgravio. Recte Cand.* rediissent.

um, ut Agrippa ipsum ibi etiamnum adesse putaret. *Agrippa*, milite refecto pro tempore, navigavit *Tyndaridem*, dedentem se: ubi receptus ab oppidanis, rursus a præsidiariis, strenue repugnantibus, ejectus est. Sed aliis tamen oppidis, pariter ad Agrippam deficientibus, recepta sunt ejus præsidia: & ipse vespere ad stationem suam rediit. Interea *Cæsar* Scylacio Leucopetram fuerat devectus, certior factus Pompejum Messana Mylas profectum propter Agrippam: quumque statuisset e Leucopetra noctu trajicere *Tauromenium*, postquam audivit de navali prælio, mutavit sententiam; honestius victori existimans, non clam, sed clara luce, navigare cum fiducia. Persuasum enim plane adhuc habebat, prope Agrippam etiamnum versari *Pompejum*. Quumque exorta die prospexisset in altum e montibus, nusquam adparente hoste, navigavit, imposito quantum classis capiebat milite; reliquis *Messalæ* commissis, donec ad eum naves redirent. *Tauromenium* vero delatus,

A. U. 718.

πέμψε μὲν, ὡς ὑπαξόμενος αὐτό. οὐ δεξαμένων δὲ τῶν φρουρῶν, παρέπλει τὸν ποταμὸν τὸν Ονοβάλαν, καὶ τὸ ἱερὸν τὸ Αφροδίσιον, καὶ ὡρμίσατο ἐς τὸν Αρχηγέτην, Ναξίων τὸν θεὸν, ὡς χάρακα θησόμενος ἐνταῦθα, καὶ ἀποπειράσων τοῦ Ταυρομενίου. Ὁ δε Αρχηγέτης Απόλλωνος ἀγαλμάτιόν ἐστιν, ὃ πρῶτον ἐστήσαντο Ναξίων οἱ εἰς Σικελίαν ἀπῳκισμένοι.

CX. Ενταῦθα τῆς νεὼς ἐκβαίνων ὁ Καῖσαρ, ὤλισθε καὶ ἔπεσε, καὶ ἀνέδραμε δι᾽ αὐτοῦ. καὶ αὐτῷ, καθισταμένῳ ἔτι τὸ στρατόπεδον, Πομπήϊος ἐπέπλει στόλῳ πολλῷ, θαῦμα ἀδόκητον· ᾤετο γὰρ αὐτὸν ἐκπεπολεμῆσθαι πρὸς Αγρίππα. παρήλαυνε δὲ τῷ Πομπηΐῳ καὶ ἵππος, ἐς τάχος διερίζουσα τῷ ναυτικῷ· καὶ τὰ πεζὰ ἑτέρωθεν ἐφαίνετο, ὥστε δεῖσαι μὲν ἅπαντας, ἐν μέσῳ τριῶν στρατῶν πολεμίων γεγομένους, δεῖσαι δὲ τὸν Καίσαρα, Μεσσάλαν οὐκ ἔχοντα μεταπέμψασθαι. Οἱ

Lin. 78. ὡς ὁ ὑπαξόμ. *Edd. ex Reg. B. Delevi articulum cum Reg. A. & Aug. L. 81.* ἀξιῶν τὸν θεὸν *Edd. MSS. & Cand.* Ναξίων *posui, monente Musgravio, qui* τὸν Ναξίων θεὸν *maluerat. Si plane abessent tria illa verba, nullo modo desiderarentur. L. 88 sq.* ἐκπεπολεμεῖσθαι *Edd. mend. ex Reg. B.* ἐκπεπολεμῶσθαι *Reg. A. Recte Aug.*

misit ad urbem, qui deditionem poscerent: & quum præsidiarii eum non admitterent, præternavigato flumine *Onobala* & fano Veneris, ad *Archegetam*, *Naxiorum* deum, adpulit, castra ibi positurus, & inde adgressurus *Tauromenium*. Est autem *Archegeta* Apollinis parva statua, quam olim dedicaverant Naxii coloni, missi in Siciliam.

110. Ibi e navi exscendens *Cæsar*, fallente vestigio, prolapsus est: protinus tamen per se ipse erectus stetit. Tum castra postquam metari instituit, dum adhuc in eo est, *supervenit magna cum classe Pompejus*, eo magis mirante Cæsare nec opinum ejus adventum, quod ab Agrippa jam devictum non dubitaverat. *Simul* per oram *equitatus* irruebat *hostium*, celeritate contendens cum navibus: *et* diversa parte *pedestres copiæ* sunt conspectæ. Itaque omnes sunt exterriti, circumventos se a tribus exercitibus videntes: nec minus territus est *Cæsar*, quod Messalam jam

μὲν οὖν ἱππεῖς εὐθὺς ἠνώχλουν οἱ Πομπηΐου χαρακοποιουμένους ἔτι τοὺς τοῦ Καίσαρος. εἰ δὲ ἐπὶ τοῖς ἱππεῦσιν οἱ πεζοὶ καὶ τὸ ναυτικὸν ἐξώρμησε, τάχα ἄν τι μεῖζον ἐξήνυστο τῷ Πομπηΐῳ. Νῦν δὲ, ἀπειρίως τε πολέμου, καὶ ὑπ' ἀγνοίας τοῦ θορύβου τῶν Καίσαρος, καὶ ὄκνου μὴ μάχης περὶ δείλην ἑσπέραν ἄρχειν, οἱ μὲν αὐτῶν ἐς Κόκκυνον ἄκραν ὡρμίσαντο, οἱ πεζοὶ δ' οὐκ ἀξιοῦντες ἀγχοῦ τῶν πολεμίων στρατοπεδεύειν, ἐς Φοίνικα πόλιν ἀνεχώρουν. καὶ νυκτὸς οἱ μὲν ἀνεπαύοντο, οἱ δὲ τοῦ Καίσαρος τὸν μὲν χάρακα ἐτέλουν, ὑπὸ δὲ κόπου καὶ ἀγρυπνίας ἐς τὴν μάχην ἐβλάπτοντο. Τέλη δ' ἦν αὐτῷ τρία, καὶ ἱππεῖς χωρὶς ἵππων πεντακόσιοι, καὶ κοῦφοι χίλιοι, καὶ κληροῦχοι σύμμαχοι χωρὶς καταλόγου δισχίλιοι, καὶ ναυτικὴ δύναμις ἐπὶ τούτοις. A. U. 718.

CXI. Τὰ μὲν οὖν πεζὰ πάντα Κορνιφικίῳ παραδοὺς ὁ Καῖσαρ, ἐκέλευσε, τοὺς κατὰ τὴν γῆν πολεμίους ἀπομάχεσθαι, καὶ πράσσειν ὅ τι ἐπείγοι. αὐτὸς δὲ ταῖς ναυσὶν ἔτι πρὸ ἡμέρας ἀνήγετο ἐς τὸ πέλαγος, μὴ καὶ

Lin. 99. ἐπὶ δείλην *Edd. male invitis MSStis.* *L.* 10. τοὺς κατὰ γῆν *Edd.* τὴν *adjeci ex Aug.*

non posset arcessere. Equitatus igitur protinus Cæsarianos, in castris muniendis adhuc occupatos, infestavit. Quodsique classiarii quoque & pedites pariter fecissent impetum, fortassis majorem rem confecisset *Pompejus*. Nunc per imperitiam rei militaris, & ignorantiam trepidationis hostium, veriti sub vesperam inire prælium, alteri ad *Coccynum promontorium* in stationem secesserunt: pedites vero, nolentes probe hostem castra metari, ad *Phœnicem* oppidum se receperunt. Nocte sequenti hi quieverunt; *Cæsariani* vallum quidem absolverunt, sed propter laborem & vigiliam ad pugnandum inutiliores sunt redditi. Erant autem legiones tres, equites sine equis quingenti, velites mille, coloni auxiliares voluntarii MM. insuperque navales socii.

III. Tradito igitur peditatu *Cornificio*, ut in terra quantum posset repugnaret hostibus, *Cæsar* ante lucem in altum provectus est, ne &

A. U. 718.

τοῦδε αὐτὸν ἀποκλείσαιεν οἱ πολέμιοι· καὶ τὸ μὲν δεξιὸν ἐπέτρεπε Τιτινίῳ, τὸ δὲ λαιὸν Καρκίῳ, λιβυρνίδος δὲ αὐτὸς ἐπέβαινε, καὶ περιέπλει πάντας παρακαλῶν· ἐπὶ δὲ τῇ παρακλήσει τὰ στρατηγικὰ σημεῖα, ὡς ἐν κινδύνῳ μάλιστα ὤν, ἀπέθετο. Ἐπαναχθέντος δὲ τοῦ Πομπηίου, δὶς μὲν ἐπεχείρησαν ἀλλήλοις, καὶ τὸ ἔργον ἐς νύκτα ἐτελεύτησεν. ἁλισκομένων δὲ καὶ πιμπραμένων τῶν Καίσαρος νεῶν, αἱ μὲν, ἀράμεναι τὰ βραχέα τῶν ἱστίων, ἀπέπλεον ἐς τὴν Ἰταλίαν, τῶν παραγγελμάτων καταφρονοῦσαι· καὶ αὐτὰς ἐπ᾽ ὀλίγον οἱ τοῦ Πομπηίου διώξαντες, ἐπὶ τὰς ὑπολοίπους ἀνέστρεψαν, καὶ τῶνδε τὰς μὲν ᾕρουν ὁμοίως, τὰς δὲ ἐνεπίμπρασαν. ὅσοι δ᾽ ἐξ αὐτῶν ἐς τὴν γῆν ἐξενήχοντο, τοὺς μὲν οἱ ἱππεῖς οἱ τοῦ Πομπηίου διέφθειρον ἢ συνελάμβανεν, οἱ δ᾽ ἐς τὸ τοῦ Κορνιφικίου στρατόπεδον ἀνεπήδων· καὶ αὐτοῖς ὁ Κορνιφίκιος ἐπιθέουσιν ἐπεχείρει, τοὺς κούφους ἐκπέμπων

Lin. 14. Carcino *Cand.* *L.* 19. πιπραμένων *Reg. B.* *Ibid. Post* πιπραμένων *excidisse nomen numerale monuit Musgravius. Fortasse pro* τῶν *legendum* τινῶν, *aut* πολλῶν τῶν. *L.* 21. τῶν παρακελευμάτων *Reg. B.* *L.* 22 *sq.* διώξαντες ἔτι, τὰς ὑπολοίπους ἀνέτρεψαν *Edd.* ἐπὶ *pro* ἔτι *recte dedit Aug. Mendosum* ἀνέτρεψαν, *ex facili conject. corrigendum putavi.* *L.* 24. ἐνεπίμπρασαν *Edd. ex Reg. B. Express. Reg. A. & Aug.* *L.* 28. *Pro* ἐπεχείρει, *necessario* ΕΠΕΚΟΥΡΕΙ *aut* ἐπεβοήθει, *aut simile quid, rescribendum puto.*

mari ab hostibus excluderetur: dextro classis cornu præfecit *Titinium*, sinistro *Carcium*: ipse, liburnica circum classem volitans, omnibus hortator aderat: quo facto, insignia imperatoria, ut in maximo constitutus periculo, deposuit. Occurrente autem ex adverso *Pompejo*, bis *congressi* sunt, & ad noctem usque *pugnarunt*. Quumque pars navium Cæsarianarum vel caperetur vel incenderetur; aliæ, expansis minoribus velis, contemto imperatoris imperio, profugerunt in Italiam: quas paulisper persecuti Pompejani mox omiserunt, & ad reliquas reversi, earum alias ceperunt, alias incenderunt. Qui vero ex navibus in terram enatabant, eorum ipsorum magnam partem equites Pompejani vel cædebant vel capiebant: alii ad *Cornificii* castra se proripiebant: quos ille adcurrentes excipiebat

μένους· οὐ γὰρ εὔκαιρον ἐδόκει κινεῖν φάλαγγα δύσθυμον, ἀντικαθημένων πεζῶν μεγαλοφρονουμένων, ὡς εἰκὸς ἦν, ἐπὶ νίκῃ. A. U. 718.

CXII. Καίσαρα δ' ἐν τοῖς ὑπηρετικοῖς ἐς πολὺ τῆς νυκτὸς ἀνακωχεύοντα, καὶ βουλευόμενον, εἴτε ἐς Κορνιφίκιον ἐπανέλθοι διὰ μέσων τοσῶνδε ναυαγίων, εἴτε ἐς Μεσσάλαν διαφύγοι, θεὸς ἐς τὸν Ἀβάλαν λιμένα παρήνεγκε μεθ' ἑνὸς ὁπλοφόρου, χωρὶς φίλων τε καὶ ὑπασπιστῶν καὶ θεραπόντων. καί τινες ἐκ τῶν ὀρῶν ἐς πύστιν τῶν γεγονότων καταθέοντες, εὗρον αὐτὸν τό τε σῶμα καὶ τὴν ψυχὴν ἐσταλμένον· καὶ ἐς ἀκάτιον ἐξ ἀκατίου μεταφέροντες, ἵνα διαλάθοι, μετεκόμισαν ἐς Μεσσάλαν οὐ μακρὰν ὄντα. Ὁ δὲ εὐθὺς, ἔτι ἀθεράπευτος, ἔς τε Κορνιφίκιον ἔστελλε λιβυρνίδα, καὶ πανταχοῦ διὰ τῶν ὀρῶν περιέπεμπεν ὅτι σώζοιτο, Κορνιφικίῳ τε πάντας ἐπικουρεῖν ἐκέλευε, καὶ αὐτὸς ἔγραφεν αὐτίκα πέμψειν βοήθειαν. Θεραπεύσας δὲ τὸ σῶμα καὶ ἀναπαυ-

Lin. 35. Ἄβλαν *Reg. A.* *L. 42.* ἔστελε *Edd. & MSSti. Adjeci alteram* λ *cum Musgravio.*

ſolis obviam miſſis velitibus; intempeſtivum ratus legiones haud nimis ſane tunc animoſas educere, adſidente e propinquo peditatu hoſtium, inſoleſcentium (ut fieri ſolet) victoria.

112. *Cæſar*, in actuariis ad multam noctem in alto fluctuatus, incertuſque Cornificiumne per media tot naufragia peteret, an ad Meſſalam refugeret, tandem forte fortuna ad *Abalam* portum delatus eſt cum unico armigero, deſtitutus amicis, ſatellitibus, ſerviſque. Quem nonnulli, e montibus ad res cognoſcendas decurrentes, invenerunt corpore animoque defectum: & translatum nunc in hoc, nunc in aliud acatium, quo magis hoſtem fallerent, ad *Meſſalam* deportarunt, qui non longe aberat. Inde *Cæſar*, priuſquam corpus curaret, ad *Cornificium* miſit liburnicam, & circa omnes montes dimiſit qui incolumem ſe nunciarent, juberentque omnes opem ferre Cornificio; & ipſe per litteras pollicitus eſt ei, mox adfore auxilium. Curato dein-

A. U. 718. σάμενος ὀλίγον, ἐς Στυλίδα νυκτὸς ἐξῄει, παραπεμπόμενος ὑπὸ τοῦ Μεσσάλα, πρὸς Καρρίναν, τρία ἔχοντα ἐπὶ τοῦ πρόπλου τέλη· καὶ τῷδε μὲν ἐκέλευσε διαπλεῖν ἐς Λιπάραν, ἔνθα καὶ αὐτὸς ἔμελλε διαπλευσεῖσθαι. Ἀγρίππαν δὲ, γράφων, ἠξίου κινδυνεύοντι Κορνιφικίῳ πέμπειν Λαρώνιον μετὰ στρατιᾶς ὀξέως. Μαικήναν δ' αὖθις ἐς Ῥώμην ἔπεμπε, διὰ τοὺς νεωτερίζοντας· καί τινες παρακινοῦντες ἐκολάσθησαν. καὶ Μεσσάλαν ἐς Δικαιάρχειαν ἔπεμπεν, ἄγειν τὸ πρῶτον καλούμενον τέλος ἐς Ἱππώνειον.

CXIII. Μεσσάλας δὲ οὗτος ἦν, ὃν οἱ τρεῖς ἐπὶ θανάτῳ προγεγράφεσαν ἐν Ῥώμῃ, καὶ χρήματα τῷ κτείναντι καὶ ἐλευθερίαν ἐπικεκηρύχεσαν· ὁ δὲ πρὸς Κάσσιον καὶ Βροῦτον φυγὼν, ἀποθανόντων ἐκείνων, τὸν στόλον ἐπὶ σπονδαῖς Ἀντωνίῳ παραδεδώκει. καί μοι τοῦτο ἀναμνῆσαι νῦν ἔδοξεν, ἐς ζήλωμα τῆς Ῥωμαίων ἀρετῆς· ὅπου Μεσσάλας, μόνον ἔχων ἐν τοσῇδε συμφορᾷ τὸν προγρά-

Lin. 48. *Verba* ἐπὶ τοῦ πρόπλου *omisit Cand.* *L.* 51. Λαρώνειον *h. l. Edd. ex Reg. B. invito Reg. A. & Aug.* *L.* 60. παρεδεδώκει *Edd. bene, sed invitis MSStis, quorum lectio teneri poterat.*

de corpore, quum quievisset modicum, ad *Stylida* noctu profectus est, *Messala* eum deducente, ad *Carinatem*, paratum ad navigationem cum tribus legionibus; quem jussit in Liparam trajicere, ipse mox eodem consecuturus. *Agrippa* quoque scripsit, ut periculo eximeret *Cornificium* celeriter, submittendo cum expeditis *Laronium*. Rursusque *Mæcenatem* in Urbem misit; propter eos qui novarum rerum cupidi essent: in quorum nonnullos, qui turbas civerant, animadversum est. *Messalam* vero Puteolos ire jussit, ut primam legionem, quæ vocatur, Vibonem adduceret.

113. Is *Messala* idem erat, qui, quum a triumviris, proposito interfectori præmio libertateve, proscriptus fuisset, profugus deinde ad Brutum & Cassium, post horum mortem Antonio classem interposita pactione tradiderat. Quod nunc in memoriam revocare libuit, in Romanæ virtutis laudem; quandoquidem *Messala*, habens in potestate proscriptorem suum omni satelli-

ϕαιτα, ἐθεράπευεν, ὡς αὐτοκράτορα, καὶ περιέσωζε. A. U. 718.
Κορνιφίκιος δὲ ἀποτρέψασθαι μὲν ἐκ τοῦ χάρακος εὐμαρῶς εἶχε τοὺς πολεμίους· κινδυνεύων δ' ἐξ ἀπορίας, ἐς μάχην ἐξέτασσε καὶ προὐκαλεῖτο. Πομπηίου δὲ οὐ συμπλεκομένου μὲν ἀνδράσιν ἐν μόνῃ τῇ μάχῃ τὴν ἐλπίδα ἔχουσι, παραστήσεσθαι δ' αὐτοὺς τῷ λιμῷ προσδοκῶντος, ὥδευεν ὁ Κορνιφίκιος, ἐν μέσῳ τοὺς ἀπὸ τῶν νεῶν διαζυγόντας ἀνόπλους ἔχων, βαλλόμενός τε καὶ χαλεπῶς, ἐν μὲν τοῖς πεδινοῖς ὑπὸ τῶν ἱππέων, ἐν δὲ τοῖς τραχέσιν ὑπὸ τῶν ψιλῶν τε καὶ κούφων, οἱ, Νομάδες Λίβυες ὄντες, ἠκόντιζόν τε ἐπὶ πλεῖστον, καὶ τοὺς ἐπεκθέοντας ὑπέφευγον.

CXIV. Τετάρτῃ δ' ἡμέρᾳ μόλις ἐπὶ τὴν ἄνυδρον γῆν ἀφίκοντο, ἥν ῥύακα πυρὸς λέγουσί ποτε μέχρι θαλάσσης κατιοῦσαν ἐπικλύσαι, καὶ σβέσαι τὰ ἐν αὐτῇ νά-

Lin. 68. παραστήσεσθαι *Aug. Reg. B.* *L.* 70. ἀνάπλους ἔχων *Edd. MSS.* & *Cand. Mutavi in* ἀνόπλους *cum Gelen.* & *Musgravio.* *L.* 71. πεδινοῖς *mend. edit.* 1. *ex Reg. B.* *L.* 72. τῶν ὑψηλῶν τε *Edd. cum Regiis. Recte Aug. Ven.* *L.* 76-78. *Corrupte in Editis sic legebatur:* ἣν Ῥύακα πυρὸς λέγουσι, τότε μέχρι θαλάσσης -εῖαν τε ἐοῦσαν ἐπικλῦσαι καὶ σβέσαι τὰ ἐν αὐτῇ καύματα. *Veriora omnia dedit Aug. nisi quod in* τότε *cum Edd. consentiat, pro quo* ποτε *utique fuit reponendum.* *L.* 77 *sq.* ναύματα *dabat edit* 1. *cum Reg. B.* & *Ven. quod in* καύματα *mutavit Henr. Stephanus. Re-*

tio desolatum, in tanta calamitate refovit ut imperatorem, servavitque. *Cornificius*, quamvis a castris facile hostem arcere potuisset, tamen, quia laborabat commeatuum inopia, suis in aciem productis hostem provocavit. *Pompeio* vero detrectante certamen cum viris in sola dextra fiduciam habentibus, & fame se subacturum eos sperante; *Cornificius*, receptis in medium agmen inermibus qui e naufragio evaserant, iter ingressus est difficile periculosumque; in regione campestri missilibus ab equitatu hostium infestatus; in aspera vero a Numidis leviter armatis, qui, ex longissimo intervallo jaculantes, facile refugiebant, si qui in eos procurrerent ex agmine.

114. Quarto demum die in aridam illam regionem pervenerunt, quæ, a montibus ad mare usque porrecta, *ignis profluvio* olim inundata fertur, quo *scaturigines omnes*

A. U. 718. ματα· καὶ αὐτὴν οἱ μὲν ἐπιχώριοι μόνης ὁδεύουσι νυκτὸς, πνιγώδη τε οὖσαν ἀπ' ἐκείνου, καὶ κονιορτοῦ σποδώδους γέμουσαν. Οἱ δὲ ἀμφὶ τὸν Κορνιφίκιον οὔτε νυκτὸς ἐθάῤῥουν, ἐν ἀσελήνῳ μάλιστα, ἰέναι, διὰ ἀπειρίαν ὁδῶν καὶ ἐνέδρας, οὔτε ἡμέρας ὑπέμενον, ἀλλ' ἀπεπνίγοντο, καὶ τὰς βάσεις ὡς ἐν θέρει καὶ καύματι ὑπεκαίοντο, μάλιστα οἱ γυμνοί. Βραδύνειν τε οὐ δυνάμενοι διὰ τὴν δίψαν ἐνοχλοῦσαν, οὐδένα ἔτι τῶν βαλλόντων αὐτοὺς ἐπεξῄεσαν, ἀλλ' ἐτιτρώσκοντο ἀφυλάκτως. Ἐπεὶ δὲ καὶ τὰς ἐξόδους τῆς διακεκαυμένης ἕτεροι κατεῖχον πολέμιοι, ἀμελήσαντες τῶν ἀσθενεστέρων τε καὶ γυμνῶν, ἀνεπήδων ἐς τοὺς αὐχένας οἱ δυνάμενοι, τόλμῃ παραβόλῳ, καὶ ἐβιάζοντο τοὺς πολεμίους ἐς ὅσον εἶχον δυνάμεως. κατεχομένων δὲ καὶ τῶν ἑξῆς αὐχένων, ἀπεγίνωσκον αὐτῶν ἤδη, καὶ μεθεῖντο ὑπὸ δίψης καὶ θέρους καὶ κόπου. Προτρέποντος δὲ αὐτοὺς τοῦ Κορνιφικίου, καὶ πηγὴν πλησίον οὖσαν ἐπιδεικνύοντος, οἱ μὲν αὖθις ἐβιάζοντο, πολ-

ἐκ νάματα Reg. A. cum Aug. quod & viderat Gelen. & Musgrav. Lin. 79. ἐπ' ἐκείνου Edd. mend. Recte Aug. L. 87. διακεκαυμένης edit. 1. cum Regiis. L. 91. ἑξῆς Aug. Reg. B. ut sæpius alibi.

absumtæ sunt: qua ab eo tempore accolæ noctu tantum faciunt iter, propter suffocantem æstum pulveremque cinerosum. Per eam *Cornificii* milites neque noctu, silente præsertim luna, iter ausi sunt facere, propter viarum imperitiam & metum insidiarum; neque interdiu sustinuerunt; sed suffocabantur, & pedum plantæ, non secus ac in fervida æstate, his præsertim qui nudi incedebant, adurebantur. Quumque nec sitis premens morari eos sineret, in neminem amplius telis infestantem excurrebant, sed impune vulnerabantur. Ubi vero & fauces, qua e perusto agro erat exitus, aliis hostibus obsessos viderunt, neglectis nudis & infirmioribus, irruerunt in fauces quotquot poterant perdita audacia, & hostem impulerunt pro viribus: sed quum & alias deinceps fauces occupatas cernerent, desperatis rebus remiserunt impetum, siti simul & æstu laboreque adflicti. Cohortante vero *Cornificio*, & fontem in propinquo ostendente, redintegrato impetu propulerunt

λοὺς ἀπὸ σφῶν ἀπολλύντες. ἕτεροι δὲ τὴν πηγὴν κατεῖχον πολέμιοι, καὶ παντελὴς ἤδη τοὺς τοῦ Κορνιφικίου κατεῖχεν ἀθυμία, καὶ παρίεντο. *A. U. 718.*

CXV. Ὧδε δὲ αὐτοῖς ἔχουσι Λαρώνιος ἐπιφαίνεται μακρόθεν, ὑπὸ Ἀγρίππου σὺν τρισὶ τέλεσι πεμφθείς· οὔπω μὲν ἔνδηλος ὢν ὅτι φίλος εἴη· ὑπὸ δὲ ἐλπίδος ἀεὶ τοιοῦτον ἔσεσθαι προσδοκῶντες, ἀνέφερον αὖθις αὐτῶν. Ὡς δὲ καὶ τοὺς πολεμίους εἶδον τὸ ὕδωρ ἀπολιπόντας, ἵνα μὴ γένοιντο ἐχθρῶν ἐν μέσῳ, ἀνέκραγον μὲν ὑπὸ ἡδονῆς ὅσον ἔσθενον· ἀντιβοήσαντος δ' αὐτοῖς τοῦ Λαρωνίου, δρόμῳ τὴν πηγὴν κατέλαβον. καὶ ὑπὸ μὲν τῶν ἡγεμόνων ἐκωλύοντο πίνειν ἀθρόως· ὅσοι δὲ ἠμέλησαν, ἔπινον ὁμοῦ καὶ ἀπέθνησκον. Οὕτω μὲν ἐξ ἀέλπτου Κορνιφίκιος, καὶ τοῦ στρατοῦ τὸ φθάσαν μέρος, περιεσώθη πρὸς Ἀγρίππαν ἐς Μύλας.

CXVI. Ἄρτι δὲ ὁ Ἀγρίππας Τυνδαρίδα εἰλήφει, τροφῶν μεστὸν χωρίον, καὶ εὐφυῶς ἐς πόλεμον ἐκ τῆς θαλάσσης ἔχον. καὶ ὁ Καῖσαρ ἐς αὐτὸ τὰ πεζὰ καὶ τοὺς

quidem hostem, sed non sine magna suorum jactura. Ceterum quum fontem quoque ab aliis rursus hostibus occupatum offenderent, jam omnes & animi & corporis vires eos defecerunt.

115. Sic adfectis *Cornificianis* subito eminus adparet *Laronius*, *missus ab Agrippa* cum tribus legionibus. Et illi, quamquam non satis statim compertum habebant, amicas esse copias, tamen, quoniam semper tale aliquid sibi eventurum speraverant, animum receperunt. Ut vero jam hostem quoque relinquere aquam viderunt, ne includeretur medius; exclamaverunt præ gaudio quantum poterant: quumque clamorem reddidisset Laronius, cursu fontem occuparunt. Vetabantur autem a ducibus, ne subito ingurgitarent se potu: quorum quidem monita qui neglexere, inter bibendum emoriebantur. Sic *ex insperato Cornificius*, cum superstite exercitus parte *Mylas*, *ad Agrippam evasit* incolumis.

116. Per id tempus *Agrippa Tyndaridem ceperat*, refertam cibariorum copia, & opportunam bello maritimo. Itaque eo *Cæsar* deportabat pedites equitesque. Habuit-

A. U. 718.

ἱππέας διεβίβαζεν. ἐγένοντό τε αὐτῷ πάντες ἐν Σικελίᾳ, ὁπλιτῶν μὲν ἐς εἴκοσι καὶ ἓν τέλος, ἱππεῖς δὲ δισμύριοι, καὶ κοῦφοι πλείους τῶν πεντακισχιλίων. Μύλας δ' ἔτι, καὶ τὰ ἐκ Μυλῶν ἐπί τε Ναυλόχους καὶ Πελωριάδα, καὶ τὰ παράλια πάντα, φρουραὶ Πομπηίου κατεῖχον· αἳ φόβῳ μάλιστα Ἀγρίππου πῦρ διηνεκὲς ἔκαιον, ὡς ἐμπρήσοντες τοὺς ἐπιπλέοντας. ἐκράτει δὲ καὶ τῶν στενῶν ἑκατέρων ὁ Πομπήιος. ἀμφὶ δὲ τὸ Ταυρομένιον καὶ περὶ Μύλας τὰς περιόδους τῶν ὀρῶν ἀπετείχιζε, καὶ τὸν Καίσαρα ἐκ Τυνδαρίδος ἐς τὸ πρόσθεν ἰόντα ἠνώχλει, μὴ συμπλεκόμενον. Ἀγρίππου δὲ νομισθέντος ἐπιπλεῖν, ἐς Πελωριάδα μετεπήδησεν, ἐκλιπὼν τὰ στενὰ περὶ Μύλας· καὶ ὁ Καῖσαρ αὐτῶν τε κατέσχε, καὶ Μυλῶν, καὶ Ἀρτεμισίου, πολίχνης βραχυτάτης, ἐν ᾗ φασι τὰς ἡλίου βοῦς γενέσθαι, καὶ τὸν ὕπνον Ὀδυσσεῖ.

Lin. 16. τῶν *ad* πεντακισχ. *carent Edd. Dedit Aug.* *L.* 17. ἐπί τε ναυάρχους *mend. Edd. Recte Aug. Ven. Ibid. Particulam* καὶ, *post* Πελωριάδα, *deletam voluit Cluverus: quod sane commodius videtur.* *L.* 18. ἅπαντα *Edd. ex Reg. A. Expressi Reg. B. Aug.* *L.* 19. διηνεκῶς *Edd. ex Reg. B. Prætuli Reg. A. Aug.* *L.* 22. καὶ περιόδους *Edd. cum Regiis & Cand.* τοὺς περιόδους *dat Aug. & caret* καί: *unde* τὰς περιόδους *reposui. Retinendo h. l.* καὶ, *lin. præc. pro* ἀμφὶ δὲ *legit* ἀμφί τε *Cluverus, cum Cand. & Gelenio.* *L* 27 *sq.* τοὺς ἡλίου βοῦς *Reg. B.*

que jam in universum in Sicilia unam & viginti legiones, equitum viginti millia, levis armaturæ plures quinque millibus. *Mylas* autem, & a Mylis loca omnia usque *Naulochos* & *Pelorum*, omnemque oram maritimam, *Pompejus* adhuc tenebat præsidiis: quæ ab Agrippa maxime sibi metuentia, continuos ignes fovebant, ut hostium naves absterrerent intentando incendium. Tum vero fauces quoque utrasque occupavit *Pompejus*; & tam prope Tauromenium, quam circa Mylas, montanos calles muris interclusit; Cæsaremque Tyndaride antrorsum progressum infestabat, lacessebatque abstinentem a prælio. Quum vero Agrippa adpulsurus putaretur ad Pelorum, transcurrit eo desertis faucibus Mylensibus: quas mox *Cæsar occupavit*, simulque *Mylas*, & *Fanum Dianæ*, perexiguum oppidulum, apud quod *Solis boves* fuisse, & somnium Ulyssi accidisse, tradunt.

CXVII. Ψευδοῦς δὲ τῆς Ἀγρίππου δόξης φανείσης, ὁ Πομπήϊος ἠσθεὶς τῶν στενῶν ἀφῃρημένος, καὶ Τισιηνὸν ἐκάλει μετὰ τοῦ στρατοῦ. Τισιηνῷ δ' ὁ Καῖσαρ ὑπήντα, καὶ διημάρτανε τῆς ὁδοῦ περὶ ὄρος τὸ Μυκόνιον· ἔνθα ἄσκηνος ἐνυκτέρευσεν· ὄμβρου τε πολλοῦ καταῤῥαγέντος, οἷος ἐν φθινοπώρῳ γίγνεται, τῶν ὁπλοφόρων τινὲς τὴν νύκτα πᾶσαν ἀσπίδα Κελτικὴν ὑπερέσχον αὐτοῦ. ἐγένοντο δὲ καὶ βρόμοι τῆς Αἴτνης σκληροὶ, καὶ μυκήματα μακρὰ, καὶ σέλα περιλάμποντα τὴν στρατιάν· ὥστε τοὺς μὲν Γερμανοὺς ἐξ εὐνίων ἀναπηδᾷν ὑπὸ δέους· τοὺς δὲ, ἀκοῇ τῶν περὶ τῆς Αἴτνης λεγομένων, οὐκ ἀπιστεῖν ἐν τοσοῖσδε παραδόξοις ἐμπεσεῖσθαι σφίσι καὶ τὸν ῥύακα. Μετὰ δὲ τοῦτο τὴν Παλαιστηνῶν γῆν ἔκειρε, καὶ Λέπιδος αὐτῷ συνήντετο σιτολογῶν, καὶ Μεσσήνῃ παρεστρατοπέδευον ἀμφότεροι. A. U. 718.

Lin. 30. *Vocem* ἠσθεὶς *incisione distinguit a seqq. Aug. Pro illa voce, non nimis sane commoda, expresserunt* ᾔσθετο (*seu l* αἰσθόμενος *deleta conjunct.* καὶ, *quæ mox sequitur*) *Eand. & Gelen. Pro eadem,* ἠνιάθη *maluit Musgrav. quod in lat. versione expressi. L.* 37. καὶ σίλατα *Edd. Prætuli Aug. Ven. L.* 38. εὐνίων *mend. Aug. Ven. L.* 41. *Corruptum esse nomen* Παλαιστινῶν, *& restituendum* ΑΒΑΚΑΙΝΙΝΩΝ, *Cluverus monuit.*

117. Sed postquam opinio de Agrippæ adventu vana est comperta, *Pompeius*, amissas fauces dolens, *Tisienum* accivit cum exercitu. Cui *Cæsar* obviam profectus. aberravit a via circa *Myconium montem*; in quo absque tentorio pernoctavit, & quum imbres vehementes ruerent, ut per autumnum solent, per totam noctem tectus est scuto Gallico, militibus id sustinentibus. Auditi quoque sunt *Ætnæ horrendi fremitus* & longi mugitus, excandescentibus etiam ignibus, exercitumque fulgore terrentibus; adeo ut & Germani de stragulis præ timore prosilirent, & ut reliquis, cogitantibus ea quæ de Ætnæ incendiis fando audiverant, non incredibile videretur, inter tot mira profluvium etiam ignis sibi nunc accidere posse. Posthæc *Palæstenorum* [f. *Abacæninorum*] agrum vastavit; ubi *Lepidus* factus est illi obviam, frumenta colligens: moxque ambo *Messanam* obsederunt.

A. U. 718.

CXVIII. Γιγνομένων δ' ἀνὰ ὅλην τὴν Σικελίαν ἀψιμαχιῶν πολλῶν, ἔργου δὲ μείζονος οὐδενὸς, Ταῦρον ὁ Καῖσαρ ἔπεμψε, τὰς ἀγορὰς τοῦ Πομπηίου περικόπτειν, καὶ τὰς πόλεις τὰς χορηγούσας προκαταλαμβάνειν. Καὶ τῷδε μάλιστα κάμνων ὁ Πομπήιος, ἔκρινε μάχῃ μείζονι κριθῆναι περὶ ἁπάντων. Τὰ μὲν δὴ πεζὰ τοῦ Καίσαρος ἐδεδίει, ταῖς δὲ ναυσὶν ἐπαιρόμενος, ἤρετο πέμπων, εἰ δέχοιτο ναυμαχίᾳ κριθῆναι. Ὁ δὲ ὠῤῥώδει μὲν τὰ ἐνάλια πάντα, οὐ σὺν τύχῃ μέχρι δεῦρο κεχρημένος αὐτοῖς· αἰσχρὸν δὲ νομίσας ἀντειπεῖν, ἐδέχετο. Καὶ ὡρίζετο αὐτοῖς ἡμέρα, ἐς ἣν τριακόσιαι νῆες ἑκατέρῳ ἰδίᾳ παρεσκευάζοντο, βέλη τε παντοῖα φέρουσαι, καὶ πύργους καὶ μηχανὰς ὅσας ἐπενόουν. ἐπενόει δὲ καὶ τὸν καλούμενον ἅρπαγα ὁ Ἀγρίππας, ξύλον πεντάπηχυ σιδήρῳ περιβεβλημένον, κρίκους ἔχον περὶ κεραίας ἑκατέρας· τῶν δὲ κρίκων εἴχετο, τοῦ μὲν, ὁ ἅρπαξ, σιδήριον καμπύλον,

Lin. 44. ἀν' ὅλην *h. l. Edd. cum Regiis & Aug. insolita alias Scriptori nostro elisione. L.* 50. ταῖς τε *edit.* 1. δὲ *cum H. Steph. dedit Aug. L.* 54. ἑκατέρων *Aug. Ibid.* ἰδίᾳ *caret Reg. B.*

118. Sed quum per totam Siciliam passim quidem velitationes fierent, nullo memorabili prælio; *Cæsar Taurum* misit, ut commeatu Pompejum arceret, oppidaque præ ceteris ea præriperet, quæ commeatum illi suppeditarent. Qua maxime difficultate coactus *Pompejus*, *statuit majori prælio de summa rerum decernere.* Sed, quia terrestres hostium copias timebat, in navibus habens fiduciam, rogavit per nuncios, num vellet *navali prælio* decernere. *Cæsar*, quamvis abhorreret ab omnibus rebus maritimis, quas ad eum diem infeliciter tentaverat, tamen turpe ratus detrectare, *accepit conditionem.* Præstitutusque dies est, ad quem trecenæ utrimque naves parabantur, instructæ telis omnigenis, turribusque ac machinis, quotquot excogitari potuere. *Agrippa* vero & *harpagonem commentus* est, quinquecubitale tignum, ferro indutum, in utraque extremitate habens circulum, in quorum altero ipse hærebat *harpago*, uncus ferreus; in altero multæ

καμπύλον, τοῦ δὲ, καλώδια πολλὰ, μηχαναῖς ἐπισπώμενα τὸν ἅρπαγα, ὅτε τῆς πολεμίας νεὼς ἐκ καταπέλτου λάβοιτο. *A. U. 718.*

CXIX. Ἐλθούσης δὲ τῆς ἡμέρας, πρῶτα μὲν ἦν ἐρετῶν ἅμιλλα καὶ βοὴ, καὶ βέλη, τὰ μὲν ἐκ μηχανῆς, τὰ δ' ἀπὸ χειρῶν, ὅσα λίθοι, καὶ πυρφόρα, καὶ τοξεύματα. Μετὰ δὲ, αἱ νῆες αὐταὶ συνερρήγνυντο ἀλλήλαις, αἱ μὲν ἐς τὰ πλάγια, αἱ δὲ κατ' ἐπωτίδας, αἱ δὲ ἐπὶ τοὺς ἐμβόλους, ἔνθα μάλιστά εἰσιν αἱ πληγαὶ βίαιοι τινάξαι τε τοὺς ἐπιβάτας, καὶ τὴν ναῦν ἀργοτέραν ἐργάσασθαι. Ἄλλαι δὲ ἀλλήλας διεξέπλεον, βάλλουσαί τε καὶ ἀκοντίζουσαι· καὶ τὰ ὑπηρετικὰ τοὺς ἐκπίπτοντας ἀνελάμβανεν. ἔργα τε χειρῶν ἦν, καὶ βία ναυτῶν, καὶ τέχνη κυβερνητῶν καὶ βοαὶ, καὶ στρατηγῶν παρακελεύσεις, καὶ μηχανήματα πάντα. Εὐδοκίμει δὲ μάλιστα ὁ ἅρπαξ, ἔκ τε πολλοῦ ταῖς ναυσὶ διὰ κουφότητα ἐμπίπτων, καὶ ἐμπηγνύμενος, ὅτε μάλιστα ὑπὸ τῶν καλωδίων ἐφέλ-

Lin. 65. ὅσα *in* οἷα *mutatum voluit Musgrav.* *L.* 70. ἀλλήλαις *Edd. Rectius Aug.* *L.* 72. βία αὐτῶν *Edd. mend. invitis MSStis.*

multæ restes, quæ machinis attrahebant harpagonem, catapulta in hostilem navem immissum.

119. Statutus *navali prælio* dies postquam illuxit, primum remigum fuit ostentatio non sine clamore: mox missilibus certatum, partim e machinis, partim manu conjectis, saxis, sagittis, ignitisque jaculis. Tum *naves* ipsæ *concurrebant*, ictus inferentes accipientesque, nunc in latera, nunc in proras, nunc in ipsa rostra; qua parte maxime validi ictus sunt, & vectores concutiunt, & naves reddunt inutiliores. Aliæ per alias perrumpentes, sagittas simul aliaque missilia in eas conjiciebant; & actuariæ recolligebant eos, qui in mare essent prolapsi. Eratque contentio militum pariter ac nautarum gubernatorumque, sive artem, sive robur fortitudinemque cum clamore ostentantium: & cohortabantur duces, & machinæ omnes in usum adhibebantur. Sed maxime *harpago* probabatur, e longinquo propter levitatem in naves involans, inhærensque, præsertim quum retraheretur restibus: nec præcidi ab his,

A. U. 718. κοιτο ὀπίσω· κοπῆναί τε ὑπὸ τῶν βλαπτομένων οὐκ ἦ
εὔπορος, διὰ σίδηρον τὸν περιέχοντα· καὶ τὸ μῆκος αὐτο
δυσεφικτότατον τοῖς κόπτουσι τὰ καλώδια ἐποίει· οὐδ
τὸ μηχάνημά πω προέγνωστο, ὡς δρέπανα δόρασι περι
θέσθαι. ἓν δ' ἐπενόουν, ὡς ἐν ἀδοκήτῳ· τὴν ναῦν, κρού
οντες ἐπὶ πρύμναν, ἀντισπᾶν. τὸ δ' αὐτὸ ποιούντων κα
τῶν πολεμίων, ἴση μὲν ἦν ἡ βία τῶν ἀνδρῶν, ὁ δὲ ἅρπα
ἐποίει τὸ ἴδιον.

CXX. Ὅτε μὲν οὖν προσπελάσειαν αἱ νῆες, ἐμάχοντ
παντοίως, καὶ ἐς ἀλλήλους μεθήλλοντο. καὶ διαγνῶνα
τὸν πολέμιον οὐκ ἦν ἔτι ὁμοίως εὔπορον· ὅπλοις τε γὰ
ὡς τὰ πολλὰ τοῖς αὐτοῖς ἐχρῶντο, καὶ φωνῇ σχεδὸν ἅ
παντες Ἰταλῇ, τά τε συνθήματα μιγνυμένων ἐς ἀμφο
τέρους ἐξενήνεκτο, καὶ ἐκ τοῦδε μάλιστα ἐνέδραι πολλα
καὶ ποικίλαι παρὰ ἀμφοῖν, καὶ ἀπιστία πρὸς τοὺς λέ
γοντας αὐτὰ ἐπεγίγνετο, ἀγνωσία τε πάντας ἀλλήλα
ἐπεῖχεν, ὡς ἐν πολέμῳ καὶ θαλάσσῃ γεμούσῃ φόνα

Lin. 78. εὐπίρως *Aug.* *L. 79. Quin* δυσεφικτότατα? *L. 80.* δρέπαν *Edd. Rectius Aug.* *L. 87.* τον πόλεμον *Edd. Verius Aug. & Reg.* l *a prim. manu.* *L. 92.* ἐγίγνετο *Edd. ex Reg. A. Compositum ve bum ded. Aug. Reg. B.* *L. 93. Verba* ὡς ἐν πολέμῳ *non expreſſ*

qui eo infeſtabantur, propter cingens ferrum facile poterat; nec pertingi uſque ad reſtes poterat propter longitudinem: & quoniam ignotum adhuc fuerat genus machinæ, ideo hoſtes falcatas haſtas non præparaverant. Unus, ut in re improviſa, conatus profuturus videbatur, ſi vi remorum navim retraherent: ſed quum idem adverſarii facerent, par utrimque vis virorum erat, & harpago inſuper ſuum peragebat officium.

120. Quoties igitur naves propinquæ invicem eſſent tum variis modis pugnabatu & in adverſarias transſilieban Nec jam facile erat hoſte amplius ab amico diſcernere majore enim ex parte eode utebantur armorum genere & lingua ferme omnes Lat na, & teſſeræ utrorumque i ter permixtos evulgatæ ſunt unde magna utriſque ac mu tiplex doli naſcebatur occaſi nec credi amplius teſſeris po erat, nec omnino alteri alt ros in certamine dignoſc bant, & mare ubique cæd

τε καὶ ὅπλων καὶ ναυαγίων. οὐ γάρ τινα πεῖραν ἔλιπον, ὅτι μὴ μόνον τὸ πῦρ· τοῦτο δὲ μετὰ τοὺς πρώτους ἐπίπλους ἐφείσαντο διὰ τὰς συμπλοκάς. Ὁ δὲ πεζὸς ἑκατέρων στρατὸς ἀπὸ τῆς γῆς μετὰ φόβου καὶ σπουδῆς ἐς τὴν θάλασσαν ἀφεώρων, ὡς ἐν τῇδε καὶ αὐτοὶ περὶ τῆς σφῶν σωτηρίας τὴν ἐλπίδα ἔχοντες. διέκρινόν γε μὴν οὐδὲν, οὐδ᾽ ἐδύναντο, καὶ μάλιστα περισκοποῦντες· οἷα νεῶν ἑξακοσίων ἐπιμήκιστον ἐκτεταγμένων, καὶ τῆς οἰμωγῆς ἐναλλασσομένης ἀνὰ μέρος ἑκατέρωθεν. A. U. 718.

CXXI. Μόλις δέ ποτε ταῖς χροιαῖς τῶν πύργων, αἷς δὴ μόναις διέφερον ἀλλήλων, ὁ Ἀγρίππας συνεὶς πλέονας ἀπολωλέναι τοῦ Πομπηίου ναῦς, ἐθάρρυνε τοὺς συνόντας, ὡς ἤδη κατορθοῦντας· καὶ τοῖς πολεμίοις αὖθις ἐμπεσὼν, ἐπέκειτο ἀπαύστως, μέχρι βιασθέντες ὅσοι μάλιστα κατ᾽ αὐτὸν ἦσαν, τούς τε πύργους κατέρριψαν, καὶ τὰς ναῦς ἐπιστρέψαντες, ἐς τὸν πορθμὸν ἔφευγον· καὶ ἔφθα-

Cand. Videri autem potest ibi aut mutila aut alio modo mendosa esse oratio. L. 98 sq. τῆς σφετέρας σωτηρίας Edd. Rectius Aug. L. 2. ἐπὶ μήκιστον separatim Edd. ex Reg. A. Conjunxi, cum Aug. Ven. Reg. B. quamquam mendose ἐπιμήκιστον dant Aug. & Ven. L. 10. ἐπιτρέψαντες mend. Edd. Recte Aug. Ven.

bus, armis, naufragiis erat repletum. Nihil enim intentatum reliquerunt, præter ignem; quo, post primum concursum, quum cohærerent mutuo, abstinuerunt. Illud autem *navium certamen uterque terrestris exercitus spectabat e littore*, non sine metu studioque partium; in eo de sua quoque incolumitate agi existimans. Nihil tamen discernebant, ac ne poterant quidem, quamvis intentis oculis; utpote in DC navium longissime diducto ordine, variante ejulatu nunc hac parte, nunc alia.

121. Vix tandem e turrium coloribus, quod solum discrimen navium erat, plures *Pompejanas naves* periisse intelligens *Agrippa*, cohortatus est proximos, quasi jam victores: redintegratoque in hostem impetu, *urgere non desiit*, donec qui ipsi *oppositi* erant primi, *coacti cedere*, turres dejecerunt, versisque navibus versus fretum *fugerunt*. Nec tamen plures, quam XVII naves, eo se recipere potue-

A. U. 718. σαν ἐσδραμεῖν ἑπτακαίδεκα νῆες. αἱ δὲ λοιπαὶ, διακλείσαντες αὐτὰς τοῦ Αγρίππου, αἱ μὲν ἐξώκελλον ἐς τὴν γῆν διωκόμεναι, καὶ συνεξώκελλον αὐταῖς ὑπὸ ὁρμῆς οἱ διώκοντες, ἢ ὁρμιζομένας ἀπέσπων, ἢ ἐνεπίμπρασαν· ὅσαι δὲ ἔτι κατὰ τὸ πέλαγος ἐμάχοντο, τὰ περὶ αὐτὰς γιγνόμενα κατιδοῦσαι, παρεδίδοσαν ἑαυτὰς τοῖς πολεμίοις. Καὶ ὁ τοῦ Καίσαρος στρατὸς ἐπινίκιον ἠλάλαξεν ἐν τῇ θαλάσσῃ, καὶ ὁ πεζὸς ἀντεβόησεν ἐπὶ τῆς γῆς. Οἱ Πομπηίου δὲ ἀνῴμωξαν· καὶ αὐτὸς ἐκ τῶν Ναυλόχων ἀναθορὼν, ἐς τὴν Μεσσήνην ἠπείγετο, οὐδὲν ὑπὸ ἐκπλήξεως περὶ τῶν πεζῶν οὐδὲ ἐπισκήψας. ὅθεν καὶ τούσδε ὁ Καῖσαρ, Τισιηνοῦ παραδιδόντος, ὑποσπόνδους ἐδέχετο· καὶ τοὺς ἱππέας ἐπ᾽ αὐτοῖς, τῶν ἱππάρχων παραδιδόντων. Κατέδυσαν δὲ ἐν τῷ πόνῳ νῆες Καίσαρος μὲν τρεῖς, Πομπηίου δὲ ὀκτὼ καὶ εἴκοσι, καὶ αἱ λοιπαὶ κατεφλέχθησαν, ἢ ἐλήφθησαν, ἢ ἐς τὴν γῆν ὀκέλλουσαι συνετρίβησαν· αἱ δὲ ἑπτακαίδεκα μόναι διέφυγον.

Lin. 11. *προσδραμεῖν Edd. Rectius Aug.* *L.* 12 *sq. Sex verba* ἐς τὴν γῆν διωκ. καὶ συνεξ. *desiderantur in Edd. & Cand. Dedit Aug. & Ven.* *L.* 14. ἐνεπίπρασαν *Reg. B. ut solet.* *L.* 23. ὑπάρχων *Aug. Reg. B.*

runt. *Reliquæ ab Agrippa interclusæ* sunt: & earum aliæ, ad littus compulsæ, impegerunt in brevia; Cæsarianæque, easdem persecutæ, partim simul impegerunt præ impetu, partim retraxerunt a littore, partim incenderunt: ceteræ vero *Pompejanæ naves*, quotquot in alto adhuc continuaverant pugnam, ubi viderunt quid & his accidisset & sibi immineret, *deditionem fecerunt.* Tum Cæsarianus navalis exercitus victoriam significavit ingenti edito jubilo; & e terra reddiderunt conclamationem pedestres copiæ; Pompejani vero ingemuerunt. Ipse *Pompejus* Naulochis Messanam se proripuit; sic attonitus, ut de terrestri exercitu ne mandata quidem ulla reliquerit. Itaque & *pedites Cæsar, Tisieno dedente, in fidem recepit; et mox equitatum quoque*, præfectis eorum pariter deditionem facientibus. Mersæ sunt in eo prælio naves Cæsaris tres; Pompeji XXVIII: reliquæ vero Pompeji naves aut crematæ, aut captæ sunt, aut littori illisæ fractæque: & solæ septemdecim effugerunt.

CXXII. Καὶ ὁ Πομπήϊος, ἐν ὁδῷ περὶ τῆς μεταγνώμης τοῦ πεζοῦ πυθόμενος, τήν τε ἐσθῆτα ἤλλαξεν ἐς ἰδιώτην ἀπ' αὐτοκράτορος, καὶ προύπεμψεν ἐς Μεσσήνην, ἐς τὰς ναῦς ἐντίθεσθαι τὰ δυνατά· παρεσκεύαστο δὲ ἅπαντα ἐκ πολλοῦ· Πλέννιόν τε ἐκ Λιλυβαίου, μεθ' ὧν εἶχεν ὀκτὼ τελῶν, ἐκάλει κατὰ σπουδὴν, ὡς μετὰ τῶνδε φευξόμενος. καὶ Πλέννιος μὲν ἠπείγετο πρὸς αὐτόν. Αὐτομολούντων δὲ ἑτέρων, φίλων τε καὶ φρουρίων καὶ στρατῶν, καὶ τῶν πολεμίων ἐς τὸν πορθμὸν ἐσπλεόντων, οὐκ ἀναμείνας οὐδὲ Πλέννιον ὁ Πομπήϊος ἐν πόλει καλῶς τετειχισμένῃ, ἔφευγεν ἐκ τῆς Μεσσήνης ἐπὶ τῶν ἑπτακαίδεκα νεῶν ἐς Ἀντώνιον, ὡς ἐξ ὁμοίων αὐτῷ τὴν μητέρα περισεσωκώς. Καὶ ὁ Πλέννιος αὐτὸν οὐ καταλαβὼν, ἐς τὴν Μεσσήνην παρῆλθε, καὶ κατεῖχε τῆς πόλεως. Ὁ δὲ Καῖσαρ, αὐτὸς μὲν ἔμεινεν ἐν τῷ περὶ Ναυλόχους στρατοπέδῳ· Ἀγρίππαν δ' ἐκέλευσε τῇ Μεσσήνῃ παρακαθέζεσθαι· καὶ παρεκάθητο σὺν Λεπίδῳ. Πλεννίου δὲ πρεσβευομένου περὶ σπονδῶν, Ἀγρίππας μὲν ἠξίου περιμένειν Καίσαρα ἐς ἕω, Λέπιδος δὲ ἐδίδου τὰς σπονδάς·

A. U. 718.

122. *Pompejus*, poſtquam in via cognovit de defectione exercitus, privatum cultum ſumſit pro imperatorio, præmiſſis Meſſanam qui in naves quidquid poſſent imponerent: jam dudum autem adparata erant omnia. Simul *Plennium* a Lilybæo propere accivit cum octo legionibus, quas fugæ comites erat habiturus. Et Plennius quidem feſtinus ad eum contendit. *Pompejus* vero, aliis & amicis & præſidiis & exercitibus ad victorem deſciſcentibus, hoſtibuſque fretum intronavigantibus, ne Plennium quidem in urbe egregie munita exſpectans, cum ſeptemdecim illis navibus, quas dixi, *Meſſana profugit ad Antonium*; cujus matrem in ſimili periculo olim ſervaverat. Plennius mox poſt ejus diſceſſum Meſſanam pervenit, & urbem eam tenuit. *Cæſar* in caſtris ad Naulochos manſit, *Agrippa* juſſo *Meſſanam* obſidere: quod ille fecit una cum *Lepido*. Plennio vero legatos de pace mittente; Agrippa rem differendam in matutinum cenſuit, dum Cæſar adveniſſet: Lepidus vero

A. U. 718. καὶ τὸν τοῦ Πλεννίου στρατὸν οἰκειούμενος ἑαυτῷ, συνεχώρει διαρπάσαι τὴν πόλιν μετὰ τοῦ ἄλλου στρατοῦ. Καὶ οἱ μὲν, ἐπὶ τῇ σωτηρίᾳ, περὶ ἧς δὴ καὶ μόνης παρεκάλουν, κέρδος ἀδόκητον εὑρόμενοι, τὴν Μεσσήνην ὅλῃ τῇ νυκτὶ μετὰ τῶν Λεπίδου διήρπαζον, καὶ μετεστρατεύοντο τῷ Λεπίδῳ.

CXXIII. Ὁ δὲ, σὺν τούτοις ἔχων δύο καὶ εἴκοσι τέλη πεζῶν καὶ ἱππέας πολλοὺς, ἐπῄρετο· καὶ κρατήσειν ἐδόκει Σικελίας, πρόφασιν ἔχων ὅτι πρῶτος ἐπιβαίη τῆς νήσου, καὶ πλέονας πόλεις ἐπαγάγοιτο. ἔς τε τὰ φρούρια αὐτίκα περιέπεμπε, τοὺς παρὰ τοῦ Καίσαρος ἐλευσομένους μὴ προσίεσθαι, καὶ τὰ στενὰ πάντα ἐκρατύνετο. Ὁ δὲ Καῖσαρ ἦλθε μὲν τῆς ἐπιούσης, καὶ ἐμέμφετο τῷ Λεπίδῳ διὰ τῶν φίλων, οἳ σύμμαχον αὐτὸν ἔφασκον ἐλθεῖν Καίσαρι ἐς Σικελίαν, οὐχ ἑαυτῷ κατακτησόμενον αὐτήν. Ὁ δὲ ἀντενεκάλει, τῆς προτέρας τάξεως ἀφῃρῆσθαι, καὶ μόνον ἔχειν αὐτὴν Καίσαρα· βουλομένῳ τε νῦν ἀντιδιδόναι

Lin. 47. τὸν Πλεννίου *Edd. ex Reg A. Adjeci* τοῦ *cum Aug.* & *Reg. B.*
L. 60. σύμμ. ἔφασκον αὐτὸν *Edd. Dedi seriem verb. ex Aug.*

pacem dedit; &, ut *Plennii milites* sibi conciliaret, urbem eis ex æquo cum reliquo exercitu diripiendam concessit. Qui præter salutem, quam solam precati erant, lucrum insperatum nacti, *translatis ad Lepidum signis*, *Messanam* per totam noctem *una cum Lepidi militibus diripuerunt.*

123. Quorum accessione *Lepidus* auctus usque ad viginti duarum legionum numerum cum equitatu valido, elatus est animo, & *de obtinenda sibi Sicilia cogitavit*, eo jure quod prior exscendisset in insulam, & plures civitates in fidem accepisset. Protinusque ad præsidia oppidorum circummisit, vetans ne Cæsarianos admitterent; & fauces ubique obsedit. Ac *Cæsar* quidem, postridie adveniens, *expostulavit* per amicos *cum Lepido*, qui ajebant, auxilio eum venisse Cæsari in Siciliam, non ut sibi eam adquireret. Sed ille, ademtum sibi, regerebat, pristinum dignitatis potentiæque gradum, quo nunc solus Cæsar potiatur; cui, si id placeat, libenter se permutatu-

Λιβύην καὶ Σικελίαν ὑπὲρ ἐκείνης. Χαλεπαίνων δ᾽ ὁ Καῖσαρ, ἦλθε μὲν καὶ αὐτὸς ὑπὸ ὀργῆς, ὀνειδιῶν τὸν Λέπιδον ἐς ἀχαριστίαν. διαπειλησάμενοι δὲ ἀλλήλοις διέστησαν· καὶ αὐτίκα αἵ τε φυλακαὶ διεκρίθησαν, καὶ αἱ νῆες ὥρμουν ἐπ᾽ ἀγκυρῶν· ἐλέχθη γὰρ αὐτὰς ἐπινοεῖν ὁ Λέπιδος ἐμπρήσειν. *A. U.* 718.

CXXIV. Ὁ δὲ στρατὸς ἤχθετο, εἰ πολεμήσουσιν αὖθις ἐμφύλιον πόλεμον ἕτερον, καὶ οὔ ποτε σφᾶς ἐπιλείψουσιν αἱ στάσεις. Οὐ μὴν ἐν ὁμοίῳ Καίσαρα καὶ Λέπιδον ἐτίθεντο, οὐδὲ οἱ τῷ Λεπίδῳ στρατευόμενοι· ἀλλὰ καὶ τῆς ἀρετῆς τὸν Καίσαρα ἐθαύμαζον, καὶ τὴν ἀργίαν συνῄδεσαν Λεπίδῳ, καὶ τῆς ἁρπαγῆς αὐτὸν ἐπεμέμφοντο αὐτῆς, ἐς τὸ ἴσον τοῖς ἡσσημένοις καταστάντες. Ὧν ὁ Καῖσαρ πυνθανόμενος, περιέπεμπε τοὺς τὰ συμφέ-

Lin. 66 *sq.* ἀλλήλοις συνέστησαν *Edd. cum Regiis.* ἐπέστησαν *Ven.* διέστησαν *recte dedit Aug.* & discessere *Cand.* *L.* 68. ἐπινοῶν *Edd. ex Reg. A. Praetuli Aug. Reg. B.* *L.* 69. ἐμπρῆσαι *Edd. Rectius Aug. Ven.* *L.* 75 *sq.* ἐπεμέμφοντο, αὐτοῖς ἐς τὸ ἴσον τοῖς ἡσσημένοις καταστάντα *Edd.* ἐπεμέμφοντο, αὐτῆς ἐς τὸ ἴσον τῆς ἡσσημένης *Regii.* ἐπεμέμφοντο αὐτῆς, ἐν το ἴσον τῆς ἡσσημένοις (*sic*) *Aug. Revocavi* αὐτῆς *ex MSStis, quod mutavit Car. Stephanus, & retuli ad praecedentia cum Aug. Mallem tamen* αὐτοὶ ἐς τὸ ἴσον τοῖς ἡσσημ. *quod & Musgravio placuit. Pro* καταστάντα *autem, (lin. 76.) quod ex suo ingenio perperam dedit C. Stephanus, quatuor nostri MSSti in* καταστάντες *consentiunt.*

rum Africam & Siciliam pro his quae sibi adempta sint. Id indigne ferens *Caesar*, non tenuit iram, quin ipse *Lepidum* conveniret, & ingratitudinem ei exprobraret. Sed *jactatis ultro citroque minis* a *se invicem discesserunt*: & continuo seorsim actae sunt ab utroque excubiae, & Caesaris naves paratae steterunt in ancoris: dicebatur enim de illis incendendis cogitare Lepidus.

124. Id vero pergraviter tulit exercitus, novum si rursus immineret civile bellum, & numquam finem essent habiturae contentiones. Neque tamen Lepidum conferebant cum Caesare, ne ipsius quidem Lepidi *milites*; *mirantes virtutem Caesaris*, & *Lepidi* non solum *segnitiem*, sed & nuperam iniquitatem *damnantes*, quod in direptione Messanae victis ipsos aequavisset. Quibus rebus intellectis, *Caesar*, circummissis idoneis homini-

A. U. 718. ροντα παραινέσοντας κρύφα ἑκάστοις. ὡς δὲ αὐτῷ διεφθάρατο πολλοὶ, καὶ μάλιστα οἱ γενόμενοι τοῦ Πομπηΐου, διὰ δέος τοῦ μή πω τὰς σπονδὰς βεβαίους σφίσιν, εἰ μὴ συνθοῖτο ὁ Καῖσαρ, εἶναι· ἀγνοοῦντος ἔτι ταῦτα τοῦ Λεπίδου δι' ἀπραξίαν, ὁ Καῖσαρ ἐπῆλθεν ἐπὶ τὸ στρατόπεδον αὐτοῦ σὺν ἱππεῦσι πολλοῖς· οὓς πρὸ τοῦ χάρακος καταλιπὼν, ἐσῄει μετ' ὀλίγων, καὶ παριὼν ἐπεμαρτύρετο ἑκάστους ἄκων ἐς πόλεμον καθίστασθαι. Ἀσπαζομένων δ' αὐτὸν ὡς αὐτοκράτορα τῶν ὁρώντων, οἱ Πομπηϊανοὶ πρῶτοι συνέθεον, ὅσοι διεφθάρατο, καὶ συγγνῶναι σφίσι παρεκάλουν. ὁ δ' ἔλεγε θαυμάζειν, εἰ, συγγνώμην αἰτοῦντες, οὐ πράσσουσιν οὔπω τὰ σφίσιν αὐτοῖς συνοίσοντα. οἱ δὲ, συνέντες, αὐτίκα ἥρπαζον τὰ σημεῖα, καὶ ἐς τὸν Καίσαρα μετέφερον, καὶ σκηνὰς ἔλυον ἕτεροι.

CXXV. Καὶ τοῦ θορύβου Λέπιδος αἰσθόμενος, ἐξέθορε τῆς σκηνῆς ἐπὶ τὰ ὅπλα. βολαί τε ἦσαν ἤδη, καὶ τῶν ὁπλοφόρων τις τῶν Καίσαρος ἔπιπτε, καὶ αὐτὸς ὁ Καῖσαρ ἐς τὸν θώρακα ἐβλήθη· τὸ δὲ βέλος οὐκ ἐξίκετο

Lin. 78 *sq.* διεσπάρατο *Reg. A. male.* *L.* 85. ἑκάστοις *Aug.*

bus, clam singulos commonuit, ut rebus suis consulerent. Corruptisque jam compluribus, præsertim his, qui Pompejo militaverant, & nondum satis firmam sibi pacem nunc fore putabant, ni & *Cæsar* fidem daret; *ad castra Lepidi*, securi etiam tum & ignari quid ageretur, accessit cum magno equitum numero. Quibus ante vallum relictis, cum paucis intravit; procedensque in medium, singulos testatus est, invitum se trahi ad bellum. Ibi vero salutantibus Imperatorem proximis, *Pompejani* primi adcurrerunt, quotquot corrupti fuerant, veniamque petierunt. Ille „mirari se, ajebat, veniam eos petere; nec dum tamen, quod in rem ipsorum conducat, facere." Intellexerunt dictum: moxque arrepta *signa transtulerunt ad Cæsarem*, & alii detendebant tentoria.

125. Eum tumultum ubi sensit *Lepidus*, *ad arma prosiliit* e tentorio: commissaque velitatione, unus armigerorum Cæsaris cecidit, & ipse *Cæsar in thoracem telum recepit*, quod tamen ad cutim

ἐπὶ τὸν χρῶτα, ἀλλὰ δρόμῳ διέφυγεν ἐπὶ τοὺς ἱππέας. *A. U.* Λεπίδου δέ τι φρούριον ἐπετώθασε τῷ δρόμῳ· καὶ οὐκ *718.* ἀνέσχεν ὁ Καῖσαρ ὑπὸ ὀργῆς, πρὶν ἐξελεῖν αὐτὸ σὺν τοῖς ἱππεῦσι, καὶ καθελεῖν. Ἑτέρων δ᾽ αὖ φρουρίων ἡγεμόνες, οἱ μὲν αὐτίκα, οἱ δὲ νυκτὸς, μετετίθεντο ἐκ Λεπίδου πρὸς Καίσαρα· οἱ μὲν ἄνευ τινὸς πείρας, οἱ δὲ καὶ ἐς ὑπόκρισιν ὑπὸ ἱππέων μικρὰ ἐνοχληθέντες. εἰσὶ δ᾽ οἳ τὰς προσβολὰς ἔτι ὑπέμενον καὶ ἀπεκρούοντο· καὶ γὰρ ὁ Λέπιδος περιέπεμπεν ἐς πάντα ἐπικούρους. Καὶ αὐτῶν δὲ τῶν ἐπικούρων μεθισταμένων, ἡ λοιπὴ τοῦ Λεπίδου στρατιὰ, καὶ εἴ τις εὔνους ἔτι ἦν, ἐτρέπετο τῇ γνώμῃ. καὶ πρῶτοι μὲν αὖθις οἱ Πομπηϊανοὶ, ὅσοι ἔτι ἦσαν παρ᾽ αὐτῷ, μετεπήδων κατὰ μέρη. Λεπίδου δ᾽ ἐς κώλυσιν αὐτοῖς τοὺς ἑτέρους ἐξοπλίσαντος, οἱ ἐπὶ κώλυμα τῶν ἄλλων ὁπλισάμενοι, τὰ ἑαυτῶν ἐπήγοντο σημεῖα, καὶ σὺν τοῖς ἑτέροις ἐχώρουν πρὸς τὸν Καίσαρα. Λέπιδος δ᾽ αὐτοῖς ἀπιοῦσιν ἠπείλει, καὶ ἐδεῖτο, καὶ τῶν σημείων εἴχετο, καὶ οὐ μεθήσειν ἔλεγε· μέχρι τῶν φε-

non pervenit; moxque curſim ille ſe recepit ad equites. Sic currentem cuſtodes caſtelli cujuſdam cavillati ſunt: quam contumeliam non ferens *Cæſar*, iram prius non poſuit, quam cum ſuccurrentibus equitibus ſuis & expugnaſſet caſtellum & præſidiarios interfeciſſet. Sed ceterorum caſtellorum præfecti, pars continuo, pars nocte inſequenti *a Lepido ad Cæſarem defecerunt*: quidam ne ſollicitati quidem, alii in ſpeciem tantum infeſtati ab equitibus. Non defuere tamen, qui oppugnatores etiam ſuos ſerio adhuc repellerent: nam *Lepidus* quoquoverſum ſubmittebat auxilia. Sed & ipſa auxilia quum tranſitionem facerent, *reliquus ejus exercitus*, quamvis non male illi volens, mutabat ſententiam. Ac rurſus primi Pompejani, quotquot adhuc in officio permanſerant, *agminatim tranſibant* alii poſt alios. Quumque *Lepidus* ad eos continendos armaret alios; hi ipſi ad continendos commilitones armati, prehenſis ſignis, una cum alteris ad Cæſarem diſcedebant. Lepidus minis ac precibus cum abeuntibus agebat, ſigna retentans, & ea ſe dimiſſurum negans; donec unus e ſigni-

A. U. 718. ρόντων αὐτά τις εἶπε μεθήσειν ἀποθανόντα, καὶ δείσας μεθῆκεν.

CXXVI. Οἱ δὲ ἱππεῖς τελευταῖοι χωροῦντες ἔπεμψάν τινα, πευσόμενοι τοῦ Καίσαρος, εἰ κτείνωσι Λέπιδον, οὐκ ἔτι ὄντα αὐτοκράτορα· ὁ δὲ ἀπεῖπεν. Οὕτω Λέπιδος, ἀδοκήτῳ πάντων ἀπιστίᾳ συμπεσὼν, ἔρημος ἐκ τύχης τοσῆσδε καὶ στρατοῦ τοσοῦδε ἐγίγνετο ἐν βραχεῖ. καὶ τὸ σχῆμα ἀλλάξας, ἔθει πρὸς τὸν Καίσαρα, δρόμῳ συντρεχόντων ὡς ἐπὶ θέᾳ τῶν ὁρώντων. Ὁ δὲ Καῖσαρ ὑπανέστη τε αὐτῷ προσθέοντι, καὶ προσπεσεῖν ἐθέλοντα κωλύσας, ἔπεμψεν ἐς Ῥώμην, ἐφ᾽ οὗπερ ἦν σχήματος, ἰδιώτην ἀπ᾽ αὐτοκράτορος, οὐδὲν ἔτι πλὴν ἱερέα ἧς εἶχεν ἱερωσύνης. Ὁ μὲν δὴ, καὶ αὐτοκράτωρ πολλάκις, καὶ τῶν τριῶν ἀνδρῶν γενόμενος, ἄρχοντάς τε ἀποφήνας, καὶ προγράψας ἐπὶ θανάτῳ τοσούσδε ὁμοτίμους, ἰδιωτεύων, καὶ ἐνίοις τῶν προγραφέντων ἄρχουσιν ὕστερον παριστάμενος, διεβίωσε.

CXXVII. Πομπήϊον δὲ ὁ μὲν Καῖσαρ οὐκ ἐδίωκεν, οὐδ᾽

Lin. 19. πευσάμενοι *Edd. Prætuli Aug. Ven. Cand. Ibid.* εἰ κτενοῦσι *malim cum Musgravio.*

feris „Dimittes ea vel mortuus" dixit. Tum demum cessit territus.

126. Postremi *defecerunt equites*, miseruntque *ad Cæsarem* sciscitatum „interficerentne Lepidum, quippe non amplius imperatorem?" Quod ille tamen non permisit. Atque ita LEPIDUS, nec opinans *desertus ab omnibus*, tanta felicitate tantique exercitus imperio brevi temporis momento excidit: mutatoque cultu properavit ad Cæsarem, aliis pariter festinantibus velut ad spectaculum. Cui *Cæsar* adsurrexit, nec passus est ad genua sibi accidere; sed eo quo erat habitu *privatum Romam misit*, ademto imperio, sacerdotio tantum relicto. Ab hoc tempore ille, sæpius antea Imperator, & quondam Triumvir, qui magistratus creaverat, & tot pari dignitate præditos proscripserat, privatam vitam exegit; in qua nonnullis quoque ex his qui ab illo olim proscripti fuerunt, magistratus deinde adeptis, supplex factus est.

127. Ceterum POMPEJUM *Cæsar* nec ipse persecutus est,

ἑτέροις ἐπέτρεπε διώκειν· εἴτε ὡς ἐς ἀλλοτρίαν ἀρχὴν τὴν Ἀντωνίου φυλασσόμενος ἐμβαλεῖν· εἴτε καραδοκῶν τὸ μέλλον, καὶ τὰ ἐς αὐτὸν ἐσόμενα ἐξ Ἀντωνίου, καὶ πρόφασιν ἔχων διαφορᾶς, εἰ μὴ δίκαια γίγνοιτο· (οὐ γὰρ ἀνύποπτοί γε ἦσαν ἐκ πολλοῦ, διὰ φιλαρχίαν, ὅτε τοὺς ἄλλους ἐξέλοιεν, ἀλλήλοις διοίσειν·) εἴθ', ὡς αὐτὸς ἔλεγεν ὕστερον ὁ Καῖσαρ, ὅτι μὴ γίγνοιτο τοῦ πατρὸς ἀνδροφόνος ὁ Πομπήϊος. Τὴν δὲ στρατιὰν συνῆγε, καὶ ἐγένετο αὐτῷ τέλη μὲν ὁπλιτῶν πέντε καὶ τεσσαράκοντα, καὶ ἱππεῖς δισμύριοι καὶ πεντακισχίλιοι, κοῦφοι δέ, τῶν ἱππέων ὑπὲρ ἡμιολίους, μακραί τε νῆες ἑξακόσιαι· τὸ δὲ τῶν φορτίδων πλῆθος, καίπερ ὂν ἄπειρον, τοῖς δεσπόταις διέπεμψε. Καὶ τὸν στρατὸν ἐπινικίοις ἐδωρεῖτο, τὰ μὲν ἤδη διδοὺς, τὰ δὲ ὑπισχνούμενος, στεφάνους τε καὶ τιμὰς ἅπασιν ἔνεμε, καὶ συγγνώμην τοῖς ἡγεμόσιν ἐδίδου τοῦ Πομπηΐου. A. U. 718.

CXXVIII. Ζήλου δὲ αὐτῷ γέμοντι ἐπὶ τούτοις, τὸ δαι-

Lin. 38 ſq. αὐτὸς ὕστερον ἔλεγεν *Edd. Dedi ſeriem verb. ex Aug. L. 39. Pro* γίγνοιτο *dat mend.* μίγνυτο *Reg. B. L. 41.* καὶ ἱππεῖς δὲ *Edd. Delevi* δὲ *cum Aug. L. 45.* διέπεμψε *Edd. Prætuli Aug. Ven.*

nec alios perſequi ſivit: ſive quod nollet invadere in alienum imperium Antonii; ſive quod futura ſpectaret conatuſque Antonii, habiturus juſtam occaſionem diſſidii, ſi quid ille præter æquum feciſſet; (jam pridem enim haud ſane obſcurum erat, hos duos, ſublatis aliis, propter imperandi cupiditatem inter ſe ipſos eſſe decertaturos;) ſive, ut ipſe *Cæſar* ajebat poſtea, quia Pompejus in parricidarum non fuerat numero. Coactis autem in unum copiis, repertæ *Cæſaris* ſunt *legiones XLV: equitum XXV. M.* levis armaturæ tantundem quantum equitum & dimidium inſuper: *naves longæ DC*: onerarias autem, numero pæne infinitas, ad proprios dominos remiſit. Jamque militibus donativum ob victoriam dedit, plura in futurum pollicitus: coronas quoque alioſque honores diſtribuit omnibus; & Pompejanis ducibus veniam conceſſit.

128. Huic tantæ *Cæſaris* felicitati fortuna invidit: nam

A. U. 718. μόνιον ἐνεμέσησε τοῦ ζήλου· καὶ ὁ στρατὸς ἐστασίασεν, ὃ οἰκεῖος αὐτοῦ μάλιστα, ἀπολυθῆναί τε τῆς στρατείας ἐπειγόμενοι, καὶ γέρα λαβεῖν ὅμοια τοῖς ἐν Φιλίπποις ἀγωνισαμένοις. Ὁ δὲ ᾔδει μὲν, οὐχ ὅμοιον ἐκείνῳ τόνδε τὸν ἀγῶνα· ὑπισχνεῖτο δ᾽ ὅμως, τὰ ἄξια δώσειν σὺν τοῖς ὑπ᾽ Ἀντωνίῳ στρατευομένοις, ὅτε κἀκεῖνος ἀφίκηται. περὶ δὲ τῆς ἀστρατείας ὑπεμίμνησκε σὺν ἀπειλῇ τῶν πατρίων νόμων τε καὶ ὅρκων καὶ κολάσεων. οὐκ εὐπειθῶς δὲ ἀκροωμένων, ὑφῆκε τῆς ἀπειλῆς, ἵνα μή τις ἐκ τῶν νεολήπτων στρατῶν ἐπιγένοιτο θόρυβος· καὶ ἔλεγεν, ἐν καιρῷ τε ἀπολύσειν σὺν Ἀντωνίῳ, καὶ ἄξειν νῦν οὐκ ἐπ᾽ ἐμφύλια ἔτι, πεπαυμένα σὺν τύχῃ χρηστῇ, ἐπὶ δ᾽ Ἰλλυριοὺς, καὶ ἕτερα ἔθνη βάρβαρα, σαλεύοντα τὴν μόλις κτηθεῖσαν εἰρήνην, ὅθεν καταπλουτιεῖν αὐτούς. Οἱ δ᾽, οὐκ, ἔφασαν, αὖθις στρατεύεσθαι, πρὶν τῶν προτέρων λαβεῖν γέρα τε καὶ τιμάς. Ὁ δὲ, οὐκ, ἔφη, τὰς τιμὰς οὐδὲ νῦν ἀνατίθεσθαι· πολλὰς δὲ δοὺς, προστιθέναι στε-

Lin. 52. ἐπειχόμενοι *edit.* 3. *vit.* *L.* 56. τῆς στρατείας *Edd. truncato nomine. Recte Aug.* *L.* 63. κλησθεῖσαν *Aug.* *L.* 64. ἔφθασαν *Aug. Reg. B. male.* *L.* 64. στρατεύσεσθαι *puto legendum.*

exercitus, præſertim ipſius proprius, *ſeditionem movit*, miſſionem flagitans, & præmia paria eis quæ Philippenſi prælio victores acceperant. Et *Cæſar*, quum hoc certamen cum altero illo non conferendum ſciret, promiſit tamen, *accepturos digna præmia una cum Antonii militibus, quando ille rediiſſet.* Quod autem ad *vacationis flagitationem* adtinet, minaciter admonuit milites ſacramenti diſciplinæque, a majoribus acceptæ. Sed quum perſiſterent in contumacia, remiſit minas, ne quis tumultus ab exercitibus dedititiis etiam accederet: promiſitque, ſe cum Antonio eos dimiſſurum juſto tempore: nunc uſurum opera eorum non ad bella civilia amplius, quæ deo fortunante ſepulta ſint; ſed contra Illyrios aliaſque gentes barbaras, pacem vix partam labefactantes: ex qua militia percepturi eſſent lucra uberrima. Negarunt illi, novam ſe prius ſubituros militiam, quam præteritorum laborum repræſentata ſibi fuerint præmia honoreſque. Reſpondit, honores ſe ne nunc quidem differre; ſed, præter plures jam collatos, alias

φάνους ἔτι τοῖς τέλεσιν ἄλλους, καὶ λοχαγοῖς καὶ χι- *A. U.*
λιάρχοις περιπορφύρους ἐσθῆτας, καὶ βουλευτικὴν ἐν 718.
ταῖς πατρίσιν ἀξίωσιν. Ἔτι δὲ αὐτοῦ τοιάδε προστιθέντος ἕτερα, ὑπεφώνησε χιλίαρχος Ὀφίλλιος, στεφάνους μὲν καὶ πορφύραν εἶναι παισὶν ἀθύρματα· στρατοῦ δὲ γέρα, χωρία καὶ χρήματα. Καὶ τοῦ πλήθους ἐπιβοήσαντος ὅτι ὀρθῶς λέγοι, ὁ μὲν Καῖσαρ ἀπέστη τοῦ βήματος δυσχεραίνων· οἱ δὲ ἀμφὶ τὸν χιλίαρχον ἦσαν, ἐπαινοῦντές τε, καὶ τοῖς οὐ συνισταμένοις αὐτῷ λοιδορούμενοι. ὁ δὴ ἔφη, καὶ μόνος ἀρκέσειν ἐπὶ οὕτω δικαίοις· ἀλλ' ὁ μὲν, τόδε εἰπὼν, ἐς τὴν ἐπιοῦσαν ἀφανὴς ἦν, καὶ οὐδὴ ὅ τι γένοιτο ἐγιγνώσκετο.

CXXIX. Ὁ δὲ στρατὸς οὐκ ἔτι μὲν, ὑπὸ δέους, οὐδεὶς καθ' ἕνα ἐφθέγγετο· κοινῇ δὴ ἐβόων, ἀνὰ μέρη συνιστάμενοι, ἀφεθῆναι τῶν στρατειῶν. Ὁ δὲ Καῖσαρ αὐτῶν τοὺς μὲν ἄρχοντας ἐξωμίλει ποικίλως· τῶν δὴ ἐν Φιλίπποις

Lin. 69. περιτιθέντος *Edd. Prætuli Aug.* *L.* 70. Ὀφίλλιος *Regii, Aug.* & Hoffilius *Cand.* *L.* 71 *sq.* στρατοῦ δὴ ἕτερα χωρία, καὶ χρημ. *edit.* 1. *cum Regiis & Aug. Tenui emendationem H. Steph.* *L.* 74. χιλιαρχον, ἦσαν ἐπαιν. *Edd. & MSSti. Delevi distinctionem post* χιλίαρχον *cum Musgravio : & sub* η *in* ἦσαν *subscripsi Jota. Malim autem* ᾔεσαν, *cum eodem Musgrav.* *L.* 80. καθ' ἕνα ἐφθέγγετο *Reg. B. male.*

etiam coronas legionibus addere, & prætextas tribunis ac centurionibus, senatoriamque dignitatem cuique in sua patria. Hæc & alia his similia dum militibus Cæsar offert; exclamavit tribunus *Ofilius* „*corollas et prætextas puerorum esse oblectamenta ; militum præmia agros esse et pecunias.*" Quod postquam „recte dictum" conclamavit multitudo; indignatus *Cæsar* discessit e tribunali: milites autem circumstabant tribunum, laudantes hominem, & reliquis, qui se ad eos non adgregarent, convicia ingerentes. Sed ille „vel se solum, inquit, ad tuendam tam justam causam suffecturum." His vero dictis, sequenti die nusquam amplius homo comparuit; nec, quid illi acciderit, compertum est.

129. Tum milites non amplius singuli, propter metum, sed gregatim uno ore vociferabantur, missionem postulantes. Horum præfectos *Cæsar* variis molliebat adloquiis: *eis vero qui ad Philippos et Mu-*

A. U. 718. καὶ Μουτίνῃ στρατευσαμένων, ὡς χρονιωτέρων ἄρα ὄντων, ἐδίδου τοῖς θέλουσιν ἀποστρατεύσεσθαι· καὶ γενομένους ἐς δισμυρίους εὐθὺς ἀπέλυε, καὶ ἐξέπεμπε τῆς νήσου, μὴ διαφθείραιεν ἑτέρους· τοσόνδε τοῖς ἐκ Μουτίνης μόνοις ἐπειπών, ὅτι σφίσιν ἀποδώσει τὰ τότε ὑπεσχημένα, καίπερ οὕτως ἀπολυθεῖσιν. Ἐς δὲ τὸ ἄλλο πλῆθος ἐπελθὼν, τοὺς μὲν ἀποστάντας ἐμαρτύρετο τῆς ἐπιορκίας, οὐ κατὰ γνώμην τοῦ αὐτοκράτορος τῆς στρατείας ἀπολυθέντας· τοὺς δὲ παρόντας ἐπῄνει, καὶ ἐπήλπιζεν ἀπολύσειν μὲν ταχέως, ὅτε μηδεὶ μετανοήσει, καταπλουτιεῖν δὲ ἀπολύων, καὶ νῦν ἐπιδιδόναι δραχμὰς πεντακοσίας ἑκάστῳ. Τοιάδε εἰπὼν, Σικελίᾳ μὲν ἐπέβαλλεν ἐσφορὰν, χίλια τάλαντα καὶ ἑξακόσια, στρατηγοὺς δ' ἀπέφαινε Λιβύης καὶ Σικελίας, καὶ στρατὸν ἐς ἑκατέραν διῄρει· καὶ τὰς ναῦς τὰς Ἀντωνίου διέπεμψεν ἐς Τάραντα, καὶ τοῦ λοιποῦ στρατοῦ τὸν μὲν προὔπεμπεν ἐς τὴν Ἰταλίαν ἐπὶ νεῶν, τὸν δ' ἐπαγόμενος αὐτὸς ἐκ τῆς νήσου διεπέρα.

Lin. 84. ἀντιστρατεύεσθαι *Edd.* ἀντιστρατεύσασθαι & ἀντιστρατεύσεσθαι *Ven. Rectius Aug. quem secutus sum. Malim tamen* ἀποστρατεύεσθαι. *L.* 87. τά τε ὑπεσχημ. *Edd. cum Regiis, mend. Recte Aug. L.* 94 *sq.* ἐπέβαλεν *Aug.*

tinam meruerant, ut diuturniore militia defunctis, *missionem concessit.* Dimissosque, numero ad vicies mille, protinus ablegavit ex insula, ne contagione seditionis alios corrumperent: hoc tantum ad Mutinensis belli veteranos effatus, quamvis sic dimissis, redditurum se tamen ea quæ tunc illis promissa fuissent. Reliquos vero pro concione adloquens, testes faciebat perjurii discedentium, non ex imperatoris sententia dimissorum: ipsos vero laudabat, brevi secuturæ missionis spem faciens: foreque ut nec officii quemquam pœniteat, & dimittantur ditati: nunc addere se viritim quingenos denarios. Post concionem, indixit tributum Siciliæ MDC talenta: designavitque proprætores Africæ ac Siciliæ, parte exercitus cuique harum provinciarum adtributa. Tum naves Antonii Tarentum misit: reliquum exercitum partim præmisit in Italiam, partim ipse secum duxit decedens ex insula.

CXXX. Ἐρχομένῳ δὲ ἥ τε βουλὴ τιμὰς ἐψηφίσατο ἀμέτρους, ὧν αὐτὸν ἐποίουν κριτὴν, ἢ πάσας λαβεῖν, ἢ ὅσας δοκιμάσειε· καὶ ὑπήντων ὅτι πορρωτάτω καὶ αὐτοὶ καὶ ὁ δῆμος ἐστεφανωμένοι, ἔς τε τὰ ἱερὰ καὶ ἐκ τῶν ἱερῶν ἐς τὴν οἰκίαν ἀπιόντα παρέπεμπον. Τῆς δὲ ἐπιούσης αὐτὸς ἐβουληγόρησέ τε καὶ ἐδημηγόρησε, τὰ ἔργα καὶ τὴν πολιτείαν ἑαυτοῦ τὴν ἀπ' ἀρχῆς ἐς τοτε καταλέγων· καὶ τὰ εἰρημένα συγγράψας, τὸ βιβλίον ἐξέδωκε· κατήγγελλέ τε εἰρήνην καὶ εὐθυμίαν, ἐς τέλος τῶν ἐμφυλίων ἀνῃρημένων, καὶ τῶν ἐσφορῶν τοὺς ἔτι ὀφείλοντας ἀπέλυε, καὶ φόρων τελώνας τε, καὶ τοὺς τὰ μισθώματα ἔχοντας, ὧν ἔτι ὀφείλοιεν. Ἐκ δὲ τῶν ἐψηφισμένων τιμῶν ἐδέχετο πομπὴν, ἐτήσιον τε ἱερομηνίαν εἶναι καθ' ἃς ἡμέρας ἐνίκα, καὶ ἐπινίκιος ἐν ἀγορᾷ χρύσεος ἑστάναι μετὰ σχήματος οὗπερ ἔχων ἐσῆλθε, περικειμένων τῷ κίονι νεῶν ἐμβόλων. Καὶ ἕστηκεν ἡ εἰκὼν, A. U. 718.

Lin. 10. κατήγγελλέ τε edit. 1. mend. ex Reg. B. κατήγγειλέ τε Reg. A. κατήγγειλέ τε edit. 2. 3. Prætuli Aug. L. 15. ἐπινίκιος nescio an cum Ursino in ΕΠΙ ΚΙΟΝΙ sit mutandum. L. 16 sq. περικειμένα Edd. Recte Aug. Ven. L. 17. νεῶν Edd. νέων Reg. A. Aug. Ven. Mu-

130. *Romam reverso* CÆSARI *senatus immodicos honores* decrevit; ipsi permittens, ut arbitratu suo vel omnes, vel quotquot placerent, acciperet: itumque est obviam quam longissime a coronatis tam senatoribus quam cetero populo: qui eum ad templa primum, deinde domum, deduxerunt. Sequenti vero die tam apud senatum quam pro concione populi oratione habita, res a se gestas *Cæsar* ordine recensuit, administrationemque reipublicæ, jam inde ex quo ad eam admotus est usque ad illum diem, exposuit: quas *orationes* a seipso conscriptas in vulgus deinde *edidit* multis exemplaribus: denunciavitque pacem & tranquillitatem, post sublata funditus bella civilia; & tributa nondum reddita condonavit debitoribus; pariterque publicanorum debita remisit, & mercedes nondum persolutas pro locationibus publicis. Ex honoribus autem per Senatusconsultum oblatis accepit *Ovationem*, & *annua solennia* diebus victoriæ, auratamque in foro statuam, triumphali habitu, quo urbem esset ingressus, insistentem columnæ

A. U. 718. ἐπιγραφὴν ἔχουσα, ὅτι, ΤΗΝ ΕΙΡΗΝΗΝ ΕΣΤΑΣΙΑΣΜΕΝΗΝ ΕΚ ΠΟΛΛΟΥ ΣΥΝΕΣΤΗΣΕ ΚΑΤΑ ΤΕ ΓΗΝ ΚΑΙ ΘΑΛΑΣΣΑΝ. 2

CXXXI. Τοῦ δὲ δήμου τὴν μεγίστην ἱερωσύνην ἐς αὐτὸν ἐκ Λεπίδου μεταφέροντος, ἣν εἴα ἔχειν νενόμισται μέχρι θανάτου, οὐκ ἐδέχετο· καὶ κτείνειν τὸν Λέπιδον ὡς πολέμιον κελευόντων, οὐκ ἠνείχετο. Ἐς δὲ τὰ στρατόπεδα πάντα σεσημασμένας ἔπεμψεν ἐπιστολὰς, ἐντελλόμενος 2
ἡμέρᾳ μιᾷ πάντας ἀνελήσαντας αὐτὰς ἐπιχειρεῖν τοῖς κεκελευσμένοις. καὶ ἦν τὰ ἐπεσταλμένα περὶ τῶν θεραπόντων, ὅσοι παρὰ τὴν στάσιν ἀποδράσαντες ἐστρατεύοντο, καὶ αὐτοῖς τὴν ἐλευθερίαν ᾐτήκει Πομπήϊος, καὶ ἡ βουλὴ καὶ αἱ συνθῆκαι δεδώκεσαν. Οἱ δὲ μιᾶς ἡμέρας 3
συνελαμβάνοντο· καὶ ἀχθέντας αὐτοὺς ἐς Ῥώμην ὁ Καῖσαρ ἀπέδωκεν αὐτῶν τε Ῥωμαίων καὶ Ἰταλῶν τοῖς δεσπόταις, ἢ διαδόχοις αὐτῶν· ἀπέδωκε δὲ καὶ Σικελιώταις. ὅσους δ᾽ οὐκ ἦν ὁ ληψόμενος, ἔκτεινε παρὰ ταῖς πόλεσιν αὐταῖς ὧν ἀπέδρασαν. CXXXII. Τοῦτο 3

tavi accentum. Ibid. Pro ἐμβολῶν *dat* ἐμβαλὰν *mend. Reg. B. Ib.* καὶ ἔστη μὲν ἡ εἰκὼν *Edd. Prætuli Aug. Reg. A. L. 27.* ἐπισταλμένα *Edd. errore ex Reg. B. propagato. L. 29 sq.* Πομπήϊος καὶ ἡ βουλὴ, καὶ αἱ συνθ. *Edd. cum MSS. Aliter distinguendam duxi orationem.*

rostris navium cinctæ. Ac posita est *statua* hoc Titulo: PACE POST DIUTURNAS TURBAS TERRA MARIQUE RESTITUTA.

131. Quum vero *Pontificatum maximum* populus a Lepido in eum vellet transferre, *nemini vivo* more majorum *adimi solitum*, *recusavit*: & quum Lepidum, ut hostem, necari juberent, non sustinuit. Ad omnes vero exercitus obsignatas misit literas, præcepitque, ut uno die aperirentur omnes, protinusque jussa peragerentur. Ea jussa pertinebant ad *servos*, *qui* dissensionum intestinarum tempore aufugerant & *militiæ erant adscripti*; quibus, poscente Pompejo, senatus ex fœdere libertatem concesserat. Quos uno *die comprehensos*, & in Urbem adductos, Romanis Italisque *dominis Cæsar* restituit aut eorumdem hæredibus: Siculisque pariter fugitivos suos remisit. Si quos autem nemo in servitutem adferebat, hos juxta ipsa oppida, unde quisque aufugerat, capite mulctavit.

132. Itaque

CXXXII. Τοῦτο μὲν δὴ τῶν τότε στάσεων ἐδόκει τέλος εἶναι. Καὶ ἦν ὁ Καῖσαρ ἐτῶν ἐς τότε ὀκτὼ καὶ εἴκοσι· καὶ αὐτὸν αἱ πόλεις τοῖς σφετέροις θεοῖς συνίδρυον. Λῃστευομένης δὲ κατὰ συστάσεις τῆς τε Ῥώμης αὐτῆς καὶ τῆς Σικελίας περιφανῶς, καὶ τῶν γιγνομένων ἁρπαγῇ μετὰ τόλμης, ἢ λῃστείᾳ λανθανούσῃ, μᾶλλον ἐοικότων· Σαβῖνος ὑπὸ Καίσαρος αἱρεθεὶς ἐς διόρθωσιν, πολὺν μὲν εἰργάσατο φόνον τῶν ἁλισκομένων, ἐνιαυτῷ δ' ὅμως εἰς εἰρήνην ἀφύλακτον ἅπαντα περιήγαγε. καὶ ἐξ ἐκείνου φασὶ παραμεῖναι τὸ τῆς στρατιᾶς τῶν νυκτοφυλάκων ἔθος τε καὶ εἶδος. Θαυμαζόμενος δὲ ὁ Καῖσαρ ἐπὶ τῷδε, ὀξέως οὕτως ἐξ ἀδοκήτου διωρθωμένῳ, πολλὰ τῆς πολιτείας ἐφίει τοῖς ἐτησίοις ἄρχουσι διοικεῖν κατὰ τὰ πάτρια, καὶ γραμματεῖα ὅσα τῆς στάσεως σύμβολα ἔκαιε, καὶ τὴν ἐντελῆ πολιτείαν ἔλεγεν ἀποδώσειν, εἰ παραγένοιτο ἐκ Παρθυαίων Ἀντώνιος· πείθεσθαι γάρ, κἀκεῖνον A. U. 18.

Lin. 36. Τοῦτο δὲ τῶνδε τότε στάσεων *Edd. ex Reg. B. Rectius Reg. A. cum Aug.* *L.* 43. *An pro* ὅμως *reponendum* ὁμῶς? eodem anno *Cund. nec expressit* ὅμως. *L.* 45. στρατείας *Edd. ex Reg. A. Praetuli Aug.* στρατιᾶς *Reg. B.*

132. Itaque jam dissensionum illorum temporum finis advenisse visus est. Et CÆSAR, *annum tunc ætatis agens vicesimum octavum, oppidatim inter deos tutelares est consecratus.* Sed quum Urbs ipsa Siciliaque palam infestaretur a latronibus, catervatim tanta audacia grassantibus, ut prædonibus similiores essent, quam occultis latronibus; *Sabinus* ad id corrigendum electus a Cæsare, multos comprehensos adfecit suppliciis: & intra annum securam pacem reddidit omnibus. Ex illoque tempore institutas ajunt *cohortes militares nocturnorum vigilum*, ea forma rationeque quæ ad hunc diem obtinet. Id tam opportunum & opinione citius remedium *Cæsari* egregiam existimationem peperit. Idemque jam multa quoque ad rempublicam pertinentia more majorum annuis magistratibus administranda permisit: &, crematis literis actisque omnibus, quæ dissensionum præteritarum documenta essent, pollicitus est „se integram populo restituturum rempublicam, quam primum rediisset Antonius: persuasum enim se ha-

A. U. 718. ἐθέλειν ἀποθέσθαι τὴν ἀρχὴν, τῶν ἐμφυλίων καταπεπαυμένων. Ἐφ' οἷς αὐτὸν, εὐφημοῦντες, εἵλοντο δήμαρχοι ἐς ἀεὶ, διηνεκεῖ ἄρα ἀρχῇ προτρέποντες τῆς προτέρας ἀποστῆναι. ὁ δὲ ἐδέξατο μὲν καὶ τήνδε· Ἀντωνίῳ δὲ ἐφ' ἑαυτοῦ περὶ τῆς ἀρχῆς ἐπέστελλεν. Ὁ δὲ καὶ Βύβλον ἀπιόντα πρὸς αὐτὸν ἐντυχεῖν ἐδίδασκεν· ἐς δὲ τὰ ἔθνη τοὺς ἡγεμόνας αὐτὸς ὁμοίως ἔπεμπε, καὶ ἐς Ἰλλυριοὺς ἐπενόει συστρατεύειν.

CXXXIII. Πομπήϊος δ' ἐκ μὲν Σικελίας ἄκρα Λακινίᾳ προσέσχε, καὶ τὸ ἱερὸν τῆς Ἥρας πλουτοῦν ἀναθήμασιν ἐσύλησε, φεύγων ἐς Ἀντώνιον. ἐς δὲ Μιτυλήνην καταχθεὶς, διέτριβεν, ἔνθα αὐτὸν ἔτι παῖδα μετὰ τῆς μητρὸς ὑπεξέθετο ὁ πατὴρ, Γαΐῳ Καίσαρι πολεμῶν, καὶ ἡττηθεὶς ἀνέλαβεν. Ἀντωνίου δὲ πολεμοῦντος ἐν Μηδίᾳ Μήδοις τε καὶ Παρθυαίοις, γνώμην ὁ Πομπήϊος ἐποιεῖτο, ἑαυτὸν ἐπανελθόντι ἐπιτρέψαι. ἐπεὶ δ' ἐπύθετο ἡσσῆσθαι

Lin. 66. Βίβλον *Edd. ex Reg. A. Dedi, ut alibi, scripturam Aug. Reg. B. L.* 67. ἐπιστρέψαι *mend. Aug. L.* 68. *Mendosa putavit verba* ὁμοίως μετέφερεν *Musgrav. nec tamen medicinam tentavit.*

bere, velle & illum deponere magistratum, sublatis bellis civilibus." Tum faustis exceptum adclamationibus *Cæsarem Tribunum plebis crearunt in perpetuum*, invitantes eum perpetuo hoc magistratu ad priorem deponendum. Et accepit eum honorem Cæsar: ceterum privatim ad Antonium de magistratu & imperio scripsit. *Antonius* vero *Bibulo* quoque, a se discedenti, mandata ad Cæsarem dedit: & in provincias præsides ipse misit similiter, cogitavitque socius expeditionis Illyricæ fieri.

133. POMPEJUS, e Sicilia fugiens, primum ad Lacinium promontorium adpulerat, ibique *fanum Iunonis* votivis donariis dives *spoliaverat*. Tum *Antonium petens*, delatusque *Mitylenen*, egit ibi aliquantisper, ubi eum olim cum matre, puerum adhuc, deposuerat pater bellum gerens cum Cæsare, victusque inde receperat. Jam quum bellum in Media cum Medis Parthisque *Antonius* gereret; *Pompejus* statuerat reverso in fidem se committere. Sed ubi victum audivit, & constans fama idem ferebat, rursum

Ἀντώνιον, καὶ τὸ συμβὰν ἡ φήμη ὁμοίως μετέφερεν, αὖθις ἦν ἐν ἐλπίσιν, ὡς ἢ διαδεξόμενος Ἀντώνιον, εἰ τέθνηκεν, ἢ μεριούμενος ἐπανελθόντι· ἐνθύμιός τέ οἱ συνεχὲς ἦν Λαβιηνὸς οὐ πρὸ πολλοῦ τὴν Ἀσίαν ἐπιδραμών. Ὧδε δὲ ἔχοντι ἀγγέλλεται Ἀντώνιος εἰς Ἀλεξάνδρειαν ἐπανελθών. Καὶ τεχνάζων ἔτι ἐπ' ἀμφότερα, διεπρεσβεύετο πρὸς αὐτὸν, ἐπιτρέπων ἐκείνῳ, καὶ φίλον εἶναι διδοὺς καὶ σύμμαχον, ἔργῳ δὲ τὰ Ἀντωνίου κατασκεπτόμενος. ἔς τε Θρᾴκην καὶ ἐς τὸν Πόντον ἔπεμπεν ἑτέρους κρύφα πρὸς τοὺς ἑκατέρων δυνάστας· ἐπινοῶν, εἰ μὴ κρατεῖ τῶν ἐνθυμουμένων, διὰ τοῦ Πόντου φυγεῖν ἐς Ἀρμενίαν. ἔπεμπε δὲ καὶ ἐς Παρθυαίους, ἐλπίσας, ἐς τὰ λοιπὰ τοῦ πολέμου τοῦ πρὸς Ἀντώνιον αὐτοὺς δέξασθαι προθύμως στρατηγὸν Ῥωμαῖόν τε καὶ παῖδα Μάγνου μάλιστα. τάς τε ναῦς ἐπεσκεύαζε, καὶ τὸν ἐν αὐταῖς στρατὸν ἐγύμναζεν, ὑποκρινόμενος ἢ δεδιέναι Καίσαρα, ἢ Ἀντωνίῳ τάδε παρασκευάζειν. *A. U. 718.*

Lin. 70. ἐνθύμιον τε *Aug.* ἐνθύμιοί τε *Ven. mend. uterque. L. 82.* ἐσκεύαζε *Edd. invitis MSStis, quorum lectionem revocavi. Ib. ſq.* ἐγύμνασεν *Edd. invito Reg. A. & Aug. Sex verba* καὶ τὸν *uſque* ἐγύμναζεν *omiſit Reg. B.*

ſpem concepit, aut ſucceſſurum ſe in univerſam Antonii, ſi periiſſet, potentiam; aut ſaltem in partem illius, ſi ſalvus rediiſſet *Antonius*, iri receptum: & obverſabatur ſemper animo ejus recens Labieni exemplum, qui Aſiam incurſaverat. His conſiliis occupato nunciatur *Antonius rediiſſe Alexandriam*. Proinde ad utrumque viam ſibi muniens, per legationes offerebat ſe illi amicum & ſocium: revera quidem hoc tantum agens, ut res ejus exploratas haberet.

Interim ad Thraciæ Pontique dynaſtas alios legatos clam mittebat; cogitans, ſi ea, quæ cupiebat, ab Antonio non impetraſſet, per Pontum fugere in Armeniam. Quin & ad Parthos miſit, ſperans, illos ad bellum nondum confectum adverſus Antonium libenter ſe duce uſuros, non ſolum Romano homine, ſed & Magni *Pompeii* filio. Simul vero naves reficiebat, & ſocios navales exercebat, nunc metum a Cæſare ſimulans, nunc parari hæc in uſum Antonii.

A. U. 718.

CXXXIV. Ὁ δὲ Ἀντώνιος πυθόμενος μὲν εὐθὺς ἀμφὶ τοῦ Πομπηίου, στρατηγὸν ἐπ' αὐτὸν Τίτιον ᾕρητο, καὶ, ναῦς καὶ στρατὸν ἐκ Συρίας λαβόντα, ἐκέλευε, πολεμοῦντι μὲν τῷ Πομπηίῳ πολεμεῖν κατὰ κράτος, ἐπιτρέποντα δὲ αὑτὸν Ἀντωνίῳ, μετὰ τιμῆς ἄγειν. Ἐλθοῦσι δὲ τοῖς πρέσβεσιν ἐχρημάτιζεν, ἀγγέλλουσιν οὕτως· Ἡμᾶς Πομπήϊος ἔπεμψεν, οὐκ ἀπορῶν μὲν ἐς Ἰβηρίαν, εἰ πολεμεῖν ἐγνώκει, διαπλεῦσαι· Φίλην οὖσαν αὐτῷ πατρόθεν, καὶ συλλαβοῦσαν ἔτι ὄντι νεωτέρῳ, καὶ καλοῦσαν ἐπὶ ταῦτα καὶ νῦν· αἱρούμενος δὲ εἰρηνεύειν τε σὺν σοὶ, καὶ πολεμεῖν, εἰ δεήσειεν, ὑπὸ σοί. Καὶ τάδε οὐ νῦν πρῶτον, ἀλλ' ἔτι κρατῶν Σικελίας, καὶ τὴν Ἰταλίαν πορθῶν, ὅτε σοι τὴν σὴν μητέρα περισώσας ἔπεμπε, προύτεινε. Καὶ εἰ ἐδέξω, οὔτ' ἂν ὁ Πομπήϊος ἐξέπεσε Σικελίας, (οὐ γὰρ ἂν Καίσαρι τὰς ναῦς κατ' αὐτοῦ παρέσχες,) οὔτ' ἂν σὺ ἡττήσω ἐν Παρθυαίοις, Καίσαρός σοι τὸν στρατὸν οὐ πέμψαντος ὃν συνέθετο· ἐκράτεις δ' ἂν ἤδη, πρὸς

Lin. 86. ἐπ' αὐτῷ *Aug. Reg. B.* *L.* 88. κατακράτος *Aug.* *L.* 89. ἄγειν *caret Reg. B. male.* *L.* 90. ἐχρημάτιζον *Edd. mend. Recte Aug.*

134. Sed *Antonius*, quamprimum audivit de *Pompeji* adventu, ducem adversus eum designavit *Titium*; cui mandavit, ut, classe & exercitu accepto e Syria, Pompejum bellum molientem vi reprimeret; quod si in fidem Antonii mallet recipi, adduceret eum honorifice. Tum LEGATI advenerunt POMPEJI; qui, *ad Antonium* admissi, hujusmodi verba fecerunt: „Misit nos ad te Pompejus: non quod in Hispaniam, si bellum placeret, non pateat cursus, provinciam ei conjunctam paterna amicitia; quæ, juniorem olim favore prosecuta, „nunc quoque pollicetur operam: sed quia vel tecum frui pace mavult, *Antoni*, vel tuis auspiciis (si res ita ferat) bellum gerere. Quod consilium non nunc demum cepit *Pompejus*: sed jamdudum, quum obtineret Siciliam, & popularetur Italiam, matre tibi servata remissaque, tibi illud significavit. Cujus amicitiam si tu admisisses; nec Pompejus ejectus esset e Sicilia, (non enim classem Cæsari præbuisses contra eum:) nec tu victus fuisses in Parthia, Cæsare non mittente exercitum ex fœdere: imo, præter ea quæ nunc tua sunt, etiam Italiam sub

οἷς εἶχες, καὶ τῆς Ἰταλίας. Οὐ δεξάμενόν δέ σε ταῦτα, ἐν καιρῷ τότε μάλιστα ἄν σοι γενόμενα, ἀξιοῖ καὶ νῦν, μὴ πολλάκις ὑπὸ Καίσαρος ἐνεδρευθῆναι λόγοις τε καὶ τῷ γενομένῳ κήδει· μνημονεύοντα, ὅτι Πομπηΐῳ τε κηδεύων μετὰ συνθήκας ἐπολέμησεν ἄνευ προφάσεως, καὶ Λέπιδον κοινωνὸν ὄντα τῆς ἀρχῆς τὸ μέρος ἀφείλετο, καὶ οὐδέτερα αὐτῶν ἐνείματό σοι. A. U. 718.

CXXXV. Λοιπὸς δὴ ἐς τὴν περιπόθητον αὐτῷ μοναρχίαν σὺ νῦν ὑπολείπῃ. ἤδη γάρ σοι καὶ ἐν χερσὶν ἦν, εἰ μὴ Πομπήϊος ἔτι ἦν ἐν μέσῳ. Καὶ τάδε εἰκὸς μὲν καὶ σὲ προορᾷν ἐπὶ σεαυτοῦ· προφέρει δέ σοι καὶ Πομπήϊος ὑπὸ εὐνοίας, αἱρούμενος ἄνδρα ἄκακον καὶ μεγαλόφρονα ἀντὶ ὑπούλου τε καὶ δολεροῦ καὶ φιλοτέχνου. οὐδὲ ἐπιμέμφεταί σοι τῆς δόσεως τῶν νεῶν, ἃς ἐπ' αὐτὸν Καίσαρι ἔδωκας ὑπ' ἀνάγκης, ἀντιλαβεῖν στρατὸν ἐς Παρθυαίους δεόμενος· ἀλλ' ὑπομιμνήσκει, τὸν οὐ πεμφθέντα

Lin. 11. *σὺ οὐ νῦν edit.* 1. *cum Regiis. Negantem partic. rectè delevit H. Steph. quam nec Aug. agnoſcit.* *L.* 17. *κατ' ἀνάγκην Reg. A.*

„tuam poteſtatem redegiſſes. Verum tamen, quantumvis a te neglectus opportuno tunc maxime tibi tempore, nunc quoque abs te petit, ne toties verbis & contracta adfinitate illudi tibi a Cæſare patiaris & inſidias fieri; memor, Pompejum quoque poſt fœdus, & poſt adfinitatem contractam, ſine cauſa bello ab eodem eſſe petitum; & Lepidum, imperii conſortem, portione ſua ſpoliatum; nec ad te quidquam ex utraque illa victoria rediiſſe.

135. „Nunc ſolus tu, *Antoni*, ſuperes, qui obſtes, quo minus ille potiatur dudum concupita monarchia. Jam nunc enim inter vos quoque digladiaremini, ſi Pompejus non fuiſſet in medio. Hæc quum ipſe per te providere debeas; tamen *Pompejus* te monet, pro ea qua te proſequitur benevolentia; mavultque viri ſimplicis & magnanimi amicitiam, quam ſubdoli, fucati, verſipelliſque. Neque vero exprobrat tibi naves Cæſari adverſus ſe commodatas; quas neceſſitate coactus dediſti, quum opus haberes contra Parthos exercitu: ſed admonet, quantum obfuerit

A. U. 718. στρατὸν προφέρων. Συνελόντι δὲ εἰπεῖν, Πομπήϊος ἑαυτὸν ἐπιτρέπει σοι μετὰ τῶν νεῶν ἃς ἔτι ἔχει, καὶ τοῦ στρατοῦ, πιστοτάτου γε ὄντος αὐτῷ, καὶ οὐδ' ἐν τῇ φυγῇ καταλιπόντος· εἰρηνεύοντι μὲν, μέγα κλέος, εἰ τὸν Μάγνου παῖδα περισώσαις· πολεμοῦντι δὲ, μοῖραν ἱκανὴν ἐς τὸν ἐσόμενον πόλεμον, ὅσον οὔπω παρόντα.

CXXXVI. Τοιαῦτα τῶν πρέσβεων εἰπόντων, ὁ Αντώνιος τὰς ἐντολὰς αὐτοῖς ἐξέφηνεν, ἃς ἐντείλαιτο Τιτίῳ· καὶ εἰ τῷ ὄντι ταῦτα φρονοίη Πομπήϊος, ἥξειν αὐτὸν ἔφασκε παραπεμπόμενον ὑπὸ Τιτίου. Ἅμα δὲ ταῦτα ἐγίγνετο, καὶ οἱ πεμφθέντες ἐς Παρθυαίους ὑπὸ τοῦ Πομπηίου, ἐληφθησαν ὑπὸ τῶν Αντωνίου στρατηγῶν, καὶ ἐς Αλεξάνδρειαν ἤχθησαν. καὶ ὁ Αντώνιος ἕκαστα μαθὼν, ἐκάλει τοὺς τοῦ Πομπηίου πρέσβεις, καὶ τοὺς ληφθέντας αὐτοῖς ὑπεδείκνυεν. Οἱ δὲ καὶ ὣς παρῃτοῦντο νέον ἄνδρα, ἐν συμφοραῖς ἐσχάταις, ὑπὸ δέους, εἰ ἄρα μὴ προσοῖτο φιλίως αὐτὸν ὁ Αντώνιος, ἀναγκασθέντα καὶ

Lin. 21. καὶ οὐδὲν τῇ φυγῇ *Edd. Recte Aug. Ven.* *L.* 26. ἐνετείλετο *Edd.* ἐντείλετο *Reg. B.* ἐντείλαντι *Reg. A. Verum ded. Aug. Ven.*

„tibi non miſſus ab illo exercitus. Et, ut compendio rem audias, *Pompejus* ſe in tuam fidem, *Antoni*, committit cum navibus quas adhuc habet, & cum fidiſſimo exercitu, qui ne fugientem quidem deſtituit: in pace adlaturus tibi egregiam laudem, ſi Magni filium ſervaveris; quod ſi bellum, quod inſtare videtur, gerendum ſit, futurus non aſpernanda tuarum partium acceſſio."

136. *Antonius*, his auditis, aperuit legatis mandata, quæ *Titio* dediſſet: reſponditque, ſi ex animo hæc offerat Pompejus, venturum ipſum, deducente Titio. Sed dum hæc fiunt, interim, qui *a Pompejo ad Parthos miſſi* erant, *comprehenſi ab Antonianis* ducibus, perducuntur Alexandriam. Ex quibus poſtquam ſingula cognovit *Antonius*, accitis Pompeji legatis, captos illos eis oſtendit. Qui etiam tum excuſabant hominem juvenem, in extrema calamitate conſtitutum, metuentem ne repulſam ab Antonio pateretur, eoque coactum vel infenſiſſimarum populi Romani

τῶν ἀεὶ Ῥωμαίοις ἐχθίστων ἀποπειρᾶσαι· δηλώσειν τ' αὐτὸν αὐτίκα, ὅτε μάθοι τὰ Ἀντωνίου, μηδὲν ἔτι πείρας ἢ μηχανῆς ἑτέρας δεόμενον. Οἷς ὁ Ἀντώνιος ἐπίστευσεν, ὢν καὶ τὰ ἄλλα αἰεὶ τὸ φρόνημα ἁπλοῦς καὶ μέγας καὶ ἄκακος. *A. U.*

CXXXVII. Ἐν τούτῳ δὲ Φούρνιος, ὁ τῆς Ἀσίας ἡγούμενος Ἀντωνίῳ, τὸν Πομπήιον ἐλθόντα μὲν καὶ ἀτρεμοῦντα ἐδέχετο, οὔτε κωλύειν ἀξιόμαχος ὤν, οὔτε πω τὴν γνώμην εἰδὼς τὴν Ἀντωνίου. γυμνάζοντα δὲ τὸν στρατὸν ὁρῶν, κατέλεγέ τινας ἐκ τῶν ὑπηκόων· καὶ Ἀηνόβαρβον ἄρχοντα γείτονος στρατοῦ, καὶ Ἀμύνταν, ἑτέρωθεν ἐκάλει κατὰ σπουδήν. Συνελθόντων δ' ὀξέως, ὁ Πομπήιος ἐμέμφετο, εἰ πολέμιον ἡγοῦνται τὸν πρέσβεις ἐς αὐτὸν ἀπεσταλκότα, καὶ τὰ παρ' ἐκείνου περιμένοντα. Καὶ ταῦτα λέγων, Ἀηνόβαρβον ὅμως ἐπενόει συλλαβεῖν, ἐκ προδοσίας Κουρίου τινὸς τῶν ἀμφὶ τὸν Ἀηνόβαρβον: ἐλπίζων, ἐς ἀντίδοσιν αὐτοῦ μεγάλην ἕξειν μοῖραν Ἀηνόβαρβον. Γνωσθείσης 719.

Lin. 38. ἑτέρας *abest ab Aug. & Ven.* *L.* 48. πρέσβεις ἑαυτὸν ἀπεστ. *Edd. mend. Rectius Aug. quem expressi.. Sed malim* ἐς Ἀντώνιον. *Plenius Candidus:* qui legatos se suaque dedentes ad Antonium misisset.

gentium tentare animos; quod si compertam ille habuerit mentem Antonii, statim etiam Pompeji animum cognitum iri, neque ullis aliis solicitationibus artibusve eum porro esse usurum. His fidem habuit *Antonius*, vir & alias minime malitiosus, & ingenio simplex ac magnanimus.

137. Interea *Furnius*, ab Antonio *Asiæ præfectus*, *Pompejum* pacate venientem exceperat, nec ad arcendum satis validus, necdum compertam habens Antonii sententiam. Postquam vero vidit exerceri ejus milites; delectum habuit ex provincialibus, & *Ahenobarbum*, ducem vicini exercitus, *Amyntamque* alia ex parte, propere vocavit in auxilium. Qui ubi celeriter convenerunt, conquestus est *Pompeius*, haberi se pro hoste, quum missis legatis responsum exspectet ab Antonio. Attamen per idem tempus captivum prehendere *Ahenobarbum* cogitavit, prodente ejus familiari *Curio*; sperans, in Ahenobarbo magnum fore momentum, si incidisset permutatio. Sed proditione de-

A. U. 719. δ' οὖν τῆς προδοσίας, Κούριος μὲν, ἐν τοῖς παροῦσι Ῥωμαίων ἐλεγχθεὶς, ἀπέθανε· Πομπήϊος δὲ Θεόδωρον ἐξελεύθερον, ὃς μόνος οἱ συνῄδει τὸ βούλευμα, ὡς ἐξειπόντα ἔκτεινεν. Οὐκέτι δὲ τοὺς ἀμφὶ τὸν Φούρνιον λήσειν ἐλπίσας, Λάμψακον ἐκ προδοσίας κατέλαβεν, ἣ πολλοὺς εἶχεν Ἰταλοὺς ἐξ ἐποικίσεως Γαΐου Καίσαρος, καὶ μισθοῖς μεγάλοις εὐθὺς ἐστράτευε τοὺς Ἰταλούς. Ἤδη δὲ ἔχων ἱππέας τε διακοσίους, καὶ πεζοὺς τρία τέλη, ἐπεχείρησε Κυζίκῳ κατά τε γῆν καὶ διὰ θαλάσσης. οἱ δὲ αὐτὸν ἑκατέρωθεν ἀπεκρούσαντο· καὶ γάρ τις ἦν ἐν τῇ Κυζίκῳ στρατὸς οὐ πολὺς Ἀντωνίῳ, φύλακες τῶν ἐκεῖ τρεφομένων αὐτῷ μονομάχων. ἐς δὲ τὸν Ἀχαιῶν λιμένα ἐπανελθὼν, ἐσιτολόγει.

CXXXVIII. Φουρνίου δὲ οὐκ ἄρχοντος μὲν χειρῶν, ἀεὶ δ' αὐτῷ παραστρατοπεδεύοντος σὺν ἱππεῦσι πολλοῖς, καὶ σιτολογεῖν οὐκ ἐῶντος, οὐδὲ προσποιεῖσθαι τὰς πόλεις· ὁ Πομπήϊος, ἱππέας οὐκ ἔχων, ἐπεχείρησε τῷ τοῦ Φουρνίου στρατοπέδῳ κατὰ μέτωπον καὶ κατόπιν

Lin. 53. δ' *ante* οὖν *carent Edd. Adjeci ex Aug.* *L.* 55. συνείδει *mend. Edd. cum Regiis. Recte Aug.* *L.* 70. κατόπιν *abest ab Edd. & Regiis.* φουρν. στρατοπέδῳ κατόπιν ἐκ περιόδου *Aug. & Ven.*

tecta, *Curius*, præsentibus Romanis, qui ibi aderant, coargutus, dedit supplicium: *Pompejus* vero Theodorum libertum, solum ejus consilii conscium, quasi id effutiisset, interfecit. Et quia jam desperabat, a se falli posthac *Furnium* posse, *Lampsacum* per proditionem occupavit, ubi multi habitabant nominis Italici, in coloniam deducti a C. Cæsare; moxque magnis stipendiis ad militiam pellicicbat Italos. Jamque ducentos equites & tres legiones habebat, quum *Cyzicum* terra marique aggressus, utrimque repulsus est: erat enim ibi aliqua, non magna quidem, manus Antonianorum militum, gladiatores custodientium, quos ibi *Antonius* alebat. Reversus igitur ad *Achæorum Portum*, frumentabatur.

138. Quumque *Furnius*, abstinens a pugna, semper castra castris ejus admoveret cum multis equitibus, nec frumentari sinens, nec oppida solicitare; *Pompejus* castra Furnii a fronte adortus est.

ἐκ περιόδου λαθών. ὅθεν ὁ Φούρνιος, ἐς τὸν Πομπήϊον ἐπεστραμμένος, ὑπὸ τῶν ὄπισθεν ἐξεβλήθη τοῦ στρατοπέδου· καὶ φεύγοντας αὐτοὺς διὰ τοῦ Σκαμανδρίου πεδίου διώκων ὁ Πομπήϊος, ἔκτεινε πολλούς· καὶ γὰρ ἦν τὸ πεδίον ὑγρὸν ἐξ ὄμβρων. οἱ δὲ περισωθέντες τότε μὲν ὑπεχώρουν, οὐκ ὄντες ἀξιόμαχοι. προσδεχομένων δὲ ἀπό τε Μυσίας καὶ τῆς Προποντίδος καὶ ἑτέρωθεν, οἱ πενόμενοι διὰ τὰς συνεχεῖς εἰσφορὰς ἐμισθοφόρουν ἀσμένως τῷ Πομπηΐῳ, κατὰ δόξαν μάλιστα τῆς ἐν Ἀχαιῶν λιμένι γενομένης νίκης. Ἱππικοῦ δ᾽ ἀπορῶν ὁ Πομπήϊος, καὶ παρ᾽ αὐτὸ βλαπτόμενος ἐν ταῖς προνομαῖς, ἐπύθετο, ἴλην ἱππέων Ἰταλικὴν ἐς Ἀντώνιον χωρεῖν, ὑπὸ Ὀκταουΐας χειμεριζούσης ἐν Ἀθήναις ἀπεσταλμένην· καὶ εὐθὺς ἔπεμπέ τινας ἐς διαφθορὰν τῆς ἴλης μετὰ χρυσίου. ἀλλὰ τούσδε μὲν ὁ τῆς Μακεδονίας ἡγούμενος Ἀντωνίῳ συνέλαβε, καὶ τὸ χρυσίον τοῖς ἱππεῦσι διένειμεν. A. U. 719.

Ed. omittunt tria verba κατὰ μέτωπον καί. *In Candidi Libro videtur fuisse* Φουρν. στρατοπ. κατὰ μέτωπον ἐκ περιόδ. *omissis duobus verbis* καὶ κατασχ. *Ex his inter se collatis, restituendam orationem putavi.* L. 71 *sq.* Πομπ. ἦν ἐπεστραμμένος *Edd. Delevi* ἦν *cum Aug. & Cand.* L. 77. οἱ πενόμ. *Edd. Aug.* οἱ *in* οἳ *mutato, ferri utcumque poterunt reliqua; quae inde a* προσδεχομένων (*lin. praec.*) *mendosa ac mutila visa erant Musgravio.*

circummissis clam qui a tergo idem facerent. Quamobrem *Furnius* in eum versus, captis a tergo *castris ejectus* est. Fugientesque per Scamandrios campos Pompejus multos occidit; madebat enim campus ab imbribus: qui evaserunt, receperunt se in tutum, impares instaurando prælio. Qui dum supplementum exspectant ex Mysia, & Propontide, aliisque locis; egeni illarum regionum homines, exhausti exactionibus, libenter mercede militabant *Pompejo*, celebri præsertim propter partam ad Achæorum Portum victoriam. Sed quum egeret equitatu, ac proinde male mulctaretur in pabulationibus; præmonitus, alam equitum Italicorum ad Antonium iter facere, missam ab Octavia hiemante Athenis, misit propere qui auro equites illos corrumperent. Sed hos proprætor, Macedoniæ ab Antonio præfectus, comprehendit, & aurum equitibus distribuit.

A. U. 719. CXXXIX. Ὁ δὲ Πομπήϊος Νίκαιάν τε καὶ Νικομήδειαν καταλαβὼν, ἐχρηματίζετο λαμπρῶς, καὶ ἐς μεγάλα ταχέως αὐτῷ πάντα ηὔξετο παρ' ἐλπίδα. Φουρνίῳ δὲ οὐ μακρὰν παραστρατοπεδεύοντι, πρῶται μὲν ἧκον ἐκ Σικελίας, ἦρος ἀρχομένου, νῆες ἑβδομήκοντα, ὅσαι περιεσώθησαν ἐξ ὅσων Ἀντώνιος ἐκεχρήκει κατὰ Πομπηΐου Καίσαρι· μετὰ γὰρ τὸ Σικελικὸν ἔργον, αὐτὰς ὁ Καῖσαρ ἀπέλυσεν. ἧκε δὲ καὶ ἐκ Συρίας Τίτιος ἑτέραις ἑκατὸν εἴκοσι ναυσὶ, καὶ στρατῷ πολλῷ, καὶ κατῆραν ἅπαντες εἰς Προκόννησον. Δείσας οὖν ὁ Πομπήϊος, τὰς ναῦς ἐνέπρησε, καὶ τοὺς ἐρέτας ὥπλισεν, ὡς ἄμεινον ὁμοῦ πᾶσι κατὰ τὴν γῆν συνοισομένους. Κάσσιος δὲ ὁ Παρμήσιος, καὶ Νασίδιος, καὶ Σατουρνῖνος, καὶ Θέρμος, καὶ Ἀντίστιος, ὅσοι τε ἄλλοι τῶν ἀξιολόγων ἔτι τῷ Πομπηΐῳ παρῆσαν φίλοι, καὶ ὁ τιμιώτατος αὐτῶν Φάννιος, καὶ ὁ κηδεστὴς αὐτοῦ Πομπηΐου Λίβων, ὡς εἶδον αὐτὸν οὐδὲ

Lin. 90. πρῶται μὲν οὖν ἧκον *Edd. Delevi* οὖν *cum Aug.* *L.* 96. Προικοννήσου *Aug. Ven. mend.* *L.* 98. *Rectius fortasse* συνοισόμενος *legetur: quod & Musgravius maluit.* *L.* 99. Σατορνῖνος *Aug. Ven.* *L.* 1. τῷ *ad* Πομπηΐῳ *adieci ex Aug. & Reg. B.* *L.* 2. τιμιωτ. αὐτῷ *Edd. Prætuli Aug. Ven. Cand.* *Ibid.* Φάνιος *Aug.* *L.* 3 *sq.* οὔτε Τιτίου *Edd. Aug. Mutavi in* οὐδὲ Τιτ.

139. *Pompejus* vero, occupatis *Nicæa Nicomediaque*, pecunias luculente colligebat, magnis per omnia & insperatis usus successibus. Sed *Furnio*, non longe ab eo castra habenti, primum e Sicilia ineunte vere advenere naves septuaginta, quæ ex Antonii classe Cæsari contra Pompejum commodata superfuerant: finito enim bello Siculo, Cæsar eas dimisit. Advenit etiam e Syria *Titius*, cum aliis centum viginti navibus, & copioso exercitu: omnesque adpulerunt *Proconnesum*. Territus igitur *Pompejus*, naves suas incendit, remigesque armavit, in terra majori usui futuros cum ceteris. At *Cassius Parmensis*, *Nasidius*, *Saturninus*, *Thermus*, *Antistius*, aliique quotquot ex honoratioribus adhuc aderant *Pompejo*, & nobilissimus illorum *Fannius*, ipse denique *Libo*, socer Pompeji, postquam viderunt eum ne post adventum quidem Titii,

Τιτίου παρόντος, ὅτῳ τὰ περὶ αὐτὸν Ἀντώνιος ἐπιτρέπει, παυόμενον τοῦ πρὸς τὸν ἀμείνονα πολέμου, ἀπέγνωσαν αὐτοῦ, καὶ πράξαντες ὑπὲρ ἑαυτῶν πίστιν, ἐς Ἀντώνιον μετῆλθον. A. U. 719.

CXL. Ὁ δὲ, ἔρημος ὢν ἤδη φίλων, ἐς τὰ μεσόγαια τῆς Βιθυνίας ἀνεχώρει, λεγόμενος ἐς Ἀρμενίους ἐπείγεσθαι. καὶ αὐτὸν, νυκτὸς ἀναζεύξαντα ἀφανῶς, ἐδίωκεν ὅ τε Φούρνιος καὶ ὁ Τίτιος, καὶ ἐπ' ἐκείνοις Ἀμύντας. Συντόνῳ δὲ δρόμῳ περὶ ἑσπέραν καταλαβόντες, ἐστρατοπέδευσαν ἕκαστος ἐφ' ἑαυτοῦ περὶ λόφῳ τινὶ, ἄνευ τάφρου καὶ χάρακος, ὡς ἐν ἑσπέρᾳ καὶ κόπῳ. Ὧδε δὲ αὐτοῖς ἔχουσιν ὁ Πομπήϊος νυκτὸς ἐπέθετο πελτασταῖς τρισχιλίοις, καὶ πολλοὺς ἔκτεινεν, εὐναζομένους ἔτι καὶ ἀναπηδῶντας· οἱ δὲ, καὶ γυμνοὶ πάμπαν, αἰσχρῶς ἔφευγον. Καὶ δοκεῖ τότε ὁ Πομπήϊος, ἅπαντι τῷ στρατῷ νυκτὸς ἐπελθὼν, ἢ τῆς γε τροπῆς γενομένης ἐπαγαγὼν, τάχ' ἂν αὐτῶν ἐντελῶς ἐπικρατῆσαι. νῦν δ' ὁ μὲν καὶ ταῦτα, θεοῦ βλάπτοντος, ὑπερεῖδε, καὶ οὐδὲν ἐπ' ἔργῳ

Lin. 4. ἐπιτρέπει (*ſic*) *Aug. Forſan ex* ἐπέτρεπε *corruptum.*

cui Antonius totam rem commiſerat, deſinere cum potentiore bellum gerere, deſperarunt de eo; pactique ſibi ipſis fidem, *tranſierunt ad Antonium.*

140. Tum *Pompejus*, ab amicis jam omnibus deſtitutus, ſeceſſit in mediterranea Bithyniæ; petens, ut ferebatur, Armeniam. Eumque, caſtris clam noctu egreſſum, perſequebantur *Furnius* & *Titius*, & cum eis *Amyntas*: peractoque magna contentione itinere, circa veſperam adſecuti, ſinguli ſeorſim caſtra poſuerunt circa tumulum quemdam, abſque foſſa valloque, ut ſero diei feſſique. In eo ſtatu *Pompejus*, cum MMM cetratis, noctu *eos invaſit*; multoſque interfecit, cubantes aut proſilientes e cubilibus: ceteri plane etiam nudi, *fugerunt turpiter*. Potueratque Pompejus, ſi eadem nocte omnibus copiis eoſdem invaſiſſet, aut fugatos perſecutus ſaltem fuiſſet, abſolvere victoriam. Nunc ille quidem, fortuna irata, rem parum animadvertit; nihil ex tanto commodo lucratus, niſi quod perrexit mediterranea

A. U. 719. τοιῶδε πλέον, ἢ αὖθις ἐς τὸ μεσόγαιον ἐχώρει. Οἱ δ᾽, ἀλισθέντες, εἵποντο, καὶ σιτολογοῦντα ἠνώχλουν· ἕως κινδυνεύων ὑπὸ τῆς ἀπορίας, ἠξίωσεν ἐς λόγους ἐλθεῖν Φουρνίῳ, Φίλῳ τε Μάγνου γεγενημένῳ, καὶ ἀξιώσει προὔχοντι τῶν ἄλλων, καὶ βεβαιοτέρῳ τὸν τρόπον.

CXLI. Ποταμὸν δ᾽ ἐν μέσῳ λαβὼν, ἔλεγε μὲν, ὅτι πρεσβεύσαιτο πρὸς Ἀντώνιον· ἐπετίθει δ᾽, ὅτι, τροφῶν ἐν τοσούτῳ δεόμενος, καὶ ἀμελούμενος ὑπὸ αὐτῶν, τάδε ἐργάσαιτο. Ὑμεῖς δὲ εἰ μὲν Ἀντωνίου γνώμῃ πολεμεῖτέ μοι, κακῶς ὁ Ἀντώνιος ὑπὲρ ἑαυτοῦ βουλεύεται, τὸν ἐπιόντα πόλεμον οὐ προορῶν. εἰ δὲ τὴν Ἀντωνίου γνώμην φθάνετε, μαρτύρομαι καὶ παρακαλῶ, περιμεῖναι τὴν πρεσβείαν μου τὴν ἐς Ἀντώνιον ἀπεσταλμένην, ἢ λαβόντας ἄγειν ἤδη πρὸς αὐτόν. Ἐπιτρέψω δ᾽ ἐμαυτὸν ἐγὼ σοὶ μόνῳ, Φούρνιε· τοσοῦτον ἐς πίστιν αἰτήσας, ὅτι με σῶον ἄξεις ἐς Ἀντώνιον. Ὁ μὲν οὕτως εἶπεν, Ἀντωνίῳ τε θαρρῶν, ὡς ἀγαθῷ τὴν φύσιν, καὶ μόνα τὰ ἐν μέσῳ δεδιώς. Ὁ δὲ Φούρνιος αὐτὸν οὕτως ἠμείψατο· Ἐπιτρέποντος μὲν ἦν ἑαυτὸν Ἀντωνίῳ, χωρεῖν ἐς αὐτὸν ἐξ ἀρχῆς, ἢ περιμένειν

petere. Hostes vero conjuncti sequebantur, & frumentantem impediebant: donec inopia pressus POMPEJUS petiit *colloquium Furnii*, amici quondam Magni Pompeji, & dignitate præstantis, moribusque gravioris quam ceteri.

141. Stans igitur in ripa interlabentis fluvii, ajebat, legatos se misisse ad Antonium: interim, quum alimentis opus habuisset, nemine suppeditante, ausum esse talia. „Vos autem, inquit, si ex Antonii sententia me bello persequimini, male sibi ille consuluit, imminens sibi bellum non prospiciens. Quod si non exspectato ejus jussu rem geritis, oro obtestorque vos, exspectetis dum legati mei ab illo redeant, aut in fidem me acceptum jam nunc ad eum ducatis. Committam autem me tibi soli, *Furni*: hoc unum rogans, ut bona fide incolumem sistas me Antonio." Hæc ille; Antonio fretus, ut natura bono; & tantum timens, nequid in itinere sibi accideret. Ad quæ sic respondit FURNIUS: „Si te Antonii fidei committere volebas, de-

ἀτρεμοῦντα ἐν Μιτυλήνῃ τὰς ἀποκρίσεις· πολεμοῦντος δὲ, ἃ πεποίηκας ἅπαντα· τί γὰρ αὐτὰ δεῖ πρὸς εἰδότα λέγειν; Εἰ δὲ νῦν μετέγνωκας, μὴ συγκρούειν μὲν ἡμᾶς τοὺς στρατηγοὺς ἐς ἀλλήλους, Τιτίῳ δὲ σαυτὸν ἐπιτρέπειν. Τιτίῳ γὰρ ἐπιτέτραπται τὰ περὶ σὲ ὑπὸ Ἀντωνίου· καὶ πίστιν, ἣν αἰτεῖς παρ' ἡμῶν, ἔνι σοι καὶ Τίτιον αἰτεῖν. κεκέλευσται δ' ὑπὸ Ἀντωνίου, πολεμοῦντα μέν σε κατακανεῖν, ἐγχειρίζοντα δὲ πέμπειν ἐς αὐτὸν ἐντίμως. A. U. 719.

CXLII. Ὁ δὲ Πομπήϊος Τιτίῳ μὲν ἀχαριστίας ὠργίζετο, τὸν πόλεμον τόνδε ὑποδεξαμένῳ πολεμήσειν πρὸς αὐτόν· ἁλόντα γὰρ αὐτὸν αἰχμάλωτον, περιεσεσώκει. Ἐπὶ δὲ τῇ ὀργῇ καὶ ἠδόξει, Πομπήϊος ὤν, ἐπὶ Τιτίῳ γενέσθαι, οὐκ ἐπιφανεῖ πάνυ ἀνδρί· καὶ ὑπώπτευεν αὐτὸν, ὡς οὐ βέβαιον, ἔς τε τὸν τρόπον ὑπονοῶν, καί τινα συγγινώσκων ἐς αὐτὸν ὕβριν παλαιὰν πρὸ τῆς εὐεργεσίας. Φουρνίῳ δ' αὖθις ἑαυτὸν ἐπέτρεπε, καὶ δέξασθαι παρεκάλει. ὡς δ' οὐκ ἔπειθεν, ὅδε καὶ Ἀμύντᾳ ἔλεγεν

Lin. 45. τὰ πρὸς σὲ ὑπὲρ Ἀντων. *Edd. mend. Meliora dederunt Aug. Ven.* *L.* 47. κεκέλευται *Aug. Ven.* *L.* 52. καὶ εἰ δόξει *Edd. mend. Recte Aug.* *L.* 57. ὁ δὲ καὶ *Aug.*

„bueras illum accedere ab initio, aut Mytilenæ quietus reſponſum exſpectare. Sed quia bellum maluiſti, feciſti hæc omnia: de quibus nil adtinet dicere, quum ipſe, qualia ſint, ſcias. Quorum ſi nunc te pœnitet, noli nos duces inter nos committere. Titii te crede fidei, cui Antonius mandavit tuum negotium; a quo licet tibi fidem petere, quam petis a nobis. Juſſit autem Antonius, ſi hoſtis eſſe pergas, te interfici; ſin te dedas, mitti ad ſe honorifice."

142. Iratus autem erat Titio *Pompejus*, ut ingrato, quod bellum hoc contra ſe gerendum ſuſcepiſſet: captum enim aliquando ſervaverat. Præterea indignum ſua perſona ducebat, ſi in poteſtate eſſet *Titii*, hominis non admodum nobilis. Nec non ſuſpectam fidem ejus habebat, ſive conjecturam faciens ex moribus, ſive quia conſcius ſibi erat veteris cujuſdam injuriæ, qua ante beneficium eum ipſe adfecerat. Quapropter iterum ſe tradidit *Furnio*, rogans ut acciperetur. Quumque id non impetraret, petiit, ut ſaltem ab *Amynta* acciperetur. Negante vero

A. U. 719.

ἑαυτὸν ἐπιτρέψειν. τοῦ Φουρνίου δὲ φήσαντος, οὐδ' Ἀμύνταν ἂν δέξασθαι τόδε, ὕβριν ἔχον ἐς τὸν ἐξ Ἀντωνίου τὸ πᾶν ἐπιτετραμμένον, διελύθησαν. Καὶ τοῖς μὲν ἀμφὶ τὸν Φουρνίον δόξα ἦν, ὅτι ὁ Πομπήϊος ἐξ ἀπορίας τῶν παρόντων ἑαυτὸν ἐς τὴν ἐπιοῦσαν ἡμέραν ἐκδώσει τῷ Τιτίῳ. Ὁ δὲ νυκτὸς τὰ συνήθη πυρὰ καίεσθαι καταλιπὼν, καὶ τοὺς σαλπιγκτὰς σημαίνειν τὰ διαστήματα τῆς νυκτὸς, ὥσπερ ἦν ἔθος, ἔλαθε μετὰ τῶν εὐζώνων ὑπεξελθὼν τοῦ στρατοπέδου, οἷς οὐδὲ αὐτοῖς προεῖπεν οἷ χωρήσειν ἔμελλεν. Ἐπενόει δ', ἐπὶ θάλασσαν ἐλθὼν ἐμπρῆσαι τὸ τοῦ Τιτίου ναυτικόν· καὶ τάχα ἂν ἔδρασεν, εἰ μὴ Σκαῦρος, αὐτομολήσας ἀπ' αὐτοῦ, τὴν μὲν ἔξοδον ἐμήνυσε, καὶ τὴν ὁδὸν ἣν ἐφέρετο· τὴν δ' ἐπίνοιαν οὐκ ᾔδει. Τότε δὴ χιλίοις καὶ πεντακοσίοις ἱππεῦσιν Ἀμύντας ἐδίωκε τὸν Πομπήϊον, ἱππέας οὐκ ἔχοντα. καὶ ἐς τὸν Ἀμύνταν οἱ τοῦ Πομπηίου πλησιάσαντα μετεχώρουν, οἱ μὲν ἀποδιδράσκοντες, οἱ δὲ καὶ φανερῶς. Μονούμενος οὖν ὁ Πομπήϊος, καὶ δεδιὼς ἤδη τὰ οἰκεῖα, ἑαυτὸν ἄνευ σπονδῶν ἐνεχείρισεν Ἀμύντᾳ, ὁ Τιτίῳ μετὰ σπονδῶν ἀδοξήσας.

Lin. 62. ἐνδώσει *Edd. Dedi lect. Aug. Ven.*

Furnio, facturum id Amyntam, quod pertineret ad contumeliam ejus cui tota illa res ab Antonio commissa esset; solutum est colloquium. Putabat autem *Furnius* & qui cum eo erant, fore ut *Pompejus* inopia coactus sequenti die se *Titio* dederet. At ille noctu, incensis castrensi more ignibus; & tubicinibus per consueta signa vigiliarum noctem distinguentibus, clam cum expeditis e castris se subduxit, ne ipsis quidem præmonitis quonam ituri essent. Cogitabat autem reverti ad mare, & Titii classem incendere: quod fortasse etiam perfecisset, ni *Scaurus*, ab eo transfugiens, abitum ejus, & quam viam ingressus sit, indicasset, quamvis ignarus propositi. Tum *Amyntas* cum MD equitibus eum persecutus est; carentem equitatu: *ad quem adpropinquantem Pompejani transfierunt*; pars occulta fuga, pars propalam. Itaque *Pompejus*, pene solus relictus, & suos jam metuens; *Amyntæ sine conditionibus se dedidit*, qui Titii conditiones respuerat.

CXLIII. Οὕτω μὲν ἑάλω Πομπήϊος Σέξτος, ὁ λοιπὸς ἔτι παῖς Πομπηΐου Μάγνου, νεώτερος μὲν ὑπὸ τοῦ πατρὸς ἀπολειφθεὶς, καὶ ὑπὸ τοῦ ἀδελφοῦ μειράκιον ἤδη· λαθὼν δ' ἐπ' ἐκείνοις ἐς πολὺ, καὶ κρύφα λῃστεύων ἐν Ἰβηρίᾳ· μέχρι, πολλῶν συνδραμόντων εἰς αὐτὸν ἐπιγνωσθεὶς εἶναι Πομπηΐου παῖδα, ἐλῄστευέ τε φανερώτερον· καὶ μετὰ Γάϊον Καίσαρα ἐπολέμησεν ἐγκρατῶς, καὶ στρατὸν ἤγειρε πολὺν, καὶ ναῦς, καὶ χρήματα, καὶ νήσους εἷλε, καὶ θαλασσοκράτωρ τῆς ἀμφὶ τὰς δύσεις θαλάσσης ἐγένετο, καὶ τὴν Ἰταλίαν περιήνεγκεν ἐς λιμὸν, καὶ τοὺς ἐχθροὺς ἐς συμβάσεις ἃς ἤθελε. τὸ δὲ μέγιστον, ἐπίκουρος ἐν ταῖς προγραφαῖς τῇ πόλει πανώλεθρα πασχούσῃ γενόμενος, περιέσωσεν ἄνδρας ἀρίστους τε καὶ πολλοὺς, οἳ τότε δι' αὐτὸν ἦσαν ἐν τῇ πατρίδι. ὑπὸ δὲ θεοβλαβείας αὐτὸς οὔ ποτε ἐπεχείρησε τοῖς πολεμίοις, πολλὰ τῆς τύχης εὔκαιρα παρεχούσης, ἀλλ' ἠμύνετο μόνον. Καὶ Πομπήϊος μὲν τοιόσδε γενόμενος ἑαλώκει. *A. U. 719.*

CXLIV. Τίτιος δὲ τὸν μὲν στρατὸν αὐτοῦ μετεστρά-

143. Sic igitur *captus* est SEXTUS POMPEJUS, unus adhuc reliquus *Magni filius*; in tenera ætate patre orbatus, fratre vero jam adolescentulus: quibus sublatis diu latuerat, occultis latrociniis vexans Hispaniam: donec, multorum confluxu ad eum facto, postquam Pompeii filius cognitus est, apertius prædatus est: occisoque a conjuratis C. Cæsare justum bellum movit, & magnum exercitum & naves & pecunias collegit, insulasque occupavit; &, maris occidentalis imperio potitus, fame pressit Italiam, & inimicos ad quas voluit pacis leges compulit. Quod vero præcipuum est, exitiosa proscriptione per Urbem grassante, multos ex optimatibus servavit, qui nunc patria fruebantur ipsius beneficio. Sed, deo mentem adimente, numquam hostes adgressus est, neglectis multis occasionibus, quas percommodas illi fortuna præbuerat; contentus parta tueri. Hisce igitur rebus gestis, nunc captus est *Pompejus*.

144. Tum vero *Titius* exercitum ejus adegit sacramen-

A. U. 719.

τευσεν Ἀντωνίῳ· αὐτὸν δὲ τὸν Πομπήιον, τεσσαρακοστὸν ἔτος βιοῦντα, ἐν Μιλήτῳ κατέκαιεν· εἴτε δι' αὐτοῦ, μηνίων ἄρα τῆς ποτὲ ὕβρεως, καὶ ἀχάριστος ἐς τὴν ἔπειτα εὐεργεσίαν γενόμενος· εἴτε καὶ ἐπιστείλαντος Ἀντωνίου. Εἰσὶ δ' οἱ Πλάγκον, οὐκ Ἀντώνιον, λέγοντες ἐπιστεῖλαι· καὶ νομίζουσιν, ἄρχοντα Συρίας, καὶ ταῖς ἐπιστολαῖς ἐπιτετραμμένον ἐς τὰ ἐπείγοντα ἐπιγράφειν τὸν Ἀντώνιον καὶ τῇ σφραγῖδι χρῆσθαι. καὶ Πλάγκον δὲ γράψαι νομίζουσιν, οἱ μὲν, συνειδότος Ἀντωνίου, καὶ αἰδουμένου γράψαι, διὰ ὄνομα τοῦ Πομπηίου, καὶ διὰ Κλεοπάτραν εὔνως ἔχουσαν τῷ Πομπηίῳ, διὰ τὸν πατέρα Μάγνον· οἱ δὲ, αὐτὸν ἐφ' ἑαυτοῦ Πλάγκον, τάδε αὐτὰ συνιδόντα, καὶ φυλαξάμενον μὴ τὴν αἰτίαν Ἀντωνίου καὶ Καίσαρος ἐς ἀλλήλους διδῷ Πομπήιος, καὶ Κλεοπάτρα Πομπηίῳ συνεργοῦσα ἀνατρίψειεν. CXLV. Ἀλλὰ

Lin. 95. αὐτὸν δὲ Πομπήιον *Aug. Reg. B.* *L.* 96. δι' αὐτοῦ *Edd. invitis MSStis.* *Ibid.* κατέκαυσεν *edit. 3. oper. err.* *L.* 99. Πλάκκον *Regii, Aug. ut alias, & sic mox iterum iterumque.* *L.* 2. ἐπιτεταγμένον *Edd. ex Reg. A. Præstuit Aug. Ven Reg. B.* *L.* 4. αἰδούμενον *Edd. Rectius Aug. Ven.* *L.* 6. εὐνῶς *Edd. inv. MSS.* *L.* 7. συνιδόντα (*sic*) *Reg. B.* *L.* 9. *Post* ἀλλήλους *Musgravius inserta voluit verba* αἰτίαν πολέμου ζητούντων. *Si quid opus est addere, suffecerint fortasse duo verba* πολέμου (*vel* στάσεως) ζητούντων. *L.* 10. ἀνατρέψαιεν *dant Edd.* ἀνατρέψειεν *Aug. Cogitaveram* ἀναθρέψειεν;

tum dicere Antonio: ipſum *Pompejum*, annum ætatis agentem quadrageſimum, Mileti *interfecit*; ſive privato conſilio, veteris offenſæ memor, ſpreta ſecuti beneficii gratia; ſive ex Antonii mandato. Sunt qui non Antonium, dicant, ſed *Plancum*, id mandaſſe: cui nimirum, Syriæ præfecto, commiſſum putant ab Antonio, ut in rebus moram nullam patientibus *nomen Antonii inſcriberet epiſtolis*, & *annulo* ejus *ſignatorio* uteretur. Et hoc quidem ſcriptum a Planco putant nonnulli ſciente Antonio, quum ipſe id facere vereretur propter nomen Pompeji, & propter Cleopatram faventem ei ob patris Magni memoriam: alii *Plancum* ipſum per ſe, eadem hæc reputantem, feciſſe illud arbitrantur, caventemque ſimul, ne mutuam Antonii & Cæſaris incuſationem *Pompejus* & cum Pompejo faciens Cleopatra refricarent.

145. Mortue

CXLV. Ἀλλὰ Πομπήϊος μὲν ἐτεθνήκει. Ἀντώνιος δὲ αὖθις ἐς Ἀρμενίαν ἐστράτευε· καὶ ὁ Καῖσαρ ἐπὶ Ἰλλυριούς, οἳ τὴν Ἰταλίαν ἐλῄστευον, οἱ μὲν οὐχ ὑπακούσαντές πω Ῥωμαίων, οἱ δ' ἐν τοῖς ἐμφυλίοις ἀποστάντες. Καί μοι ἔδοξε τὰ Ἰλλυρικά, οὔτε ἀκριβῶς γενόμενά μοι γνώριμα, οὔτε συντελοῦντα μῆκος ἰδίας συγγραφῆς, οὔτε χώραν ἔχοντα ἑτέρωθι λεχθῆναι, τοῦ χρόνου καθ' ὃν ἐλήφθησαν συνάγοντος αὐτὰ ἐς τέλος, προαναγράψαι, καὶ ὑποθεῖναι αὐτὰ τῇ ὁμόρῳ Μακεδονικῇ. A. U. 719.

sed non liquet. ἀνατρέψειν *recepi ex Ven. Magis placeret* ἀνατρέψαι, *si paulo ante abesset* [illegible]. *Lin.* 12. ἐστράτευσε *Edd. Prætuli Aug. Ven. Reg. B. L.* 17 *sq.* καθ' ὃν ἐλήφθησαν· ἔδοξε δὲ συνάγοντος *Edd. Verba* ἔδοξε δὲ (*quæ & in Reg. B. punctis infra positis notantur ut spuria.*) *delevi cum Aug. L.* 18. *In Aug. ex* προαναγράψαι, *superscripto* [illegible] *ab alia (ut videtur) manu, factum est* προσαναγράψαι.

145. Mortuo Pompejo, *Antonius* rurſus expeditionem ſuſcepit *in Armeniam*; *Cæſar* vero *contra Illyrios*, Italiam populationibus infeſtantes, qui aut numquam paruerant populo Romano, aut per bella civilia defecerant. *Res* autem *Illyricas*, quoniam nec ſatis mihi compertæ ſunt, nec materiam præbent juſto volumini, nec alio loco commodius poterant exponi, ab eo tempore quo primum a Romanis ſuſceptæ ſunt ad finem uſque perſecutus, ſupra perſcripſi, & finitimæ ſubjunxi Hiſtoriæ *Macedonicæ*.

FINIS LIBRI QUINTI
ROMANARUM HISTORIARUM
DE BELLIS CIVILIBUS.

DIVERSARUM EDITIONUM

COLLATÆ PAGINÆ.

DE BELLIS CIVILIBUS LIB. I.

Civil. L. I.	EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		
pag.	162	*p.* 349	*p.* 599	*p.* 1	*lin.* 1	*cap.* 1
			600	2	21	
		350	—	3	31	2
			601	—	46	
	163	—	—	4	52	3
		351	—	5	67	
			602	—	72	4
			603	7	99	5
		352	—	—	6	
	164	—	—	8	18	
			604	—	27	
		353	—	9	42	6
			605	10	52	7
		354	—	11	76	
			606	12	78	8
	165	—	—	—	82	
			607	13	4	9
		355	—	14	12	
			608	15	30	10
	166	356	—	16	47	11
			609	—	54	
			610	18	79	12
		357	—	—	83	
			611	20	7	
	167	—	—	—	10	13

EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		Civil. L. I.
pag. 167	p. 358	p. 611	p. 20	lin. 21	cap. 13
		612	21	34	14
	359	—	22	58	15
		613	23	60	
168	—	—	—	75	
		614	24	89	16
	360	—	25	98	
		615	26	17	18
	361	—	27	36	19
169	—	616	28	42	
		617	29	68	20
	362	—	—	72	
		618	31	95	21
170	—	—	32	7	22
	363	—	—	10	
		619	33	23	
	364	—	34	45	23
		620	—	48	
171	—	—	36	73	24
		621	—	76	
	365	—	—	81	25
		622	37	4	
	366	—	38	20	26
		623	39	32	
172	—	—	—	37	
	367	624	40	58	27
		625	42	84	28
	368	—	43	95	29
173	—	—	—	2	
		626	44	12	30
	369	—	45	34	31
		627	—	40	
174	—	628	47	67	32
	370	—	—	71	

Civil.
L. I.

EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		
pag. 174	p. 370	p. 629	p. 48	lin. 94	cap. 33
	371	—	49	8	34
		630	50	20	
175	—	—	—	31	35
	372	—	51	44	
		631	—	47	
		632	53	75	36
	373	—	—	82	
176	—	—	54	97	37
		633	55	2	
	374	—	56	20	38
		634	—	29	
	375	635	58	58	40
177	—	—	—	63	
		636	60	88	41
	376	—	61	99	42
		637	62	15	
178	—	—	—	28	43
	377	—	63	37	
		638	—	41	
		639	65	69	45
	378	—	—	74	
179	—	—	66	91	46
		640	67	97	47
	379	—	—	14	48
		641	68	25	
	380	642	70	51	49
180	—	—	—	57	50
		643	71	77	
	381	—	72	88	51
		644	73	5	
181	—	—	74	21	52
	382	—	—	26	53
		645	—	32	

Civil. L. I.

EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		
pag. 181	*p.* 382	*p.* 646	*p.* 76	*lin.* 58	*cap.* 54
	383	—	—	63	
182	—	647	78	85	55
	384	—	79	2	56
		648	—	13	
	385	649	81	40	57
183	—	—	—	52	58
		650	82	68	
	386	—	83	78	59
		651	84	95	
184	387	—	85	17	60
		652	86	21	61
		653	87	48	62
	388	—	—	53	
		654	89	74	63
185	—	—	—	82	
	389	—	90	90	64
		655	—	99	
	390	656	92	28	65
186	—	—	93	48	66
		657	—	55	
	391	—	94	67	
		658	95	90	67
	392	—	96	5	68
		659	—	10	69
187	—	—	—	12	
		660	98	37	70
	393	—	—	41	
		661	99	64	71
188	—	—	100	76	
	394	—	—	80	
		662	101	93	72
	395	663	103	22	73
189	—	—	104	42	74

Civil. L. I.

EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		
pag. 189	p. 395	p. 664	p. 104	lin. 49	cap. 74
	396	—	105	58	75
		665	106	76	76
	397	—	107	92	77
		666	—	2	
190	—	—	108	8	
	398	667	109	27	78
		668	110	51	79
	399	—	111	66	80
191	—	—	112	74	
		669	—	77	
	400	670	114	5	82
		671	115	33	83
192	401	—	116	42	84
		672	117	61	85
	402	—	118	80	
		673	—	89	86
193	—	—	119	6	
		674	120	15	87
	403	—	—	18	
		675	121	41	
	404	—	122	55	88
194	—	676	123	69	89
	405	—	124	91	
		677	—	94	
		678	126	20	90
	406	—	—	27	91
195	—	—	127	33	
		679	—	47	
	407	—	128	65	92
		680	129	74	
196	—	—	130	97	93
	408	681	131	3	
		682	132	30	94

Civil. L. I.

EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		
pag. 196	p. 409	p. 682	p. 133	lin. 41	cap. 95
		683	134	56	
197	—	—	—	61	
	410	—	135	76	96
		684	—	81	
		685	137	9	97
	411	—	—	16	
198	—	—	138	23	
		686	—	34	98
	412	—	139	50	
		687	140	60	99
199	413	688	142	88	100
		689	143	16	101
	414	—	144	25	
		690	145	42	102
200	—	—	—	52	
	415	—	146	61	103
		691	—	67	
		692	148	94	104
	416	—	—	99	
201	—	—	149	18	105
		693	150	22	
	417	—	151	37	
		694	—	48	106
	418	695	153	73	
202	—	—	—	83	107
		696	154	99	108
	419	—	155	10	
		697	156	27	109
203	420	—	157	48	110
		698	—	53	
		699	159	81	112
	421	—	—	85	
		700	160	7	113

Civil. L. I.

EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		
pag. 204	p. 421	p. 700	p. 161	lin. 14	cap. 113
	422	—	—	21	
		701	162	34	114
	423	702	163	60	115
205	—	—	164	78	
		703	165	86	116
	424	—	—	96	
		704	166	16	117
		705	167	27	
	425	—	168	36	118
206	—	—	—	43	
		706	169	53	
	426	—	170	74	120
		707	—	80	
207	—	708	172	9	121
	427	—	—	13	

DE BELLIS CIVILIBUS L. II.

p. 207	p. 427	p. 709	p. 174	l. 1	c. 1
	428	—	175	11	
		710	—	17	
208	—	—	—	23	2
		711	176	41	
	429	—	177	43	
		712	178	68	3
	430	—	179	82	4
209	—	—	—	87	
		713	180	95	
	431	—	181	20	6
		714	—	23	
		715	183	50	7
210	—	—	—	54	
	432	—	—	57	
		716	184	77	8

EDITIO I. pag.	ED. II. p.	ED. III. p.	EDIT. IV. p.	EDIT. IV. lin.	Civil. L. II. cap.
210	433	716	185	95	9
		717	186	3	
211	—	—	187	19	10
		718	188	29	11
	434	—	—	32	
		719	189	56	12
	435	—	190	67	13
		720	191	81	
212	—	—	—	84	
	436	—	192	7	14
		721	193	10	
		722	194	33	15
	437	—	195	42	16
213	—	—	—	52	17
		723	196	68	
	438	—	197	81	18
		724	—	89	
214	439	725	199	18	20
		726	201	43	21
	440	—	—	55	
		727	202	70	22
215	—	—	203	82	
	441	—	204	92	23
		728	—	96	
		729	205	20	
	442	—	206	27	24
216	—	730	207	47	25
	443	—	208	63	
		731	—	74	26
	444	732	210	1	27
217	—	—	211	12	
		733	—	25	
	445	—	212	40	28
		734	213	50	

Civil. L. II.

EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		
pag. 218	*p.* 446	*p.* 735	*p.* 214	*lin.* 74	*cap.* 29
		736	216	1	30
	447	—	—	9	31
		737	218	27	
219	—	—	—	41	32
	448	—	219	46	
		738	—	52	
	449	739	221	80	34
220	—	—	222	6	35
		740	—	9	
	450	—	223	21	36
		741	224	34	
	451	—	225	57	38
		742	—	61	
221	—	—	226	70	
		743	227	86	39
	452	—	—	92	
		744	228	13	40
	453	—	229	31	
222	—	—	230	35	41
		745	—	40	
	454	746	232	67	42
		747	233	93	43
223	—	—	234	98	
	455	—	—	6	44
		748	235	22	
	456	—	236	45	45
		749	—	50	
224	—	—	237	63	46
		750	238	77	
	457	—	—	82	47
		751	239	1	
	458	—	241	21	48
		752	—	24	

EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		*Civil. L. II.*
pag. 225	p. 458	p. 752	p. 241	lin. 28	cap. 48
		753	242	50	49
	459	—	243	58	
		754	244	76	50
226	460	755	245	95	51
		756	246	18	52
	461	—	247	34	53
		757	248	45	
227	—	—	249	61	54
	462	758	250	70	
		759	251	92	55
	463	—	252	7	56
		760	—	16	
228	—	—	253	28	57
	464	761	254	43	
		762	256	71	59
	465	—	—	82	
229	—	—	257	92	60
		763	—	98	
	466	764	258	21	61
		765	260	48	62
230	467	—	261	59	
		766	262	71	63
	468	—	263	96	64
		767	—	99	
231	—	768	265	25	65
	469	—	—	33	
		769	266	51	66
	470	—	267	69	67
		770	268	74	
232	—	—	269	92	68
		771	—	96	
	471	—	270	9	69
		772	—	23	

Civil. L. II.

EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		
pag. 232	p. 472	p. 772	p. 272	lin. 47	cap. 70
		773	—	50	
233	—	—	—	57	71
		774	273	78	
	473	—	274	85	
		775	—	91	72
		776	275	7	73
234	474	777	276	23	74
		778	277	38	
	475	—	278	59	75
		779	279	64	
		780	280	85	76
235	—	—	—	88	
	476	—	—	97	77
		731	281	7	
	477	782	283	35	78
236	—	—	284	57	79
		783	—	64	
	478	—	285	75	80
		784	286	92	81
	479	—	287	13	
		685	—	20	82
237	—	—	288	24	
		786	289	46	83
	480	—	—	51	
		787	291	74	84
238	481	—	—	89	
		788	292	3	85
	482	789	294	29	86
239	—	790	295	57	88
	483	—	296	67	
		791	—	73	
		792	298	1	89
	484	—	—	6	90

Civil. L. II.

EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		
pag. 240	p. 484	p. 792	p. 299	lin. 21	cap. 90
		793	—	30	91
	485	—	300	43	
		794	301	55	92
	486	—	302	79	
		795	—	82	93
241	—	—	303	87	
		796	304	10	94
	487	—	305	20	
		797	306	37	95
242	—	—	307	54	
	488	—	—	57	
		798	—	64	96
		799	309	91	97
	489	—	—	94	
243	—	800	310	20	98
	490	—	311	32	99
		801	312	48	
	491	—	313	68	100
		802	314	73	101
244	—	—	—	86	
		803	315	99	102
	492	—	—	6	
		804	316	25	103
	493	—	317	42	104
245	—	805	318	53	
	494	806	319	80	105
		807	321	7	106
246	495	—	322	19	107
		808	—	33	
	496	—	324	54	108
		809	—	60	
247	—	—	326	85	109
		810	—	88	

Civil. L. II.	EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		
	pag. 247	p. 497	p. 810	p. 326	lin. 92	cap. 110
			811	327	14	111
		498	—	328	29	112
			812	329	39	
	248	—	—	—	50	
		499	813	330	68	113
			814	332	92	114
		500	—	333	5	115
	249	—	—	—	16	
			815	—	19	
		501	—	335	42	116
			816	—	46	
			817	337	71	117
		502	—	—	78	
	250	—	—	—	81	
			818	338	1	118
		503	—	339	19	
			819	340	28	119
	251	—	—	341	47	
			820	—	53	120
		504	—	—	56	
			821	343	80	121
		505	—	344	92	
			822	345	8	122
	252	—	—	—	13	
		506	—	346	30	123
			823	—	34	
			824	348	61	124
		507	—	—	67	125
	253	—	—	349	77	
			825	—	88	126
		508	—	350	8	127
			826	351	17	
	254	509	827	353	43	128

Civil. L. II.

EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		
pag. 254	p. 509	p. 828	p. 354	lin. 68	cap. 129
	510	—	355	80	
		829	356	93	130
255	—	—	357	9	131
	511	—	—	16	
		830	—	19	
		831	359	45	132
	512	—	—	53	133
		832	360	63	
256	—	—	361	75	134
		833	—	80	
	513	—	362	89	
		834	—	95	
		835	364	24	136
	514	—	—	28	
257	—	—	365	42	137
		836	—	46	
		837	366	61	138
	515	—	—	65	
		838	367	82	
	516	839	369	3	140
258	—	840	—	8	
		841	370	32	
	517	—	371	39	141
		842	372	51	
259	518	843	373	74	142
		844	375	2	143
	519	—	—	16	
		845	376	29	144
260	—	—	377	40	145
	520	846	378	52	146
		847	379	80	
	521	—	380	88	147
		848	381	3	148

Civil. L. II.

Editio I.	Ed. II.	Ed. III.	Edit. IV.		
pag. 261	p. 522	p. 848	p. 382	lin. 26	cap. 149
		849	—	34	
		850	384	60	150
	523	—	—	65	
262	—	—	385	71	
		851	386	87	
	524	—	387	2	151
		852	—	15	152
263	—	—	388	35	
	525	853	389	41	
		854	391	68	153
	526	—	—	78	154

DE BELLIS CIVILIBUS L. III.

pag. 264	p 526	p. 855	p. 393	l. 1	c. 1
	527	—	394	13	2
		856	—	16	
		857	395	44	3
265	528	—	396	48	
		858	397	70	4
	529	—	398	82	5
		859	399	96	
266	—	—	400	11	6
	530	—	—	16	
		860	—	23	
		861	402	50	7
	531	—	—	54	
267	—	—	403	75	8
		862	404	78	9
	532	—	—	93	
		863	405	6	10
	533	864	407	32	11
268	—	—	408	42	12
		865	—	59	13

EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		
pag.	p.	p.	p.	lin.	cap.
268	534	865	409	67	13
		866	410	84	
	535	—	411	4	14
269	—	867	412	11	15
		868	—	23	
		869	413	34	
	536	—	—	39	
		870	414	48	16
		871	415	67	17
270	537	872	416	75	
		873	417	1	18
	538	—	418	14	
		874	—	20	19
		875	419	35	
271	—	—	420	42	20
	539	876	—	48	
		877	422	70	21
	540	—	423	87	22
		878	—	96	
272	—	—	424	9	
	541	879	425	25	23
		880	427	50	24
	542	—	—	60	
273	—	881	428	76	25
	543	—	429	98	26
		882	430	5	
		883	431	31	27
	544	—	—	36	28
274	—	—	432	39	
		884	433	56	
	545	—	434	70	29
		885	—	82	
275	—	—	436	5	30
	546	886	—	10	

Civil. L. III.

Civil. L. III.	EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		
	pag. 275	p. 546	p. 887	p. 437	lin. 35	cap. 31
		547	—	438	44	32
			888	439	58	
	276	—	—	—	71	33
			889	440	78	
		548	—	—	81	
			890	441	99	34
			891	442	12	
		549	—	—	21	
			892	443	32	35
	277	—	—	—	37	
			893	444	55	36
		550	—	445	58	
			894	446	77	37
		551	895	447	96	
	278	—	—	—	3	38
			896	448	20	39
		552	—	449	32	
			897	450	45	
	279	553	898	451	70	40
			899	453	97	42
		554	—	—	6	
			900	454	24	43
	280	—	—	455	33	
		555	—	456	41	
			901	—	50	44
			902	458	76	45
		556	—	—	79	
	281	—	—	459	99	46
			903	—	5	
		557	—	460	18	47
			904	461	34	48
		558	—	462	55	
			905	—	60	49

Civil. L. III.

EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		
pag. 282	p. 558	p. 905	p. 463	lin. 64	cap. 49
		906	464	85	50
	559	—	—	91	
		907	465	11	51
283	560	—	466	26	
		908	467	35	
		909	468	52	52
	561	—	—	60	
		910	469	67	
		911	470	83	53
284	—	—	—	91	
	562	—	471	97	54
		912	—	4	
		913	472	26	55
	563	—	473	37	
		914	474	49	56
285	—	—	—	58	
		915	475	68	57
	564	—	—	73	
		916	476	85	
	565	917	477	7	58
286	—	—	478	23	59
		918	—	27	
	566	—	479	43	60
		919	480	50	61
		920	481	76	62
	567	—	482	81	
287	—	—	—	88	
		921	483	2	63
	568	—	484	19	64
		922	—	27	
288	569	923	486	54	65
		924	487	77	66
	570	—	488	91	67

Civil. L. III.

EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		
pag. 288	p. 570	p. 925	p. 489	lin. 6	cap. 67
289	—	—	490	20	68
	571	—	—	28	
		926	491	33	69
		927	492	59	70
	572	—	493	66	
290	—	928	494	87	71
	573	—	495	5	72
		929	—	13	
	574	930	497	40	73
291	—	—	498	54	74
		931	499	65	75
	575	—	—	77	
		932	500	90	76
	576	933	502	16	77
292	—	—	—	20	
		934	503	43	78
	577	—	504	53	79
		935	505	69	80
293	—	—	506	86	
	578	—	—	90	81
		936	—	96	
		937	508	23	82
	579	—	—	26	
		938	509	49	83
294	—	—	510	53	
	580	—	—	63	84
		939	511	76	
	581	940	512	3	85
295	—	—	513	19	86
		941	514	29	
	582	—	515	40	87
		942	516	56	88
	583	—	517	78	

Civil. L. III.

EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		
pag. 296	p. 583	p. 943	p. 517	lin. 84	cap. 89
		944	519	8	90
	584	—	—	14	
		945	520	33	91
297	585	—	521	51	92
		946	522	60	
		947	523	86	93
	586	—	—	89	94
		948	525	14	
298	—	—	—	18	95
	587	—	526	29	
		949	—	41	96
	588	950	528	67	97
299	—	—	529	83	
		951	—	93	98

DE BELLIS CIVILIBUS LIB. IV.

pag. 299	p. 589	p. 952	p. 531	l. 1	c. 1
		953	532	16	
300	590	—	—	24	2
		954	533	42	
	591	—	535	62	3
		955	—	69	
301	—	—	536	87	5
		956	537	93	
	592	—	—	98	
		957	538	23	6
	593	—	539	37	7
		958	540	48	
302	—	—	—	54	
	594	959	541	74	8
		960	543	1	9
	595	—	544	12	10
303	—	—	—	23	

Civil. L. IV.	EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		
	pag. 303	p. 595	p. 961	p. 545	lin. 27	cap. 11
		596	—	546	51	12
			962	—	54	
			963	548	81	14
	304	597	—	—	88	
			964	549	6	
		598	—	550	24	15
			965	551	32	16
	305	—	966	552	57	17
		599	—	553	69	
			967	554	84	18
		600	—	555	97	
			968	556	14	19
	306	—	—	—	22	
		601	—	557	36	20
			969	—	41	
			970	559	68	21
		602	—	—	76	22
	307	—	—	560	88	
			971	—	95	
		603	—	561	14	23
			972	562	22	24
		604	973	564	51	25
	308	—	—	—	55	
			974	565	76	26
		605	—	566	91	27
			975	567	5	
	309	—	—	568	22	28
		606	976	—	31	
			977	570	58	29
		607	—	—	66	30
			978	571	83	31
	310	—	—	572	87	
		608	—	—	5	32

Civil. L. IV.

EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		
pag. 310	p. 608	p. 979	p. 573	lin. 12	cap. 32
		980	574	36	33
	609	—	575	41	
311	—	—	—	53	34
		981	576	63	
	610	—	577	79	35
		982	578	89	36
	611	983	579	17	37
312	—	—	—	20	
		984	581	43	38
	612	—	—	56	39
		985	582	73	40
313	—	—	583	85	
	613	—	584	93	41
		986	—	99	
		987	585	28	42
	614	—	586	33	43
314	—	988	587	56	
	615	—	588	73	44
		989	589	85	
	616	990	590	13	46
315	—	—	591	21	
		991	592	40	47
	617	—	—	50	
		992	593	69	48
316	618	—	595	88	49
		993	—	95	
		994	596	22	50
	619	—	597	26	
317	—	995	598	51	51
	620	—	599	64	52
		996	600	79	53
	621	—	601	2	54
		997	—	6	

Civil. L. IV.	*EDITIO I.*		*ED. II.*		*ED. III.*		*EDIT. IV.*				
	pag.	318	*p.*	621	*p.*	997	*p.*	602	*lin.* 18	*cap.*	55
						998		603	31		
				622		—		—	40		56
						999		604	60		57
				623		—		605	78		58
		319		—		—		606	82		
						1000		—	87		
						1001		607	14		59
				624		—		608	17		
						1002		609	40		61
		320		—		—		—	47		
				625		—		610	51		
						1003		611	66		62
				626		—		612	88		63
						1004		—	94		64
		321		—		—		613	15		65
						1005		614	20		
				627		—		—	27		66
						1006		615	47		
				628		—		616	63		67
						1007		617	75		68
		322		—		—		—	81		
				629		1008		618	99		69
						1009		620	22		70
				630		—		—	36		
		323		—		1010		621	47		71
				631		1011		623	73		72
						1012		624	1		73
				632		—		625	9		
		324		—		—		—	12		
						1013		626	27		74
				633		—		627	45		75
						1014		628	53		
		325		—		1015		629	78		77

Civil. L. IV.

EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		
pag. 325	p. 634	p. 1015	p. 629	lin. 82	cap. 77
		1016	631	9	78
	635	—	632	23	79
		1017	—	36	80
326	—	—	633	44	
	636	1018	634	60	81
		1019	635	84	82
	637	—	636	94	
327	—	1020	637	10	83
	638	—	638	31	84
		1021	—	36	85
		1022	640	63	
	639	—	—	68	86
328	—	—	641	74	
		1023	642	89	
	640	—	643	6	87
		1024	—	17	88
329	—	—	645	40	89
	641	1025	—	43	
		1026	646	63	90
	642	—	647	80	91
		1027	648	83	
		1028	—	98	92
330	—	—	649	9	
		1029	—	14	93
	643	—	650	19	
		1030	651	39	94
	644	1031	652	55	
331	—	1032	653	74	95
	645	—	654	91	96
		1033	—	95	
		1034	656	15	97
	646	1035	657	29	98
332	—	—	—	38	

Civil. L. IV.	EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		
	pag. 332	p. 646	p. 1036	p. 658	lin. 55	cap. 99
		647	—	659	63	
			1037	660	82	100
	333	648	—	661	3	101
			1038	—	9	102
		649	1039	663	35	103
			1040	665	60	104
	334	—	—	—	70	
		650	—	—	73	
			1041	666	86	105
		651	—	668	11	106
			1042	—	14	
	335	—	—	669	36	107
			1043	—	41	
		652	—	670	47	
			1044	671	66	108
		653	—	672	85	109
			1045	—	92	
	336	—	—	673	1	
			1046	674	21	110
		654	—	—	23	111
			1047	676	48	112
		655	—	—	60	
	337	—	—	677	67	113
			1048	—	75	
		656	—	678	97	114
			1049	679	3	
			1050	680	31	116
	338	—	—	681	35	
		657	—	—	38	
			1051	682	53	117
			1052	683	69	
		658	—	—	76	118
			1053	684	83	

Civil. L. IV.

EDITIO I.	ED. II.	ED III.	EDIT. IV.		
pag. 339	p. 658	p. 1053	p. 685	lin. 99	cap. 119
		1054	—	6	
	659	—	—	10	
		1055	686	26	120
	660	—	688	48	121
		1056	—	51	
340	—	—	689	67	122
		1057	—	79	
	661	—	690	86	123
		1058	691	7	
	662	—	692	26	124
341	—	1059	693	36	125
	663	1060	694	66	126
		1061	696	91	128
342	664	—	—	4	
		1062	697	16	
	665	—	698	38	129
		1063	699	41	
343	—	1064	700	68	131
	666	—	701	75	
		1065	702	96	132
	667	—	703	14	133
		1066	—	23	
344	—	—	704	33	
	668	1067	705	49	134
		1068	707	73	
	669	—	—	85	135
345	—	1069	708	1	
	670	—	709	24	137
		1070	710	30	

DE BELLIS CIVILIBUS LIB. V.

346	671	1071	712	1	1
		1072	713	17	2

Civil. L. V.

EDITIO I. pag.	ED. II. p.	ED. III. p.	EDIT. IV. p.	lin.	cap.
346	672	1072	714	28	2
		1073	—	43	
347	—	—	715	45	
	673	—	716	64	3
		1074	—	68	
		1075	718	95	4
	674	—	—	1	5
348	—	1076	719	12	
		1077	720	34	7
	675	—	—	38	
		1078	722	61	8
	676	—	723	75	
349	—	—	—	78	9
		1079	—	87	
	677	—	725	13	10
		1080	—	16	
350	—	1081	727	43	12
	678	—	—	50	
		1082	728	67	
	679	—	729	85	13
		1083	730	94	14
351	—	—	731	9	
		1084	—	20	15
	680	—	—	23	
		1085	733	47	16
	681	—	734	61	
352	—	1086	735	74	17
	682	—	736	93	18
		1087	—	97	19
		1088	738	23	
	683	—	—	32	20
353	—	—	739	41	
		1089	740	52	21
	684	—	741	70	22

EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.			Civil. L. V.
pag. 353	p. 684	p. 1090	p. 741	lin. 77	cap. 22	
354	685	1091	743	5	23	
		1092	744	31	25	
	686	—	745	44	26	
		1093	746	58		
355	—	—	747	70	27	
	687	1094	—	81	28	
		1095	748	98		
	688	—	749	16	29	
		1096	750	25	30	
356	—	—	751	37		
	689	1097	—	52	31	
		1098	753	79	32	
	690	—	754	91	33	
357	—	—	—	2		
		1099	755	6		
	691	—	756	29	34	
		1100	—	32		
		1101	758	59	35	
358	692	—	—	67	36	
		1102	759	86	37	
	693	—	761	6		
		1103	—	14	38	
359	—	—	762	35	39	
		1104	763	41		
	694	—	—	44		
		1105	764	67	40	
	695	—	765	83	41	
		1106	766	95		
360	—	—	—	1		
		1107	767	18	42	
	696	—	—	21	43	
		1108	768	39		
	697	1109	770	57	44	

Civil. L. V.

EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		
pag. 361	p. 697	p. 1109	p. 770	lin. 67	cap. 44
		1110	771	81	45
	698	—	772	97	46
		1111	773	10	
362	—	—	774	33	47
	699	1112	—	37	
		1113	776	62	49
	700	—	—	72	
		1114	777	89	50
363	—	—	778	98	
	701	—	779	11	51
		1115	—	17	52
		1116	781	44	53
	702	—	—	49	
364	—	—	782	64	54
		1117	—	70	
	703	—	783	85	
		1118	784	95	55
	704	1119	785	22	
365	—	—	—	29	56
		1120	787	50	57
	705	—	—	61	
		1121	788	77	58
366	—	—	789	95	59
	706	—	790	99	
		1122	—	4	
		1123	791	30	60
	707	—	792	37	61
		1124	793	58	62
367	—	—	—	62	
	708	—	794	74	
		1125	—	83	
	709	1126	796	11	64
368	—	—	797	25	

EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		Civil. L. V.
pag. 368	p. 709	p. 1127	p. 798	lin. 37	cap. 65
	710	—	—	49	66
		1128	799	64	67
	711	—	800	85	
369	—	1129	801	90	68
		1130	802	15	69
	712	—	803	22	
		1131	804	41	70
370	—	—	805	56	71
	713	—	—	59	
		1132	—	67	
		1133	807	93	72
	714	—	—	96	
371	—	1134	809	21	73
	715	—	—	35	74
		1135	810	46	
	716	1136	812	72	75
372	—	—	813	87	76
		1137	—	1	77
	717	—	814	10	
		1138	815	29	78
	718	—	816	49	79
373	—	1139	817	56	80
		1140	818	83	81
	719	—	—	88	
		1141	820	11	82
374	—	—	—	21	
	720	—	821	25	
		1142	—	39	83
	721	1143	823	65	84
375	—	—	824	86	86
		1144	825	92	
	722	—	—	1	
		1145	826	[illegible]	87

Civil. L. V.	EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		
	pag. 375	p. 723	p. 1145	p. 828	lin. 41	cap. 89
			1146	—	48	
	376	—	—	—	51	
			1147	830	75	90
		724	—	—	78	
			1148	831	2	91
	377	725	—	832	17	92
			1149	833	28	
		726	1150	835	52	93
	378	—	1151	836	81	95
		727	—	837	88	
			1152	838	8	96
		728	—	839	27	97
			1153	—	35	98
	379	—	—	840	46	
			1154	841	62	
		729	—	—	65	99
			1155	842	88	100
		730	—	843	3	101
	380	—	—	844	11	
			1156	—	16	
		731	1157	845	40	102
			1158	847	68	104
	381	732	—	848	77	105
			1159	849	96	106
		733	—	850	17	
			1160	—	24	107
	382	—	—	852	44	108
			1161	—	50	
		734	—	—	54	
			1162	853	77	109
		735	—	855	94	110
			1163	—	6	
	383	—	—	—	12	111

EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.			Civil. L. V.
pag. 383	p. 736	p. 1164	p. 857	lin. 34	cap 112	
		1165	858	62	113	
	737	—	859	69		
384	—	—	—	77	114	
		1166	860	89		
	738	—	861	8	115	
		1167	862	17	116	
385	739	1168	864	44	118	
		1169	865	70	119	
	740	—	866	83		
		1170	867	97	120	
386	—	—	868	12	121	
	741	—	—	23		
		1171	—	27		
		1172	870	53	123	
	742	—	—	60		
387	—	—	871	77	124	
		1173	872	80		
	743	—	873	1	125	
		1174	—	8		
		1175	875	36	127	
	744	—	—	39		
388	—	—	—	44		
		1176	876	63	128	
	745	—	877	76		
		1177	878	90	129	
389	746	—	879	12	130	
		1178	—	17		
		1179	881	44	132	
	747	—	—	51		
		1180	883	71	133	
390	—	—	—	78		
	748	—	884	89	134	
		1181	—	92		

Civil. L. V.

EDITIO I.	ED. II.	ED. III.	EDIT. IV.		
pag. 390	p. 748	p. 1182	p. 885	lin. 17	cap. 135
	749	—	886	25	136
		1183	887	38	
391	—	—	—	46	137
	750	1184	888	64	
		1185	890	93	139
	751	—	—	3	
392	—	—	891	13	140
		1186	—	21	
	752	—	893	41	141
		1187	—	49	142
393	753	1188	895	78	143
		1189	896	5	144
	754	—	897	16	145

FINIS VOLUMINIS SECUNDI.



ARGENTORATI,

EX OFFICINA LORENZII ET SCHULERI,

DIRECTORII NOBILITAT. ALSAT. TYPOGR.

DIE XXIX. MARTII MDCCLXXXIV.

PA Appianus, of Alexandria
3873 Rōmaikōn istoriōn ta sōzomena
A2
1785a
v.2
pt.2

PLEASE DO NOT REMOVE
CARDS OR SLIPS FROM THIS POCKET

UNIVERSITY OF TORONTO LIBRARY

UTL AT DOWNSVIEW
D RANGE BAY SHLF POS ITEM C
39 15 29 05 08 017 6